http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

I : 1-33
II : 34-66
III : 67-[illegible]

ΑΡΙ

ΑΓΙΟΡΕΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
ΕΚΔΙΔΟΜΕΝΗ ΠΡΟΝΟΙΑ ΚΑΙ ΕΠΙΣΤΑΣΙΑ
ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΠΡ. ΛΕΟΝΤΟΠΟΛΕΩΣ
ΣΩΦΡΟΝΙΟΥ ΕΥΣΤΡΑΤΙΑΔΟΥ

(Ἐβραβεύθη ὑπὸ τοῦ ἐν Παρισίοις Συλλόγου πρὸς ἐνίσχυσιν τῶν Ἑλληνικῶν Σπουδῶν

(ΜΝΗΜΕΙΑ ΑΓΙΟΛΟΓΙΚΑ)

ΕΙΡΜΟΛΟΓΙΟΝ

ΕΚΔΙΔΟΜΕΝΟΝ

ΥΠΟ

ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΠΡ. ΛΕΟΝΤΟΠΟΛΕΩΣ
ΣΩΦΡΟΝΙΟΥ ΕΥΣΤΡΑΤΙΑΔΟΥ

ΤΗ ΣΥΝΕΡΓΑΣΙΑ ΣΠΥΡΙΔΩΝΟΣ ΜΟΝΑΧΟΥ ΛΑΥΡΙΩΤΟΥ

Ὁ χρόνος συμπληροῖ μενος, ἀναστηλοῖ καὶ ζει τὸ ἁγιορειτικὸν

18895

CHENNEVIÈRES-SUR-MARNE
(Seine & Oise)
L'ERMITAGE 9, Rue du Pont

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

ΠΡΟΛΟΓΟΣ

Κατὰ τὸν η' αἰῶνα ἐν τῇ ὑμνολογίᾳ τῆς Ἐκκλησίας ἔλαβε χώραν σοβαρὰ ἐξέλιξις καὶ διαρρύθμισις ὀφειλομένη εἰς τὸν μουσικὸν ὀργασμὸν τῆς Παλαιστίνης καὶ ἰδιαίτατα εἰς τὸν Ἰωάννην Δαμασκηνόν. Οἱ μεγάλοι τῆς Ἱερουσαλὴμ μελῳδοί, ἐστενοχωρημένοι εἰς τὰ μέχρι τῆς ἐποχῆς των στενὰ τοῦ Τροπαρίου καὶ τοῦ Κοντακίου ὅρια, διέσπασαν τὸν τυπικὸν κύκλον καὶ ἀφῆκαν ἐλευθέραν τὴν ὁρμὴν τῆς μούσης των εἰς ἐξάρσεις μεγαλειώδεις καὶ θαυμαστάς. Τὰ πρωτάκουστα καὶ πρωτότυπα καὶ νεοφανῆ ταῦτα μελῳδήματα, τὰ ὁποῖα ἐξεπήδουν ἀπὸ τὰς χορδὰς τῆς λύρας των ἐν ποικιλότητι ρυθμοῦ καὶ ποικιλότητι μέλους, ἐκλήθησαν Εἱρμοί, [1] ὡς ἁρμονικὴ σύνθεσις βασικὴ ἐφ' ἧς τὰ μετ' αὐτὴν Τροπάρια ἐπακριβῶς ρυθμιζόμενα ἐστηρίζοντο καὶ ἁρμονικῶς ἠκολούθουν· τὸ δὲ βιβλίον τὸ τοὺς τοιούτους περιλαμβάνον Εἱρμοὺς ὠνομάσθη Εἱρμολόγιον.

Πρῶτος τῶν Εἱρμῶν ἐφευρέτης, καθ' ἡμᾶς, παρὰ τὴν ἐπικρατοῦσαν γνώμην, ἑπομένως καὶ τῶν Κανόνων, ὑπῆρξεν οὐχὶ ὁ μέχρι τοῦδε νομιζόμενος Ἀνδρέας ὁ Κρήτης, [2] ἀλλ' ὁ Δαμασκηνὸς Ἰωάννης. Ἡ τοιαύτη πλάνη προῆλθεν ἐκ τοῦ ὅτι ὁ Ἀνδρέας, ὁ ἱκανοὺς συνθέσας Εἱρμοὺς καὶ Κανόνας, ἐθεωρήθη προγενέστερος τοῦ Δαμασκηνοῦ. [3] Ὡς καὶ ἀλλαχοῦ εἴπομεν, [4] ἀμφότεροι οἱ ποιηταὶ ἦσαν σύγχρονοι δανειζόμενοι τοὺς Εἱρμοὺς αὐτῶν ἀμοιβαίως πρὸς σύνθεσιν τῶν ἰδίων Κανόνων. [5] Ὁ Ἀνδρέας, μεθ' ὅλην τὴν ἀδιαφιλονείκητον αὐτοῦ μουσικὴν καὶ ποιητικὴν ἀξίαν, δὲν ἦτο ὁ ἐνδεδειγμένος εἰς τοιαύτην σοβαρὰν μεταρρύθμισιν καὶ ἐκκλησιαστικὸν νεωτερισμόν· οὔτε ἐν Κωνσταντινουπόλει, ἔνθα καὶ ἄλλοι αὐτῷ σύγχρονοι ἤκμαζον ποιηταὶ καὶ μελῳδοί, ὡς ὁ πατριάρχης Γερμανὸς ὁ Α', πολὺ δὲ ὀλιγώτερον ἐν Κρήτῃ ἠδύνατο νὰ ἐφαρμόσῃ τολμηρὰ τοιαῦτα σχέδια ἀνατρέποντα τὸν τύπον τῆς καθιερωμένης ἐν τῇ ἐκκλησίᾳ λατρείας. Ὁ νεωτερισμὸς προῆλθεν ἀλλαχόθεν, καὶ δὴ ἐκ τῆς Λαύρας τοῦ ἁγίου Σάββα ἐν Ἱεροσολύμοις ἔνθα ἡ τῆς μελῳδίας πηγή, ὁ μέγας ἐκ Δαμασκοῦ μελῳδὸς Ἰωάννης ἐκίνει τὴν λύραν εἰς νέας στροφάς, αἵτινες διέσεισαν καὶ κατέρριψαν τοὺς ὑπάρχοντας φραγμοὺς πρῶτον ἐν τῇ ἐκκλησίᾳ τῶν Ἱεροσολύμων καὶ εἶτα πανταχοῦ. Τὸ κῦρος αὐτοῦ ὡς θεολόγου καὶ μουσουργοῦ ἐν τῇ καθόλου ἐκκλησίᾳ ἦν μέγα καὶ ἀδιάσειστον· δι' αὐτοῦ δὲ καὶ μόνου ἠδύνατο ἀσκανδαλίστως καὶ ἄνευ κλονι-

---

(1) Ὁ Ζωναρᾶς, ἐν τῇ ἑρμηνείᾳ τῶν Ἀναστασίμων Κανόνων τοῦ Δαμασκηνοῦ, οὕτωσὶ ἑρμηνεύει τὴν λέξιν : « Ὁ μὲν οὖν Εἱρμὸς ἁρμονία τίς ἐστι μέλους ἐν συνδέσει φωνῆς ἑνάρθρου τε καὶ σημαντικοῦ ὡρισμένῳ τινὶ μέτρῳ καὶ ποσῷ μεγέθους περιγραφομένη· ἥτις ἁρμονία προωρισμένη τε καὶ προεγνωσμένη προυπόκειται; πρὸς ἣν τὰ λεγόμενα τροπάρια ἀναφέρεται· οἱονεὶ γὰρ ἀρχὴ τῶν τροπαρίων ἐστὶ καὶ κανόνων, ἐπεὶ τὰ τροπάρια διὰ τοῦ Εἱρμοῦ κανονίζεται καὶ ρυθμίζεται πρὸς αὐτὸν ὡς προϋπόδειγμα συντιθέμενα καὶ ἁρμονιζόμενά τε καὶ μελῳδούμενα ». πρβλ. Christ καὶ Παρανίκα, Anthologia Graeca σ. LX καὶ Νικοδήμου Ἁγιορείτου, Ἑορτοδρόμιον (1836, Βενετία) σ. ιη'.

(2) Ἴδε Christ, ἔνθ' ἀνωτέρω σ. XLII.

(3) Γ. Παπαδοπούλου, Συμβολαὶ εἰς τὴν ἱστορίαν τῆς παρ' ἡμῖν ἐκκλησιαστικῆς μουσικῆς, ἐν Ἀθήναις, 1890, σ. 147. Οἰκονόμου, περὶ τῶν Ο' ἑρμηνευτῶν, τ. Δ', σ. 744.

(4) Ὁ Χριστὸς ἐν τῇ Ὑμνογραφίᾳ, Θεολογία τ. Θ' σ. 80 σημ.

(5) Ἐσφαλμένως ὁ Παρανίκας ἐν τῇ μελέτῃ αὐτοῦ περὶ τῆς χριστιανικῆς ποιήσεως τῶν Ἑλλήνων (ὁ ἐν Κωνσταντινουπόλει Ἑλλην. Φιλολ. Σύλλογος, 1873-1874, σ. 191) ἀποδέχεται τὸν Ἀνδρέαν μεταγενέστερον τοῦ Δαμασκηνοῦ· ὁ Δαμασκηνὸς ἐγεννήθη μὲν πρὸ τοῦ Ἀνδρέου, ἀλλ' ἀπέθανεν ἐννέα ὅλα ἔτη μετὰ τὸν Ἀνδρέαν († 749). Εἶνε ἀληθὲς ὅτι ὁ Ἀνδρέας κατὰ ποσὸν τῶν Εἱρμῶν ὑπερέχει πάντων· ὁ Louis Petit (ἐν Dictionnaire d'Archéologie Chrétienne, τ. Α', σ. 2040) μετὰ κοπιώδεις ἐρεύνας ἀνεβίβασε τὸν ἀριθμὸν τῶν Εἱρμῶν τοῦ Ἀνδρέου εἰς 111, ἐνῷ διὰ τῆς δημοσιεύσεως τῶν ἀγνώστων Εἱρμῶν τοῦ Ἀνδρέου ἐν τῷ παρόντι τεύχει ἀνεβιβάσαμεν αὐτοὺς εἰς 690· ὁ ἀριθμὸς τῶν Εἱρμῶν τοῦ Δαμασκηνοῦ ἀνέρχεται εἰ- 531 ἀλλὰ ταῦτα δὲν εἶναι ἀποχρῶντα λόγῳ νὰ θεωρηθῇ ὁ Ἀνδρέας ἐφευρέτης τῶν Εἱρμῶν.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

σμῶν νὰ γίνῃ δεκτὴ ἐν τῇ ἐκκλησίᾳ ἡ χρῆσις τῶν νεοφανῶν τούτων μελῳδιῶν καὶ μορφῶν, ἥτις, προαχθεῖσα ἐν τῇ ἐκκλησίᾳ καὶ εὐδοκιμήσασα, ἀνέδειξε μελῳδοὺς καὶ ποιητὰς ἀπαραμίλλους, οἷον τὸν Κοσμᾶν, τὸν Ἀνδρέαν Κρήτης καὶ τὸν Ἀνδρέαν Τυφλὸν ἢ Πηρόν, τὸν Ἀρκλᾶν, τὸν πατριάρχην Ἱεροσολύμων Ἠλίαν, τὸν Γεώργιον Ἀνατολικὸν καὶ Γεώργιον Σικελιώτην, τὸν Στέφανον Σαββαΐτην (ἀνεψιὸν τοῦ Δαμασκηνοῦ), τὸν μοναχὸν Δαμιανόν, τοὺς ἀγνώστους ποιητὰς Σιναΐτας, τὸν Γερμανὸν Κωνσταντινουπόλεως τὸν Α′, Σέργιον τὸν ἁγιοπολίτην, τὸν μοναχὸν Κυπριανόν, καὶ τοὺς λοιποὺς πάντας ὅσοι ἐν τῇ ἀνὰ χεῖρας βίβλῳ ἀναγράφονται. [6]

Οἱ Εἱρμοί, εἰς ἐννέα ᾠδὰς διαιρούμενοι, περιστρέφονται πάντες περὶ τὸ αὐτὸ θέμα, ἑκάστης ᾠδῆς τὸ αὐτὸ ἐχούσης αὐστηρῶς περιεχόμενον, ἀλλ' ἴδιον μέλος καὶ ρυθμόν· καὶ τοῦτο τὸ θαυμασμοῦ ἄξιον, ὅτι οἱ ποιηταὶ καὶ μελῳδοὶ τὸ αὐτὸ ἀντικείμενον διὰ τοσαύτης γλωσσικῆς ποικιλίας καὶ ρυθμοῦ ἀπετύπωσαν καὶ περιέβαλον ὅσας καὶ μελῳδίας ἐξεῦρον. Ἐν τῇ α′ ᾠδῇ ἐξυμνεῖται ἡ διὰ τῆς Ἐρυθρᾶς θαλάσσης διάβασις τῶν υἱῶν Ἰσραὴλ διωκομένων ὑπὸ τῶν Αἰγυπτίων καὶ διασωθέντων τῇ κραταιᾷ δυνάμει τοῦ Θεοῦ, ὡς ἐν τῇ Ἐξόδῳ (κεφ. ια′) ἀναγράφεται (Ἄσωμεν τῷ Κυρίῳ ἐνδόξως γὰρ δεδόξασται· ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν κέ). Τὸ τῆς β′ ᾠδῆς περιεχόμενον ἐλήφθη ἐκ τῆς ἐν τῷ Δευτερονομίῳ (κεφ. λβ′, 1) ᾠδῆς τοῦ Μωυσέως (Πρόσεχε οὐρανὲ καὶ λαλήσω καὶ ἀκουέτω γῆ ῥήματα ἐκ στόματός μου κέ). Τὸ τῆς γ′ ᾠδῆς ἐκ τῆς προσευχῆς Ἄννης μητρὸς Σαμουὴλ τοῦ προφήτου (Α′ Βασιλ. κεφ. β′. Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ, ὑψώθη κέρας μου ἐν Θεῷ μου, ἐπλατύνθη ἐπ' ἐχθρούς μου τὸ στόμα μου· ηὐφράνθην ἐν σωτηρίῳ σου κέ). Τὸ τῆς δ′ ἐκ τῆς προσευχῆς Ἀββακοὺμ τοῦ προφήτου (κεφ. γ′, 1. Κύριε, εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην· Κύριε, κατενόησα τὰ ἔργα σου καὶ ἐξέστην κέ). Τὸ τῆς ε′ ᾠδῆς ἐκ τῆς προσευχῆς Ἡσαΐου τοῦ προφήτου (κεφ. κϛ′, 9. Κύριε ὁ Θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν· ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σὲ ὁ Θεὸς διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς κέ). Τὸ τῆς ϛ′ ᾠδῆς ἐκ τῆς προσευχῆς Ἰωνᾶ ἐν τῇ κοιλίᾳ τοῦ κήτους (κεφ. β′, 2. Ἐβόησα ἐν θλίψει μου πρὸς Κύριον τὸν Θεόν μου καὶ εἰσήκουσέ μου· ἐκ κοιλίας ᾅδου κραυγῆς μου ἤκουσας φωνῆς μου κέ). Τὸ τῆς ζ′ ᾠδῆς ἐκ τῆς προσευχῆς τῶν ἁγίων τριῶν παίδων (Δανιὴλ κεφ. γ′. Εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας κέ). Τὸ τῆς η′ ᾠδῆς ἐκ τοῦ ὕμνου τῶν ἐν καμίνῳ τριῶν παίδων (Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας κέ). Τὸ δὲ τῆς θ′ ᾠδῆς ἐκ τῆς ἐν τῷ Λουκᾷ (κεφ. α′, 46) ᾠδῆς τῆς Θεοτόκου (Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου κέ)· ἀπαρεγκλίτως δὲ ἐν τῇ θ′ ᾠδῇ ἐξυμνεῖται καὶ μεγαλύνεται ἡ τοῦ Θεοῦ Λόγου μήτηρ ὡς γεννήσασα τῆς ἡμῶν σωτηρίας τὸν αἴτιον.

Ἡ τῶν Εἱρμῶν ἔκδοσις ἐγένετο ἐπὶ τῇ βάσει δύο ἀρχαίων δοκίμων Κωδίκων, περικλειόντων τὸν ἅπαντα εἱρμολογικὸν πλοῦτον τὸν γνωστὸν μέχρι τοῦ ιγ′ αἰῶνος, καὶ ἐν χρήσει ὄντα τότε ἐν τῇ ἐκκλησίᾳ. Οἱ πλεῖστοι τῶν Εἱρμῶν τούτων, οἱ ἄγνωστοι καὶ εἰς ἀχρηστίαν πεσόντες, ἠκολούθησαν τὴν τύχην τῶν Κανόνων, τοὺς ὁποίους αἱ τυπικαὶ διατάξεις ἀπέκλεισαν σὺν τῷ χρόνῳ ἐκ τοῦ ἐκκλησιαστικοῦ περιβόλου ὡς πλεονάζοντας. Ὁ ὑμνολογικὸς πλοῦτος, διὰ τῶν αἰώνων ὑπερπληθυνθείς, δὲν ἦτο δυνατὸν ν' ἀποτελέσῃ μέρος τῆς θείας λατρείας ἐν τῷ συνόλῳ δι' ἔλλειμιν χρόνου καὶ χώρου. Ἐν μιᾷ καὶ τῇ αὐτῇ ἑορτῇ, δεσποτικῇ ἢ θεομητορικῇ, ἢ μνήμῃ ἁγίου ἐποιοῦντο τόσοι Κανόνες ἐπὶ νέων Εἱρμῶν, ὅσοι καὶ ποιηταὶ ἦσαν. Διὰ τῶν τυπικῶν διατάξεων τῶν ἐπὶ μέρους ἐκκλησιῶν καὶ μονῶν ὁ ἀριθμὸς τῶν Κανόνων περιωρίσθη εἰς ἕνα, δύο ἢ τὸ πολὺ τρεῖς καθ' ἡμέραν κατὰ ἀρέσκειαν καὶ ἐκλογήν. Τῶν ἄλλων, κατὰ συνέπειαν παραμερισθέντων καὶ σὺν τῷ χρόνῳ ἀγνοηθέντων, μετ' αὐτῶν δὲ καὶ οἱ Εἱρμοὶ τούτων. Διὰ τοῦτο καὶ τὰ ἔντυπα Εἱρμολόγια περιέλαβον μόνον τοὺς Εἱρμοὺς

(6) Ἴδε τὸν ἐν τέλει ἐπιφερόμενον κατάλογον τῶν ποιητῶν τοῦ Εἱρμολογίου.

(7) Τὸ ἁγιοσαβαϊτικὸν τυπικὸν ὁρίζει τὴν χρῆσιν τῶν Κανόνων τοῦ Δαμασκηνοῦ κατὰ προτίμησιν, ὅπου τοιοῦτοι ὑπάρχουσι. (Κεφ. Ζ′, ἔκδ. Βενετίας, 1685).

ἐκείνους, ὅσων οἱ Κανόνες σταθερῶς ἐτηρήθησαν ἐν χρήσει τῆς θείας λατρείας· οἱ λοιποὶ πάντες, ἔργα τῶν μεγάλων τῆς ἐκκλησίας καὶ οὗτοι ποιητῶν, εἰς ἀχρηστίαν περιελθόντες ἔκειντο εἰς τὰ βάθη τῶν βιβλιοθηκῶν ἐν ἀρχαίαις μεμβράναις ἀγνοούμενοι. Ἡ μελέτη τῶν τοιούτων φιλολογικῶν καὶ ποιητικῶν κειμηλίων, τῶν ὑπερτίμων καὶ ἱερῶν, ἐν οἷς διατηρεῖται ἄσβεστος ἡ φλὸξ τῆς πίστεως τῶν πατέρων ἡμῶν, καὶ αἱ ἀστραπαὶ τῆς διανοίας αὐτῶν καταλάμπουσαι, ἐξέκαυσε τὸν ζῆλόν μου καὶ συνεκίνησε τὴν ψυχήν μου ἵνα μὴ ἀφήσω ὑπὸ τὴν πλάκα τῆς λήθης τοὺς ποιητὰς στενάζοντας. Ἐκ τοῦ παρισινοῦ μεμβρανίνου μουσικοῦ Κώδικος τῆς Ἐθνικῆς Βιβλιοθήκης τῶν Γάλλων ὑπ' ἀριθ. 220 Coislin, κατὰ τὸν ιγ′ αἰῶνα γραφέντος, περισυνέλεξα τὸ πλούσιον ὑλικὸν τῶν Εἱρμῶν καὶ συνεπλήρωσα τοῦτο δι' ἑτέρου μεμβρανίνου Κώδικος εἰς τὴν ιγ′ ἑκατονταετηρίδα ἀναγομένου καὶ ἀποκειμένου ἐν τῇ Μεγίστῃ Λαύρᾳ (ἐν Ἁγίῳ Ὄρει) ὑπ' ἀριθ. Β 32, τῇ βοηθείᾳ τοῦ φιλοπόνου μοναχοῦ καὶ ζηλωτοῦ συνεργάτου Γέροντος Σπυρίδωνος Λαυριώτου. Ἐκ τῶν δύο τούτων ἀρχαίων Κωδίκων, ὧν τὸν μὲν τῆς Ἐθνικῆς Βιβλιοθήκης τῶν Παρισίων 220 Coislin σημειῶ διὰ τοῦ γράμματος Α εἰς τὰς ἐν ἀρχῇ ἑκάστου Εἱρμοῦ παραπομπάς, τὸν δὲ τῆς Λαύρας Β 32 διὰ τοῦ γράμματος Β, ἀπηρτίσθη ἡ παροῦσα ἔκδοσις, πάντα τὸν μέχρι τοῦ ιγ′ αἰῶνος γνωστὸν Εἱρμολογικὸν πλοῦτον περιλαβοῦσα καὶ περισώζουσα. [8]

ΑΙ ΤΟΥ ΕΙΡΜΟΛΟΓΙΟΥ ΕΚΔΟΣΕΙΣ [9]

Ἡ πρώτη ἔκδοσις τοῦ Εἱρμολογίου ἐγένετο ἐν Βενετίᾳ τῷ 1568 παρὰ Ἰακώβου τοῦ Λεογκίνου.

Δευτέρα τούτου ἔκδοσις ἐν τῇ αὐτῇ πόλει τῷ 1584 ὡς ἐν τῷ τίτλῳ ἀναγινώσκομεν: « τὸ παρὸν βιβλίον (Εἱρμολόγιον) ἐτυπώθη Ἐνετίησιν, ἐκ τῶν τύπων τοῦ Κοινάδου ἐν ἔτει τῷ ἀπὸ τῆς ἐνσάρκου οἰκονομίας τοῦ Κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ᾳφπδ′ ».

Τρίτη ἔκδοσις ἐν τῇ αὐτῇ πόλει τῷ 1714 μὲ παρηλλαγμένον καὶ ἐκτενέστερον τίτλον : « Εἱρμολόγιον σὺν Θεῷ ἁγίῳ περιέχον τὴν πρέπουσαν αὐτῷ Ἀκολουθίαν, ἐν ᾧ προσετέθησαν καὶ ἑπτὰ οἰκουμενικαὶ ἅγιαι σύνοδοι καὶ συνοικέσια· ἔτι δὲ τὰ ἑπτὰ

(8) Διαφοραὶ γραφῶν μεταξὺ τῶν δύο ἀνωτέρω Κωδίκων εἶναι ἱκαναί· τὰς τοιαύτας γραφὰς δὲν ἐσημείωσα ἵνα μὴ αὐξήσω τὸν ὄγκον τοῦ βιβλίου· ἐκροτιμήθησαν αἱ γραφαὶ αἱ ἰδιάζουσαι εἰς τὸ ὕφος ἑκάστου ποιητοῦ εἰς τινα μέρη ἐθεώρησα ἀναγκαίαν τὴν γραφὴν τοῦ Κώδικος καὶ ἐσημείωσα ταύτην ὑπὸ τὸ κείμενον. Τινὲς τῶν Εἱρμῶν μεμονωμένοι εἰς ἕνα τῶν δύο Κωδίκων καὶ ἀνάτως χωλαίνοντες ἀφέθησαν ὡς εἶχον διὰ τὴν ἔλλειψιν ἄλλου ἀντιτύπου πρὸς διόρθωσιν. Οἱ τὸ πρῶτον νῦν δημοσιευόμενοι Εἱρμοὶ σημειοῦνται ἐν ἀρχῇ δι' ἀστερίσκου.

(9) Τῆς ἐκδόσεως τοῦ Εἱρμολογίου προηγήθησαν αἱ ἐκδόσεις τῶν ἄλλων ἐκκλησιαστικῶν βιβλίων· ἐκ τούτων πρῶτον πάντων ἐτυπώθη ἐν Ἐνετίᾳ, τῷ 1486, τὸ Ψαλτήριον ὑπὸ τοῦ πρώτου Ἕλληνος τυπογράφου Ἀλεξάνδρου Γεωργίου ἐκ Χάνδακος τῆς Κρήτης (Βρετοῦ Λ′, 1)· μετὰ τοῦτο ἐξεδόθη τὸ Ὡρολόγιον ἐν Βενετίᾳ, τῷ 1509· ἐπηκολούθησεν ἡ τῆς Παρακλητικῆς ἔκδοσις (ἡ Ὀκτώηχος) τῷ 1510 ἐν Ρώμῃ (Παρανίκα, Σχεδίασμα, σ. 207), εἶτα ἡ τοῦ Τριῳδίου τῷ 1522 (Legrand, Bibliographie Hellénique), μετὰ ταῦτα τοῦ Πεντηκοσταρίου τῷ 1525, ἔπειτα τοῦ Εὐχολογίου τῷ 1526, καὶ εἶτα τῶν Μηναίων, ὧν ἡ πρώτη γνωστὴ ἔκδοσις ἐγένετο κατὰ τὸ 1548. Ἐν τῇ ἐκδόσει ταύτῃ (τοῦ μηνὸς Μαρτίου) προλογιζόμενος Ἀντώνιος ὁ Ἔπαρχος τῷ οἰκουμενικῷ πατριάρχῃ Διονυσίῳ, πρὸς οἷς ἄλλοις λέγει : « ταῦτα λογιζόμενος ὁ παρ' ἡμῖν ἐπιφανέστατος Ἱερώνυμος ὁ Κορνήλιος, ἀνὴρ τῶν πρωτευόντων ἐν τῇ μεγαλοπρεπεῖ ταύτῃ γερουσίᾳ τῶν Ἐνετῶν, φιλέλλην μάλιστα καὶ φιλάνθρωπος ὤν, χρόνον διατρίψας ἐν Κρήτῃ μακρόν, καὶ πεῖραν λαβὼν ἱκανὴν τῆς ἡμῶν ἐκκλησίας, ἔγνω συμβουλεύσαι Ἀνδρέᾳ τῷ Σπινέλλῃ, ἀνδρὶ σεμνοτάτῳ καὶ θεοσεβεῖ, ἐκτυπῶσαι πρὸς ὠφέλειαν τοῦ γένους τὰ Μηναῖα ταῖπι καινοῖς τισι τύποις καὶ γλαφυροῖς χαρακτῆρσι δεξιῶς εἰργασμένοις καὶ καλλίστοις ἰδεῖν· ὃς δὴ τὴν συμβουλίαν ἀσμένως δεξάμενος, οὐ μόνον τὴν χαλκουργίαν οἵαν οὐδεὶς ἄλλος τῶν προτέρων παρασκεύασεν, ἀλλὰ πρὸς τούτοις καὶ χάρτας ἐξεῦρε τῶν λευκοτάτων καὶ κατὰ τέχνην ἀκριβῆ πεποιημένων πρὸς ἐξαρκοῦσαν τῶν βιβλίων διαμονήν. Ἔτι δὲ πόνων οὐκ ἐφείσατο οὔτε διαπάνης, λαβὼν ἐπὶ πᾶσι συλλήπτορα καὶ τὸν εὐλαβῆ τοῦ Ναυπλίου πρωτοπαπᾶν Νικόλαον τὸν Μαλαξόν, ἄνδρα θεοσεβῆ καὶ τὰ θεῖα ἄκρως πεπαιδευμένον, ὅστις διεφθορότων τῶν πρωτοτύπων ἐπανωρθώσατο πάντα καὶ εἰς τὸ ὑγιέστερον ἀποκατέστησε ».

Ἐκ τῆς ἐκδόσεως ταύτης τοῦ Σπινέλη, ἣν ἐπεμελήθη ὁ Μαλαξός, μόνον τὸ τοῦ μηνὸς Μαρτίου Μηναῖον ἐγένετο γνωστὸν τῷ Legrand· ἂν ἡ ὅλη σειρὰ ἐτυπώθη καὶ εἰς ποῖα ἔτη ἄγνωστον· συνεχίζεται ἡ τῶν Μηναίων ἔκδοσις κατὰ τὸ ἔτος 1551 καὶ ἐφεξῆς. Μετὰ τὰς ἐκδόσεις ταύτας ἀκολουθεῖ ἡ τοῦ Εἱρμολογίου κατὰ τὸ 1568,

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

μυστήρια τῆς ἐκκλησίας καὶ τὰ ἑπτὰ χαρίσματα τοῦ ἁγίου Πνεύματος· αἱ τέσσαρες γενικαὶ ἀρεταὶ τῆς ψυχῆς καὶ τοῦ σώματος καὶ τὰ ἑπτὰ θανάσιμα ἁμαρτήματα ἐν εἴδει δένδρου μετὰ τῆς ἑρμηνείας αὐτῶν, τὰ πάντα μετ' ἐπιμελείας τυπωθέντα· Ἐνετήσιν· παρὰ Νικολάῳ τῷ Σάρῳ· ᾳψιδ′ ». Ἀπὸ τῆς ἐκδόσεως ταύτης χρονολογεῖται ἡ μετὰ τοῦ Εἱρμολογίου καὶ ἄλλων τινων ἔκδοσις, ὡς ἀνωτέρω, διὰ τὸ ὀλιγοσέλιδον τοῦ βιβλίου.

Τετάρτη ἔκδοσις, ἀπαραλλάκτως τὸν ἴδιον φέρουσα τίτλον, ἐγένετο κατὰ τὸ 1753 παρὰ τῷ αὐτῷ Νικολάῳ Σάρῳ ἐν Βενετίᾳ.

Πέμπτη ἔκδοσις, μετὰ τοῦ αὐτοῦ περιεχομένου καὶ τίτλου, ἐν Βενετίᾳ τῷ 1760, παρὰ Ἀντωνίῳ Βόρτολι.

Ἕκτη ἔκδοσις, πεπλουτισμένη καὶ δι' ἄλλων τινων καὶ ἐκτενεστέρου τίτλου, τῷ 1770, ὡς ἑξῆς : « Εἱρμολόγιον σὺν Θεῷ ἁγίῳ περιέχον τὴν πρέπουσαν αὐτῷ Ἀκολουθίαν, ἐν ᾧ προσετέθησαν αἱ θ′ ᾠδαί, τὰ κατ' ἦχον Φωταγωγικά, τὰ Ἐξαποστειλάρια τῆς ὅλης ἑβδομάδος, οἱ Αἶνοι μετὰ τῆς Δοξολογίας, οἱ κδ′ οἶκοι εἰς τὴν ὑπεραγίαν Θεοτόκον, οἱ κδ′ οἶκοι εἰς τὸν ζωοποιὸν σταυρόν, ὁ τύπος τοῦ τιμίου σταυροῦ, αἱ ἑπτὰ οἰκουμενικαὶ ἅγιαι σύνοδοι καὶ τὰ συνοικέσια· ἔτι δὲ τὰ ἑπτὰ μυστήρια τῆς ἐκκλησίας καὶ τὰ ἑπτὰ χαρίσματα τοῦ ἁγίου Πνεύματος· αἱ τέσσαρες γενικαὶ ἀρεταὶ τῆς ψυχῆς καὶ τοῦ σώματος καὶ τὰ ἑπτὰ θανάσιμα ἁμαρτήματα ἐν εἴδει δένδρου μετὰ τῆς ἑρμηνείας αὐτῶν· τὰ πάντα μετ' ἐπιμελείας διορθωθέντα· Ἐνετήσιν 1770· παρὰ Ἀντωνίῳ τῷ Βόρτολι ».

Ἑβδόμη ἔκδοσις ὁμοία τῇ ἀνωτέρω κατὰ τὸ περιεχόμενον καὶ τίτλον : « Εἱρμολόγιον... νεωστὶ τύποις ἐκδοθὲν καὶ ἐπιμελῶς διορθωθὲν παρὰ Σπυρίδωνος ἱεροδιακόνου τοῦ Παπαδοπούλου· Ἐνετήσιν ᾳψοβ′· 1772· παρὰ Νικολάῳ Γλυκεῖ τῷ ἐξ Ἰωαννίνων ».

Ὀγδόη ἔκδοσις τὸν αὐτὸν φέρουσα τίτλον καὶ τὸ αὐτὸ περιεχόμενον : « ᾳφπ' Ἐνετήσιν· 1780· παρὰ Νικολάῳ Γλυκεῖ τῷ ἐξ Ἰωαννίνων ».

Δεκάτη ἔκδοσις κατὰ τὴν ἀνωτέρω : « Ἐνετήσι 1796· παρὰ Νικολάῳ Γλυκεῖ τῷ ἐξ Ἰωαννίνων ».

Ἐνδεκάτη ἔκδοσις μετὰ πολλῶν παραλείψεων καὶ συντομωτέρου τίτλου : « Εἱρμολόγιον σὺν Θεῷ ἁγίῳ περιέχον τοὺς Εἱρμοὺς τῶν ἤχων, τὰς θ′ ᾠδάς, τὰ Φωταγωγικά, τὰ Ἐξαποστειλάρια, Αἴνους, τοὺς κδ′ Οἴκους τῆς Θεοτόκου, τοὺς κδ′ Οἴκους τοῦ σταυροῦ καὶ ἄλλα, ὡς ἐν πίνακι φαίνεται· πρώτη ἔκδοσις· αω. Ἐνετήσιν 1800· παρὰ Πάνῳ Θεοδοσίου τῷ ἐξ Ἰωαννίνων ».

Αἱ ἀνωτέρω 11 ἐκδόσεις τοῦ Εἱρμολογίου 10 ἐγένοντο ἀπὸ τῆς ἐφευρέσεως τῆς τυπογραφίας μέχρι τοῦ 1800. Κατὰ τὸν ιθ′ αἰῶνα ἐπηκολούθησαν ἄλλαι τινές, ὧν ἡ ἐσχάτη ἡ ἐν Ἀθήναις, τῷ 1906, ὑπὸ τὸν τίτλον : « Εἱρμολόγιον περιέχον τοὺς Εἱρμοὺς τῶν Κανόνων κατ' ἦχον, τὰς ἐννέα ᾠδάς, τὰ Φωταγωγικά, τὰ Ἐξαποστειλάρια καὶ τοὺς Αἴνους μετὰ παραρτήματος πρὸς τὸ εὐρυθμότερον ἀναχθεῖσα μετ' ἀκριβοῦς ἐπιδιορθώσεως τῇ ἐγγράφῳ ἀδείᾳ τῆς ἁγίας τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας· ἔκδοσις Ἰωάννου Νικολαΐδου, ἐν Ἀθήναις· τυπογραφεῖον καὶ βιβλιοπωλεῖον Ἰ. Νικολαΐδου 1906 ». Ἐν τῇ ἐν λόγῳ ἐκδόσει (σχήματος μικροῦ) οἱ Εἱρμοὶ κατέχουσι 144 μόνον σελίδας μεθ' ὅλην τὴν προσθήκην νέων τινῶν Εἱρμῶν τὸ πρῶτον ἤδη τυπουμένων. Ἡ τῶν Εἱρμῶν σειρὰ ἐγένετο κατὰ τὸν τρόπον τῶν προηγηθεισῶν ἐκδόσεων, ἤτοι ἐν συνεχείᾳ κατ' ᾠδάς. Εἰς τὴν ᾠδὴν α′ τίθενται πάντες οἱ Εἱρμοὶ ὁ εἷς μετὰ τὸν ἄλλον, σημειουμένης μόνον τῆς ἡμέρας, καὶ τοῦτο εἰς τινας μόνον Εἱρμούς, καθ' ἣν οὗτος ᾐάλλεται· οὕτως εἰς τὸν Α′ ἦχον, ᾠδὴν α′, ἐπιφέρονται ἐν συνεχείᾳ πάντες οἱ τοῦ αὐτοῦ ἤχου καὶ τῆς αὐτῆς ᾠδῆς Εἱρμοί· μετὰ τὴν πρώτην ᾠδὴν ἐπιφέρεται ἡ β′ μεθ' ὅλων τῶν τῆς β′ ᾠδῆς Εἱρμῶν καὶ οὕτω καθεξῆς μέχρι τῆς θ′ ᾠδῆς· οὔτε ὀνόματα ποιητῶν οὔτε διάκρισις τοῦ ἔργου ἑκάστου φανερὰν γίνεται· ἐπισώρευσις Εἱρμῶν τοῦ αὐτοῦ ἤχου καὶ τῆς αὐτῆς ᾠδῆς καὶ πλέον οὔ· ἡ δὲ καταλογάδην μέχρι τοῦδε γε-

(10) Εἰς τὰς ἐκδόσεις ταύτας δὲν καταριθμοῦμεν τὸ Εἱρμολόγιον τῶν Καταβασιῶν τοῦ ὅλου ἐνιαυτοῦ οὗτινος ἡ τελευταία ἔκδοσις ἐγένετο ἐν Κων)πόλει τῷ 1912 (τὸ ἔκτον ὑπὸ Δ. Ἰωάννου Πρωτοψάλτου).

νομένη ἔκδοσις ὄχι μόνον τὴν ρυθμικὴν αὐτῶν μορφὴν ἀπέκρυπτε καὶ τὴν εὕρεσ ταύτης δυσχερῆ καθίστα, ἀλλὰ καὶ τὰ σφάλματα ἐπολλαπλασίαζε, τῶν διαφόρων ἐκδ τῶν κατὰ δοκοῦν ἐπανορθούντων τὰ νομιζόμενα σφάλματα. Ἡ εἰς τὴν φυσικὴν αὐτ μορφὴν κατὰ τὸν ρυθμὸν τοῦ ποιήματος γινομένη πρῶτον νῦν ἔκδοσις ἐγένετο οὐ αὐθαιρέτως καὶ ἀβασίμως, ἀλλ' ἐπὶ τῇ βάσει ἐνδείξεων καὶ σημείων τοῦ μνημονευθέ τος παρισινοῦ Κώδικος, ὅστις τὸν ρυθμὸν καὶ τοὺς στίχους τῶν ποιημάτων ὑποδηλ δι' ἐρυθρῶν στιγμῶν. Ὁ Εἱρμὸς ὁ κατὰ ἴδιον μέλος καὶ ρυθμὸν συντεταγμένος, ρυθμίζων τὰ τῶν κανόνων τροπάρια, πρέπον ἦτο νὰ παρασταθῇ ἐν τῇ ἰδίᾳ αὐτοῦ μορ φῇ, τῇ ρυθμικῇ καὶ μετρικῇ, ἵνα καὶ τὸ κάλλος τοῦ μέλους ἀναδειχθῇ καὶ τὰ ἐπεισ χθέντα σὺν τῷ χρόνῳ συμπληρωματικὰ ἀφανισθῶσιν. Εἰς τὴν τοιαύτην φυσικὴν τῶ Εἱρμῶν παράστασιν ἐπέστησα ἰδιαζόντως τὴν προσοχήν μου, βοηθούμενος εἰς τοῦτ καὶ ἐκ τῆς προσκτηθείσης πείρας, ἀλλὰ καὶ ἐκ τῆς μελέτης τοῦ παρισινοῦ Κώδικο τοῦ μετ' αὐστηρότητος φυλάσσοντος τῶν ποιημάτων τούτων τὸν ρυθμόν. Καὶ ἰδο κατέχομεν σήμερον ἐν τῇ καθαρᾷ καὶ πρωτοτύπῳ μορφῇ τὸ σύνολον τῶν Εἱρμῶν σ σους οἱ δύο μνησθέντες Κώδικες διεφύλαξαν, χωρὶς ν' ἀποκλείεται ἡ πιθανότης ὅ καὶ ἄλλοι τινες τυχὸν Κώδικες περικλείουσιν ἀριθμόν τινα Εἱρμῶν ἀγνώστων ἡμῖ τοὺς ὁποίους οἱ μεθ' ἡμᾶς θὰ φέρωσιν εἰς φῶς, εἰς δόξαν τῶν ἀθανάτων πατέρω ἡμῶν οἵτινες κατηγλάϊσαν διὰ τῶν προϊόντων τῆς μούσης αὐτῶν τῆς ἐκκλησίας τ στερέωμα.

† Ὁ πρ. Λεοντοπόλεως ΣΩΦΡΟΝΙΟΣ ΕΥΣΤΡΑΤΙΑΔΗΣ.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

I
II c.39-66
III c.67-93

ΕΙΡΜΟΙ Α' ΗΧΟΥ

1

ΑΚΟΛΟΥΘΙΑ ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Ἰωάννου μοναχοῦ

φ. 1α

Ἦχος α'. Ὠδὴ α'

Σοῦ ἡ τροπαιοῦχος δεξιὰ
θεοπρεπῶς ἐν ἰσχύϊ δεδόξασται·
αὕτη γάρ, ἀθάνατε,
ὡς πανσθενὴς ὑπεναντίους ἔθραυσε
τοῖς Ἰσραηλίταις
ὁδὸν βυθοῦ καινουργήσασα.

Ὠδὴ γ'

Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν
οὐσίας τὴν ἀσθένειαν
καὶ συμπαθῶς αὐτὴν μορφωσάμενος
περίζωσόν με ἐξ ὕψους δύναμιν
τοῦ βοᾶν σοι Ἅγιος
ὁ ναὸς ὁ ἔμψυχος
τῆς ἀφράστου σου δόξης, φιλάνθρωπε.

Ὠδὴ δ'

Ὄρος σε τῇ χάριτι τῇ θείᾳ κατάσκιον
προβλεπτικοῖς ὁ Ἀββακοὺμ
κατανοήσας ὀφθαλμοῖς
ἐκ σοῦ ἐξελεύσεσθαι
τοῦ Ἰσραὴλ προανεφώνει τὸν Ἅγιον
εἰς σωτηρίαν ἡμῶν τῶν ὑμνούντων σε.

Ὠδὴ ε'

Ὁ φωτίσας
τῇ ἐλλάμψει τῆς σῆς παρουσίας, Χριστέ,
καὶ φαιδρύνας
τῷ σταυρῷ σου τοῦ κόσμου τὰ πέρατα
τὰς καρδίας φώτισον
φωτὶ τῆς σῆς θεογνωσίας
τῶν ὀρθοδόξως ὑμνούντων σε.

Ὠδὴ ς'

Ἐκύκλωσεν ἡμᾶς ἐσχάτη ἄβυσσος
οὐκ ἔστιν ὁ ῥυόμενος
ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς
σῶσον τὸν λαόν σου ὁ Θεὸς ἡμῶν
σὺ γὰρ ἰσχὺς
τῶν ἀσθενούντων καὶ ἐπανόρθωσις.

Ὠδὴ ζ'

Σὲ νοητήν,
Θεοτόκε, κάμινον
κατενοοῦμεν οἱ πιστοί·
ὡς γὰρ παῖδας ἔσωσε τρεῖς
ὁ ὑπερυψούμενος
κόσμον ἀνεκαίνισεν
ἐν τῇ γαστρί σου ὁλόκληρον
ὁ αἰνετὸς τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος.

Ὠδὴ η'

Ἐν καμίνῳ παῖδες Ἰσραὴλ
ὡς ἐν χωνευτηρίῳ
τῷ κάλλει τῆς εὐσεβείας
καθαρώτερον χρυσοῦ
ἀπέστιλβον λέγοντες·
εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Τύπον τῆς ἁγνῆς λοχείας σου
πυρπολουμένη βάτος ἔδειξεν ἄφλεκτος·
καὶ νῦν καθ' ἡμῶν
τῶν πειρασμῶν ἀγριαίνουσαν
κατασβέσαι αἰτοῦμεν τὴν κάμινον
ἵνα σε, Θεοτόκε,
ἀκαταπαύστως μεγαλύνωμεν.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

2

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Ἰωάννου μοναχοῦ

Λ φ. 2α

ὨΙδὴ α'. Ἦχος α'

* Ἄσωμεν λαοὶ ἐπινίκιον ἆσμα
Χριστῷ τῷ Θεῷ
τῷ ἐκ νεκρῶν ἀναστάντι
τῇ τρίτῃ ἡμέρᾳ
καὶ τὴν πεσοῦσαν φύσιν ἡμῶν
ἐκ θανάτου καὶ φθορᾶς ἐλευθερώσαντι
ἐνδόξως ὅτι δεδόξασται.

ὨΙδὴ γ'

Στείρα ψυχὴ Θεῷ καρποφόρησον
καὶ βόησον ἐν στεναγμοῖς
ἀνάστα Κύριε
σῶσον τὸν λαόν σου
ὁ στερεῶν ἐν συνέσει τοὺς οὐρανούς.

ὨΙδὴ δ'

Ὁ ἱερὸς Ἀββακοὺμ
τὴν ἄῤῥαστόν σου καὶ θείαν, Λόγε, κένωσιν
προορῶν ἀνεκραύγαζεν·
ἥξει ὁ Θεὸς ἐξ ὄρους
ἐκ λαγόνων μητρικῶν τοῦ σῶσαι τὸν Ἀδὰμ
τῇ θείᾳ ἀναστάσει αὐτοῦ.

ὨΙδὴ ε'

Ὁ Ἡσαΐας καθαρθεὶς
τοῖς χείλεσι σεραφικῶς
τὸν ἐπὶ θρόνου χερουβὶμ
προεώρακε Θεὸν
καὶ τοῖς λαοῖς ἐπορθρίσας
κραυγάζειν ἐδίδαξεν·
ἀνέστη ὁ Κύριος
ὄρθρον φαεινὸν ἀνατείλας ἡμῖν.

ὨΙδὴ ς'

Ὁ προφήτης ἐν τῷ κήτει πάλαι
εἰσδὺς προστάγματι δεσποτικῷ
σταυρὸν ἐτύπου ταῖς χερσὶ
τὴν ταφὴν τῇ καθόδῳ
ἀνάστασιν τὴν παμφαῆ
τῇ τριημέρῳ ἐξόδῳ
τῆς τοῦ θηρὸς καταπόσεως.

ὨΙδὴ ζ'

Ἔσβεσε ποτὲ τὴν κάμινον τῶν παίδων
ἐκύλισε τὸν λίθον
τοῦ ἐνδόξου μνήματος
καὶ γυναιξὶ μυροφόροις
εὐηγγελίζετο λέγων
ἀνέστη ὁ Κύριος
ἄγγελος ἑωσφόρος.

ὨΙδὴ η'

Ἡ τρίφωτος οὐσία
καὶ τρισήλιος δόξα
συγκατέβη τοῖς παισὶν
ἐν μέσῳ τοῦ πυρὸς
τούτους ἀσινεῖς διατηροῦσα
καὶ τὴν ἀνάστασιν ἡμῖν προκαταγγέλλουσα
Χριστὸς ὁ Θεὸς ἡμῶν
ὃν ἀνυμνοῦσιν ἄγγελοι
καὶ τῶν βροτῶν τὰ πλήθη
ὡς νικητὴν τοῦ θανάτου εἰς τοὺς αἰῶνας.

ὨΙδὴ θ'

Ἡ ἄσπιλος ἀμνὰς
τὸν ἀμνὸν καὶ ποιμένα
ἐπὶ σταυροῦ καθορῶσα
ἐκπληττομένη τῷ θαύματι
ἀνεβόα μητρικῶς·
τί τὸ δρώμενον
γλυκύτατον καὶ παμφίλτατον τέκνον ;
ἡ σύλληψις ἄφραστος
καὶ ὁ τόκος ὑπὲρ φύσιν
καὶ τίς ὁ πλοῦτος τῆς σῆς οἰκονομίας ;
ὅμως διὰ τὸ σῶσαι τὸν Ἀδὰμ
ὑφίστασαι τὰ πάθη·
ἀλλ' ἀνάστα τριήμερος
ὡς Θεὸς καὶ λυτρωτὴς
σώζων τὸ γένος τῶν βροτῶν
καὶ μεγαλύνων τὴν ἀφράστως τεκοῦσάν σε.

3

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Ἰωάννου μοναχοῦ

Λ φ. 3β

ὨΙδὴ α'. Ἦχος α'

Λουλείας Χριστὸς ἐλυτρώσατο
τὸν Ἰσραὴλ τοῦ Φαραὼ
καὶ διήγαγεν ἀβρόχως
ᾄδοντα ἐπινίκιον ᾠδὴν
ὅτι δεδόξασται.

ὨΙδὴ γ'

Ὁ ὑψῶν τὸ κέρας τῶν εἰς σὲ πεποιθότων
καὶ ἐν τῇ πέτρᾳ
στηρίζων τῶν σῶν θελημάτων
ἅγιος Κύριος εἷς καὶ δίκαιος.

ὨΙδὴ δ'

Προορῶν σοῦ, Λόγε,
τὴν φρικτὴν οἰκονομίαν
ὁ προφήτης Ἀββακοὺμ
ἀνεκραγεν ἐν φόβῳ·

ἐλήλυθεν ἐφάνεν
ἦλθεν ἔσωσεν ἡμᾶς·
δόξα τῇ ἀφάτῳ κενώσει αὐτοῦ.

ὨΙδὴ ε'

Τοὺς ἐξ ἀχλύος πταισμάτων
ἐπορθρίζοντας, Λόγε,
ἐπὶ τὰ προστάγματα
τῶν θείων ἐντολῶν σου
φώτισον καὶ εἰρήνην δώρησαι
δοξάζειν σε τὸ φῶς τὸ ἀπρόσιτον.

ὨΙδὴ ς'

Πρὸς τὸν δυνάμενον σώζειν
ἐκ θανάτου καὶ φθορᾶς
ἐκ θλίψεως κακῶν μου ἐβόησα·
οἶδας, εὔσπλαγχνε,
τῆς φύσεως τὸ ἀσθενὲς
πρόστηθι καὶ ῥῦσαι
κινδύνων με καὶ θλίψεων, Κύριε.

ὨΙδὴ ζ'

Ὕψωσαν τὰς χεῖρας οἱ περὶ Ἀζαρίαν
καὶ τὴν φλόγα τοῦ πυρὸς
εἰς δρόσον μετεποίησαν
δοξολογοῦντές σε
τὸν τῶν πατέρων Θεόν.

ὨΙδὴ η'

Τῆς καμίνου τὴν φλόγα
οἱ τρισόλβιοι παῖδες
εἰς δρόσον μετέβαλον
καὶ θεολόγοις χείλεσι
ἀνέμελπον τὸν ὕμνον·
εὐλογεῖτε ἱερεῖς τὸν Κύριον
λαὸς ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

ὨΙδὴ θ'

Ἐν σοί, Παρθένε πανάμωμε,
αἱ πορεῖαι τοῦ Θεοῦ ἐθεωρήθησαν·
τὴν σὴν γὰρ ἄφθορον νηδὺν
κατώκησεν ἀφράστως
καὶ θεώσας τὴν φύσιν τοῦ προπάτο-
[ρος Ἀδὰμ
εἰς τὸ ἀρχαῖον ἀξίωμα ταύτην μετήγαγεν·
διό σε πᾶσαι φυλαὶ καὶ γλῶσσαι
ὕμνοις ἀσιγήτοις μεγαλύνομεν.

4

ΕΙΣ ΤΗΝ ΚΟΙΜΗΣΙΝ ΤΗΣ ΘΕΟΤΟΚΟΥ

Ποίημα Κοσμᾶ μοναχοῦ

Λ φ. 4β

ὨΙδὴ α'. Ἦχος α'

Παγιωθεῖσα ρευστὴ οὐσία
θαλασσοβάμονα λαὸν
πεζὸν διέσωσεν·
αὖθις δὲ συρρεύσασα
θείῳ προστάγματι πληθὺν
ὀπισθόπουν τῷ τυράννῳ
συγκατέκλυσεν ἄρδην·
διὸ ἄσωμεν τῷ θαυμαστῷ
σωτῆρι ὅτι δεδόξασται.

Ἕτερος εἱρμὸς

Πεποικιλμένη τῇ θείᾳ δόξῃ
ἡ ἱερὰ καὶ εὐκλεής, Παρθένε, μνήμη
πάντας συνηγάγετο
πρὸς εὐκρροσύνην τοὺς πιστοὺς
ἐξαρχούσης Μαριὰμ
μετὰ χορῶν καὶ τυμπάνων
τῷ σῷ ἄδοντας μονογενεῖ
ἐνδόξως ὅτι δεδόξασται.

ὨΙδὴ γ'

Ἡ δημιουργικὴ
καὶ συνεκτικὴ τῶν ἁπάντων
Θεοῦ σοφία καὶ δύναμις
ἀκλινῆ ἀκράδαντον
τὴν ἐκκλησίαν στήριξον, Χριστέ,
μόνος γὰρ εἶ ἅγιος
ὁ ἐν ἁγίοις ἀναπαυόμενος.

ὨΙδὴ δ'

Ῥήσεις προφητῶν καὶ αἰνίγματα
τὴν σάρκωσιν ὑπέφηναν
τὴν ἐκ Παρθένου σου, Χριστέ
φρέγγος ἀστραπῆς σου
εἰς φῶς ἐθνῶν ἐξελεύσεσθαι
καὶ φωνεῖ σοι ἄβυσσος ἐν ἀγαλλιά
τῇ δυνάμει σου δόξα, φιλάνθρωπ
ὨΙδὴ ε'

Τὸ θεῖον καὶ ἄῤῥητον κάλλος
τῶν ἀρετῶν σου, Χριστέ, διηγήσα
ἐξ ἀϊδίου γὰρ δόξης συναΐδιον
καὶ ἐνυπόστατον λάμψας ἀπαύγα
παρθενικῆς ἀπὸ γαστρὸς
τοῖς ἐν σκότει καὶ σκιᾷ
σωματωθεὶς ἀνέτειλας ἥλιος.

ὨΙδὴ ς'

Ἅλιον ποντογενὲς
κητῶν ἐντόσθιον πῦρ
τῆς τριημέρου ταφῆς σου προεικόνισε
οὗ Ἰωνᾶς ὑποφήτης ἀναδέδεικται·
σεσωσμένος γὰρ ὡς καὶ προπέ
ἀσινὴς ἐβόα·
θύσω σοι μετὰ φωνῆς αἰνέσεως Κύ
ὨΙδὴ ζ'

Ἰταμῷ θυμῷ τε καὶ πυρὶ
θεῖος ἔρως ἀντιταττόμενος·
τὸ μὲν πῦρ ἐδρόσιζε,
τῷ θυμῷ δὲ ἐγέλα

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

θεοπνεύστῳ λογικῇ
τῇ τῶν ὁσίων τριφθόγγῳ λύρᾳ ἀντι-
[φθεγγόμενος;
μουσικοῖς ὀργάνοις ἐν μέσῳ φλογὸς
ὁ δεδοξασμένος τῶν πατέρων καὶ ἡμῶν
Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η′

Φλόγα δροσίζουσαν ὁσίους
δυσσεβεῖς δὲ καταφλέγουσαν·
ἄγγελος Θεοῦ ὁ πανσθενὴς
ἔδειξε παισί·
ζωαρχικὴν δὲ πηγὴν
εἰργάσατο τὴν Θεοτόκον
φθορὰν θανάτου
καὶ ζωὴν βλυστάνουσαν τοῖς μέλπουσι·
τὸν δημιουργὸν μόνον ὑμνοῦμεν
οἱ λελυτρωμένοι
καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ′

Νενίκηνται τῆς φύσεως οἱ ὅροι
ἐν σοί, Παρθένε ἄχραντε·
παρθενεύει γὰρ τόκος
καὶ ζωὴν προμνηστεύεται θάνατος·
ἡ μετὰ τόκον παρθένος
καὶ μετὰ θάνατον ζῶσα
σώζοις ἀεί,
Θεοτόκε τὴν κληρονομίαν σου.

5

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Ἰωάννου μοναχοῦ

Α φ.5α. Β 7β

Ἦχος α′. Ὠδὴ α′. Ὁ Εἱρμός.

Ἄσωμεν πάντες λαοὶ
τῷ ἐκ πικρᾶς δουλείας
Φαραὼ τὸν Ἰσραὴλ ἀπαλλάξαντι
καὶ ἐν βυθῷ θαλάσσης
ποδὶ ἀβρόχῳ ὁδηγήσαντι
ὡδὴν ἐπινίκιον ὅτι δεδόξασται.

Ὠδὴ γ′

Στερέωσόν με, Χριστέ,
ἐπὶ τὴν ἄσειστον πέτραν τῶν ἐντολῶν σου
καὶ φώτισόν με φωτὶ τοῦ προσώπου σου·
οὐκ ἔστιν ἅγιος γὰρ
πλὴν σου, φιλάνθρωπε.

Ὠδὴ δ′

Ἀκηκοὼς ὁ προφήτης, Χριστέ,
τὴν ἀκοήν σου ἐφοβήθη
ὅτι μέλλεις ἐκ Παρθένου προελθεῖν
καὶ ἐβόησε τρόμῳ
δόξα τῇ δυνάμει σου, Κύριε.

Ὠδὴ ε′

Ἐκ νυκτὸς ὀρθρίζοντες
ὑμνοῦμέν σε, Χριστὲ
τὸν τοῦ πατρὸς συνάναρχον
καὶ σωτῆρα τῶν ψυχῶν ἡμῶν
τὴν εἰρήνην τῷ κόσμῳ
παράσχου, φιλάνθρωπε.

Ὠδὴ ς′

Ὡς ἐν πελάγει τοῦ βίου
ταῖς τριχυμίαις καταντλούμενος
τῶν παθῶν κλυδωνίζομαι·
ἀλλ' ὡς Ἰωνᾶς βοῶ σοι· ἀνάγαγε
ἐκ φθορᾶς τὴν ζωήν μου, Κύριε.

Ὠδὴ ζ′

Εἰκόνι λατρεύειν
μουσικῆς συμπωνίας
συγκαλουμένης λαοὺς
ἐκ τῶν ὠδῶν Σιὼν ἄδοντες
πατρικῶς οἱ παῖδες Δαυὶδ
τυράννου ἔλυσαν
τὸ παλίμφημον δόγμα
καὶ τὴν φλόγα εἰς δρόσον μετέβαλον
ὕμνον ἀναμέλποντες
ὁ ὑπερυψούμενος τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας.

Ὠδὴ η′

Τὸν ἐν φλογὶ πυρὸς
καιομένης καμίνου
διαφυλάξαντα παῖδας
καὶ ἐν μορφῇ ἀγγέλου
συγκαταβάντα τούτοις
ὑμνεῖτε Κύριον
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ′

Σὲ τὴν φαεινὴν λαμπάδα
καὶ μητέρα τοῦ φωτὸς
τὴν ἀρίζηλον δόξαν
καὶ ἀνωτέραν πάντων τῶν ποιημάτων
ἐν ὕμνοις μεγαλύνομεν.

6

ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΤΟΥ ΠΑΣΧΑ

Ποίημα Ἰωάννου μοναχοῦ

Α φ.7α Β 10β

Ὠδὴ α′. Ἦχος α′. Ὁ Εἱρμός.

Ἀναστάσεως ἡμέρα
λαμπρυνθῶμεν λαοί
πάσχα Κυρίου πάσχα·
ἐκ γὰρ θανάτου πρὸς ζωὴν
καὶ ἐκ γῆς πρὸς οὐρανὸν

Χριστὸς ὁ Θεὸς
ἡμᾶς διεβίβασεν
ἐπινίκιον ἄδοντας.

Ὠδὴ γ′

Δεῦτε πόμα πίωμεν καινὸν
οὐκ ἐκ πέτρας ἀγόνου τερατουργούμενον
ἀλλ' ἀφθαρσίας πηγὴν
ἐκ τάφου δμβρήσαντος Χριστοῦ
ἐν ᾧ στερεούμεθα.

Ὠδὴ δ′

Ἐπὶ τῆς θείας φυλακῆς
ὁ θεηγόρος Ἀββακοὺμ
στήτω μεθ' ἡμῶν καὶ δεικνύτω
φαεσφόρον ἄγγελον
διαπρυσίως λέγοντα·
σήμερον σωτηρία τῷ κόσμῳ
ὅτι ἀνέστη Χριστὸς ὡς παντοδύναμος.

Ὠδὴ ε′

Ὀρθρίσωμεν ὄρθρου βαθέος
καὶ ἀντὶ μύρου
τὸν ὕμνον προσοίσωμεν τῷ Δεσπότῃ
καὶ Χριστὸν ὀψόμεθα
δικαιοσύνης ἥλιον
πᾶσι ζωὴν ἀνατέλλοντα.

Ὠδὴ ς′

Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς
καὶ συνέτριψας μοχλοὺς αἰωνίους
κατόχους πεπεδημένων, Χριστέ,
καὶ τριήμερος
ὡς ἐκ κήτους Ἰωνᾶς
ἐξανέστης τοῦ τάφου.

Ὠδὴ ζ′

Ὁ παῖδας ἐκ καμίνου ρυσάμενος
γενόμενος ἄνθρωπος
πάσχει ὡς θνητὸς
καὶ διὰ πάθους τὸ θνητὸν
ἀφθαρσίας ἐνδύει εὐπρέπειαν
ὁ μόνος εὐλογητὸς τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος.

Ὠδὴ η′

Αὕτη ἡ κλητὴ
καὶ ἁγία ἡμέρα
ἡ μία τῶν Σαββάτων
ἡ βασιλὶς καὶ κυρία
ἑορτῶν ἑορτὴ
καὶ πανήγυρίς ἐστι πανηγύρεων
ἐν ᾗ εὐλογοῦμεν
Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ′

Φωτίζου φωτίζου
ἡ νέα Ἰερουσαλήμ
ἡ γὰρ δόξα Κυρίου
ἐπὶ σὲ ἀνέτειλε·
χόρευε νῦν
καὶ ἀγάλλου Σιών
σὺ δέ, ἁγνή,
τέρπου, Θεοτόκε,
ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.

7

ΕΙΣ ΤΟΝ ΤΙΜΙΟΝ ΣΤΑΥΡ

Λ φ. 8α

Ὠδὴ α′. Ἦχος α′. Ὁ Εἱρμ

Ὁ θειότατος προετύπωσε πάλα
ἐν Ἐρυθρᾷ θαλάσσῃ
διαβιβάσας Ἰσραὴλ
τὸν σταυρόν σου τὴν ὑγρὰν
τῇ ῥάβδῳ τεμών
ὡδήν σοι ἐπάξιον
ἀναμέλπων, Χριστὲ ὁ Θεός.

Ὠδὴ γ′

Στερέωσον, Λέσποτα Χριστέ,
τῷ σταυρῷ σου ἐν πέτρᾳ με τῇ τῆς
μὴ σαλευθῆναι τὸν νοῦν
ἐχθροῦ προσβολαῖς τοῦ δυσ
μόνος γὰρ εἶ ἅγιος.

Ὠδὴ δ′

Ἐπὶ σταυροῦ σε, δυνατέ,
φωστῆρ ὁ μέγας κατιδὼν
τρόμῳ ἐπαρθείς
τὰς ἀκτῖνας σὺν τῇ σελήνῃ ἐκρ
πᾶσα δὲ κτίσις ὕμνησεν
ἐν φόβῳ τὴν σὴν οἰκονομίαν·
καὶ γὰρ ἐπλήσθη ἡ γῆ τῆς σῆς αἰ

Ὠδὴ ε′

Ὀρθρίζοντές σε ἀνυμνοῦμεν,
σῶτερ οἰκτίρμον,
εἰρήνην εὑράμενοι τῷ σταυρῷ
δι' οὗ ἀνεκαίνισας
τὸ γένος τὸ ἀνθρώπινον
ὡς πρὸς ἀνέσπερον ἄγων

Ὠδὴ ς′

Τὸν τύπον τοῦ θείου σταυροῦ
ἐν κοιλίᾳ τοῦ κήτους
τεταμένας παλάμας προδιεχάρ
καὶ ἀνέθορε
σεσωσμένος τοῦ θηρὸς
τῇ δυνάμει σου, Λόγε.

Ὠδὴ ζ′

Φλογώσεως ὁ παῖδας ρυσάμενος
σάρκα προσλαβόμενος
ἦλθεν ἐπὶ γῆς
καὶ ἐν σταυρῷ προσηλωθείς

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

σωτηρίαν ἡμῖν ἐδωρήσατο
ὁ μόνος εὐλογητὸς τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος.

Ὠδὴ η'

Χεῖρας, ἐν τῷ λάκκῳ βληθείς
τῶν λεόντων ποτὲ
ὁ μέγας ἐν προφήταις,
σταυροειδῶς ἐκπετάσας
Δανιὴλ ἀβλαβὴς
ἐκ τῆς τούτων καταβρώσεως σέσωσται
εὐλογῶν Χριστὸν
τὸν Θεὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Ὦ μῆτερ Παρθένε
καὶ Θεοτόκε ἀψευδὴς
ἡ τεκοῦσα ἀσπόρως
Χριστὸν τὸν Θεὸν ἡμῶν
τὸν ἐν σταυρῷ ὑψωθέντα σαρκὶ
σὲ οἱ πιστοὶ
ἅπαντες ἀξίως
σὺν τούτῳ νῦν μεγαλύνομεν.

8

ΕΙΣ ΤΗΝ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΙΝ

Ποίημα Κοσμᾶ μοναχοῦ

Λ φ. 9α

Ὠδὴ α'. Ἦχος α'. Ὁ Εἱρμός.

Χριστὸς γεννᾶται δοξάσατε
Χριστὸς ἐξ οὐρανῶν ἀπαντήσατε
Χριστὸς ἐπὶ γῆς ὑψώθητε·
ἄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ
καὶ ἐν εὐφροσύνῃ
ἀνυμνήσατε λαοί
ὅτι δεδόξασται.

Εἱρμὸς ἕτερος

Πικρᾶς δουλείας ρυσθεὶς Ἰσραὴλ
τὴν ἄβατον διῆλθεν ὥσπερ ἤπειρον
ἐχθρὸν καθορῶν ποντούμενον
ὕμνον ἐν εὐφροσύνῃ
ᾄδει Θεῷ
τῷ τερατουργοῦντι
βραχίονι ὑψηλῷ
ὅτι δεδόξασται.

Ὠδὴ β'

Πρόσεχε οὐρανὲ καὶ λαλήσω
ὅτι ὁ Λόγος τοῦ πατρὸς
ἐκὼν καταβέβηκεν ἐπὶ τῆς γῆς
κλίνας οὐρανοὺς
καὶ γέγονεν ἄνθρωπος
ἵνα τὸν ἄνθρωπον
σώσῃ ὡς φιλάνθρωπος.

Ὠδὴ γ'

Τῷ πρὸ τῶν αἰώνων
ἐκ πατρὸς γεννηθέντι ἀρρεύστως υἱῷ
καὶ ἐπ' ἐσχάτων ἐκ Παρθένου
σαρκωθέντι ἀσπόρως
Χριστῷ τῷ Θεῷ βοήσωμεν·
ὁ ὑνυψώσας τὸ κέρας ἡμῶν
ἅγιος εἶ Κύριε.

Ἕτερος ὕμνος

Μὴ ἐν τῇ σοφίᾳ
καὶ τῷ πλούτῳ καυχάσθω θνητὸς τῷ αὐτοῦ
ἀλλὰ τῇ πίστει τοῦ Κυρίου
ὀρθοδόξως κραυγάζων
Χριστῷ τῷ Θεῷ καὶ μέλπων ἀεί
ἐπὶ τὴν πέτραν τῶν σῶν ἐντολῶν
στήριξόν με, Δέσποτα.

Ὠδὴ δ'

Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ
καὶ ἄνθος ἐξ αὐτῆς, Χριστέ,
ἐκ τῆς Παρθένου ἀνεβλάστησας
ἐξ ὄρους ὁ αἰνετὸς
κατασκίου δασέος·
ἦλθες σαρκωθεὶς ἐξ ἀπειράνδρου
ὁ ἄυλος καὶ Θεὸς
δόξα τῇ δυνάμει σου, Κύριε.

Ὠδὴ ε'

Θεὸς ὢν εἰρήνης
πατὴρ οἰκτιρμῶν
τῆς μεγάλης βουλῆς σου τὸν ἄγγελον
εἰρήνην παρεχόμενον ἀπέστειλας ἡμῖν
ὅθεν θεογνωσίᾳ
πρὸς φῶς ὁδηγηθέντες
ἐκ νυκτὸς ὀρθρίζοντες
δοξολογοῦμέν σε, φιλάνθρωπε.

Εἱρμὸς ἕτερος

Τὸ φῶς σου τὸ ἄδυτον
λάμψον, Χριστέ,
ταῖς καρδίαις τῶν πίστει ὑμνούντων σε
εἰρήνην σου δωρούμενος ἡμῖν τὴν ὑπὲρ νοῦν
ὅπως ἐξ ἀγνωσίας
νυκτὸς πρὸς τὴν ἡμέραν
τῶν ἐντολῶν σου τρέχοντες
δοξολογῶμέν σε, φιλάνθρωπε.

Ὠδὴ ς'

Σπλάγχνων Ἰωνᾶν
ἔμβρυον ἀπήμεσεν
ἐνάλιος θὴρ οἷον ἐδέξατο
τῇ Παρθένῳ δὲ
ἐνοικήσας ὁ Λόγος καὶ σάρκα λαβὼν
διελήλυθε φυλάξας ἀδιάφθορον·
ἧς γὰρ οὐκ ὑπέστη ῥεύσεως

τὴν τεκοῦσαν κατέσχεν ἀπήμαντον.

Εἱρμὸς ἄλλος

Ὅλος ἐκ παθῶν
ἀμέτρων συνέχομαι
καὶ κῆτει κακῶν συγκαταπέπομαι
ἀλλ' ἀνάγαγέ
ἐκ φθορᾶς ὁ Θεός με ὡς πρὶν Ἰωνᾶν
καὶ πίστει τὴν ἀπάθειάν μοι δώρησαι
ὅπως ἐν φωνῇ αἰνέσεως
σωτηρίας καὶ πνεύματι θύσω σοι.

Ὠδὴ ζ'

Οἱ παῖδες εὐσεβείᾳ συντραφέντες
δυσσεβοῦς προστάγματος καταφρονήσαντες
πυρὸς ἀπειλὴν οὐκ ἐπτοήθησαν
ἀλλ' ἐν μέσῳ τῆς φλογὸς ἑστῶτες ᾖσκαλλον
ὁ τῶν πατέρων Θεὸς εὐλογητὸς εἶ.

Εἱρμὸς ἕτερος

Ὑπῆλθον ὡς νιφὰς τῆς καμίνου
τὴν φλόγα τὴν ἄστεκτον οἱ διὰ εὐσέβειαν ποτὲ
παῖδες ἅγιοι δειχθέντες σαφῶς
καὶ συμφώνως μελῳδοῦντες ὕμνον [ᾖσκαλλον
ὁ τῶν πατέρων Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'

Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος
ἐξεικόνισε κάμινος τύπον·
οὐ γὰρ οὖς ἐδέξατο φλέγει νέους
ὡς οὐδὲ πῦρ τῆς θεότητος
Παρθένον ἦν ὑπέδυ ἁγνήν·
διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν
εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον
καὶ ὑπερυψούτω αὐτὸν εἰς τοὺς αἰῶνας.

Εἱρμὸς ἄλλος

Τέρατος ὑπερφυοῦς ἔδειξε τύπον
ἡ πυρένδροσος κάμινος πάλαι·
τὸ γὰρ πῦρ οὐκ ἔφλεξε νέους παῖδας
Χριστοῦ δηλοῦν τὴν ἀσπόρως
ἐκ Παρθένου θείαν γέννησιν·
διὸ ἀνυμνοῦντες ἀναμέλπομεν
εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον
καὶ ὑπερυψούτω αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Μυστήριον ξένον ὁρῶ καὶ παράδοξον
οὐρανὸν τὸ σπήλαιον
θρόνον χερουβικὸν τὴν Παρθένον
τὴν φάτνην χωρίον
ἐν ᾧ ἀνεκλίθη ὁ ἀχώρητος
Χριστὸς ὁ Θεὸς
ὃν ὑμνοῦντες μεγαλύνομεν.

Εἱρμὸς ἄλλος

Ἀπόρρητον τὸ τῆς Παρθένου μυστή- [ριον·
ὃν γὰρ οὐκ ἐχώρησεν
ἄνω τῶν οὐρανῶν τὰ μεγέθη
χωρεῖ ἐν κοιλίᾳ
διὸ συνελθόντες μακαρίσωμεν
αὐτὴν καὶ συμφώνως
ὑμνοῦντες μεγαλύνωμεν.

9

ΕΙΣ ΤΗΝ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣ

Ποίημα Ἰωάννου [τοῦ Ἀρχλ

Λ φ. 10β

Ὠδὴ α'. Ἦχος α'. Ὁ Εἱρμός.

Ἴασαι λαὸν θαυματουργῶν Λεο
ὑγρὰν θαλάσσης κῦμα χερσώσας
ἑκὼν δὲ τεχθεὶς ἐκ κόρης τρίβον
πόλου τίθησιν ἡμῖν· ὃν κατ' οὐσ
ἴσον τε πατρὶ καὶ βροτοῖς δοξά

Ὠδὴ γ'

Νεῦσον πρὸς ὕμνους οἰκετῶν, εὐκρ
ἐχθροῦ ταπεινῶν τὴν ἐπηρμένην ὀ
φρέρων τε, παντεπόπτα, τῆς ἁμαρτία
ὕπερθεν ἀκλόνητον ἑστηριγμένους,
μάκαρ, μελῳδοὺς τῇ βάσει τῆς πίσ

Ὠδὴ δ'

Γένους βροτείου τὴν ἀνάστασιν
ᾅδων προφήτης Ἀββακοὺμ προμηνυ
ἰδεῖν ἀφράστως ἀξιωθεὶς τὸν τύπον
νέον βρέφος γὰρ ἐξ ὄρους τῆς Παρ
ἐξῆλθε λαῶν εἰς ἀνάπλασιν Λό

Ὠδὴ ε'

Ἐκ νυκτὸς ἔργων ἐσκοτισμένοις πλ
ἰλασμὸν ἡμῖν, Χριστέ, τοῖς ἐγρηγόρο
νῦν σοι τελοῦσιν ὕμνον ὡς εὐεργέτῃ
ἔλθοις πορίζων εὐχερῆ τε τὴν τρίβον
καθ' ἣν ἀνατρέχοντες εὕροιμεν ὦ

Ὠδὴ ς'

Ναίων Ἰωνᾶς ἐν μυχοῖς θαλαττί
ἐλθεῖν ἐδεῖτο καὶ ζάλην ἀπαρκέσαι·
νυγεὶς ἐγὼ δὲ τοῦ τυράννου βέλ
Χριστέ, προσευδῶ τῶν κακῶν ἀναιρ
θᾶττον μολεῖν σε τῆς ἐμῆς ραθυμ

Ὠδὴ ζ'

Τῷ παντάνακτος ἐξεφαύλισαν πόθ
ἄπληκτα θυμαίνοντος ἠγκιστρωμένοι
παῖδες τυράννου δύσθεον γλωσσαλγία
οἷς εἰκαθὲ πῦρ ἄσπετον τῷ Δεσπότῃ
λέγουσιν· εἰς αἰῶνας εὐλογητὸς εἶ.

Ὠδὴ η'

Μήτραν ἀφλέκτως εἰκονίζουσι κά
οἱ τῆς παλαιᾶς πυρπολούμενοι νέοι
ὑπερφυῶς κύουσαν ἐσφραγισμένην

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please register this software.

ἄμφω δὲ δρῶσα θαυματουργίᾳ μιᾷ
λαοὺς πρὸς ὕμνον ἐξανίστησι χάρις.

Ὠδὴ θ'

Στέργειν μὲν ἡμᾶς ὡς ἀκίνδυνον φόβῳ
ῥᾴδιον σιωπήν· τῷ πόθῳ δέ, Παρθένε,
ὕμνους ὑφαίνειν συντόνως τεθηγμένους
ἐργῶδες ἐστίν· ἀλλὰ καί, μῆτερ, σθένος
ὅση πέφυκεν ἡ προαίρεσις δίδου.

10

ΕΙΣ ΤΗΝ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΙΝ

Λ φ. 11α

Ὠδὴ α'. Ἦχος α'. Ὁ Εἱρμός.

Χριστὸς ἐν πόλει Βηθλεὲμ βρεφουργεῖται
τὴν ἡμῶν ὡς εὔσπλαγχνος καινουργῶν φύσιν
προθύμως δεῦτε γηγενεῖς τῇ καρδίᾳ
ᾄσμα μελῳδὸν ἄσωμεν τῷ Δεσπότῃ
εἰς αἰῶνας ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ β'

Πρόσεχε οὐρανὲ
καὶ ἄκουε γῆ
καὶ Χριστὸν ἀνύμνει
τὸν ἐν σπαργάνοις εἱλιθέντα
καὶ σειρὰς τῶν πταισμάτων μου λύσαντα.

Ὠδὴ γ'

Ὑψιμέδων ἄναρχε εὐμενὲς Λόγε
ἐπίβλεψον πρόσχες μοι δακρυρροούσῃ
ἡ σεπτὴ ἑβδόα σοι πρόπαλαι Ἄννα·
ἀλλ' ὡς ἐκείνης ἤκουσας θρηνωδούσης
καὶ ἡμῶν στερέωσον τὰς φρένας, ἄναξ.
τοῦ ἀξίως ἀνυμνεῖν σε σοῖς γενεθλίοις.

Ὠδὴ δ'

Ἀββακοὺμ τὴν ἔνδοξόν σου παρουσίαν
αὐδῆς, Λόγε, προϊδὼν ἐμελῴδει
ἀκήκοα, Δέσποτα, ὅτι ἐξ ὄρους
ἁγίου ἥξεις εἰς βροτῶν σωτηρίαν
καὶ δέους πλήρης γεγονὼς ἀνακράζω
ὡς μεγάλα τὰ ἔργα, Χριστέ μου, τῆς σῆς
[δόξης.

Ὠδὴ ε'

Ὦ παντεπόπτα τῶν ἀνάκτων τὸ κλέος,
τίς σου τὸ φιλάνθρωπον γηγενῶν οὐ
[θαυμάσει ;
ἐν γῇ γὰρ ὤφθης μὴ λιπὼν τὰ πατρῷα
σήμερον πᾶσιν ἐγκαινίζων τὴν φύσιν
καὶ εἰρήνην ὡς μόνος εἰρηνάρχης βραβεύων.

Ὠδὴ ς'

Εἰς βυθὸν ἀπωλείας ἡ ταλαίπωρος φύσις,
Χριστέ μου Λόγε, καταντήσασα πάλαι
ἔκειτο φεῦ μοι ! σκοτεινοῖς ἐν κευθμῶσιν·
ἐπεὶ δὲ τῇ σῇ θείᾳ δυναστείᾳ
πρὸς οὐρανῶν μετέβη τὰ τερπνότατα κάλλη
θύσω σοι, σῶτερ, ἑβδόα θυσίαν αἰνέσεως.

Ὠδὴ ζ'

Ὡς οἱ παῖδες πάλαι σοι κράζομεν, Λόγε,
γενοῦ σῶν δούλων ἔρκος φύλαξ καὶ
[σκέπη
καὶ σῶσον πάντας προσβολῆς ἐναντίας
ὅπως ὑμνοῦντές σε σοῖς γενεθλίοις
εἰς αἰῶνας λέγωμεν· εὐλογητὸς εἶ.

Ὠδὴ η'

Νεουργὲ τοῦ σύμπαντος κόσμου καὶ σῶστα
ὑμνεῖ σε πᾶσα μετ' ἀγγέλων ἡ κτίσις
σκιρτᾷ χορεύει καὶ ἀγάλλεται τρόμῳ
εὐλογεῖτε λέγουσα πάντα τὰ ἔργα
τὰ σεπτὰ Γενέθλιά τοῦ λυτρωτοῦ μου
σὺν ἐμοὶ εἰς αἰῶνας πόθῳ ὑπερυμνοῦντα.

Ὠδὴ θ'

Χαίροις πάναγνε θεοδέγμιον Μαρία
χαίροις ἄχραντε τῶν πεπτωκότων βάσις·
ἐν σοὶ γὰρ ὤφθη σήμερον ὁ Δεσπότης
ὃ θαῦμα ! καινουργῶν τοὺς φθαρέντας
καὶ πρὸς φῶς ἐπανάγων τὸ ἀνέσπερον, κόρη.

11

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Κοσμᾶ μοναχοῦ

Λ φ. 14α. Β φ. 8α

Ὠδὴ α'. Ἦχος α'. Ὁ Εἱρμός.

Ἄσωμεν τῷ Κυρίῳ ᾄσμα καινόν·
τὴν γὰρ ἄβατον γεώσας Ἐρυθρὰν
πεζοπορεῖν ἐποίησε
δι' αὐτῆς παραδόξως
τοὺς υἱοὺς Ἰσραὴλ
καὶ τοὺς ἐναντίους
ἐχθροὺς ἐκάλυψε θάλασσα.

Ὠδὴ γ'

Ὁ στερεώσας λόγῳ τοὺς οὐρανοὺς
καὶ τὴν γῆν ἑδράσας Θεὸς
καρδίᾳ στερέωσόν
βοῶντά σοι τὸν ὕμνον
ἅγιος εἶ, Κύριε.

Ὠδὴ δ'

Προμηνύων τὴν ἐνσάρκόν σου οἰκονομίαν
Ἀββακοὺμ εἰκότως ἀνεβόα·
ἐν τῷ παρεῖναί σε τὸν καιρὸν ἀναδειχθήσει·
διό σοι κραυγάζομεν
δόξα τῇ δυνάμει σου, Κύριε.

Ὠδὴ ε'

Ὅτι ἐκτὸς σοῦ ἄλλον

Θεὸν οὐ γινώσκομεν, Χριστέ,
καὶ τὸ σὸν ὄνομα
ἐπικέκληται ἡμῖν
τὴν σὴν εἰρήνην παράσχου
ταῖς ψυχαῖς ἡμῶν δεόμεθα.

Ὠδὴ ς'

Ἐκ βαθέων ἐν θλίψει ἐβόησεν
ἀνάγαγε ἐκ φθορᾶς τὴν ζωήν μου
ὁ προφήτης Ἰωνᾶς
πρὸς σὲ τὸν φιλάνθρωπον.

Ὠδὴ ζ'

Ἀβραμιαῖοι παῖδες ἐν καμίνῳ
τριάδα τυπώσαντες
τοῦ πυρὸς τὴν φλόγα
εἰς δρόσον μετέβαλον
καὶ ὑμνοῦντες ἐβόων·
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Τὸν ἐν σοφίᾳ καὶ λόγῳ
τὰ πάντα συστησάμενον Θεὸν
τὸν ἐξ ἐθνῶν καὶ βαρβάρων
λυτρούμενον ἡμᾶς
παῖδες ὑμνεῖτε
ἱερεῖς δοξάσατε
λαὸς ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Χαῖρε ἁγία
Θεοτόκε Παρθένε
μῆτερ εὐλογημένη·
ἐκ σοῦ γὰρ προῆλθε
Θεὸς σεσαρκωμένος
διὸ ἀνυμνοῦντές σε μεγαλύνομεν.

12

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Κοσμᾶ μοναχοῦ [1]

Α φ. 15α. Β φ. 9β

Ὠδὴ α'. Ἦχος α'. Ὁ Εἱρμός.

Ἄσωμεν τῷ Κυρίῳ ᾠδὴν ἐπινίκιον·
τὸν Φαραὼ γὰρ πόντῳ ἐκάλυψε
καὶ ἐποδήγησε λαὸν ὃν ἐρρύσατο
ἐν ὑψηλῷ βραχίονι
καὶ ἐν χειρὶ κραταιᾷ
ὅτι δεδόξασται.

(1) Ὁ Λαυριωτικὸς Κῶδ. Β **32** ἀναγράφει τοῦτον εἰς τὸ ὄνομα τοῦ μοναχοῦ Ἰωάννου· περιέχει δὲ μόνον τὴν α', ε', ς', ζ', θ' ᾠδήν.

Ὠδὴ γ'

Στερεωθήτω ἡ καρδία μου
τῇ ἐλπίδι, Χριστέ, τῶν ἀγαθῶν σου
ἵνα ἀπαύστως μετ' ᾠδῆς
τὸν ὕμνον σοι ἀνακράζω·
οὐκ ἔστιν ἅγιος πλὴν σου, φιλάνθρωπε.

Ὠδὴ δ'

Μέγα τὸ μυστήριον
τῆς σῆς, Χριστέ, οἰκονομίας·
τοῦτο γὰρ ἄνωθεν προβλέπων
θεοπτικῶς ὁ Ἀββακοὺμ
ἐξῆλθες ἐβόα σοι
εἰς σωτηρίαν λαοῦ σου, φιλάνθρωπε.

Ὠδὴ ε'

Παράσχου ἡμῖν τὴν σὴν εἰρήνην, Χριστέ,
ὁ φωτισμὸς τῶν πιστῶν
ὅτι ἐκτός σου ἄλλον οὐκ οἴδαμεν.

Ὠδὴ ς'

Ὁ ὑποφήτης εἰς τύπον τῆς τριημέρου
[ταφῆς
ἐν τῷ κήτει ὑπάρχων
φθορὰν τῷ σῷ προστάγματι οὐκ ἔσχεν
ἀλλ' ἐκ βάθους ἐβόα
ἀνάγαγέ με, Χριστέ,
ὅτι σωτὴρ ὑπάρχεις, φιλάνθρωπε.

Ὠδὴ ζ'

Ἄθεον πρόσταγμα
Βαβυλῶνα πάλαι τυράννου διέσειον
ἀλλὰ νέους τρεῖς οὐκ ἐθάμβησεν
εὐσεβείας συντρόφους
οὓς ὑπεχώρει πῦρ
καὶ ἄγγελος σιμιπαρῆν·
οὕτω γὰρ διιφρόνως ἀνεβόων·
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Ῥῆμα τυράννου ἐπεὶ ὑπερίσχυσεν
ἑπταπλασίως κάμινος ἐξεκαύθη·
ἐν ᾗ παῖδες οὐκ ἐφλέχθησαν
βασιλέως πατήσαντες δόγμα·
ἀλλ' ἐβόων
πάντα τὰ ἔργα Κυρίου
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Παρθενικῆς ἀπὸ γαστρὸς
βρέφος καινοπρεπῶς τεκοῦσα, ἁγνή
Θεοτόκος ὡς ἀληθῶς
ὑπάρχεις, πανύμνητε,
διὸ πάντες οἱ πιστοὶ μεγαλύνομεν
σὲ τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

13

ΑΝΑΣΤΑΣΙΜΟΣ

[Ποίημα Κοσμᾶ μοναχοῦ]

Α φ. 16α. Β φ. 1α

Ἦχος α'. Ὠδὴ α'. Ὁ Εἱρμός.

* Τῷ διαβιβάσαντι κλυζομένους ἴχνεσι [1]
κεκονιαμένον λαὸν
καὶ θρασὺν ἐχθρὸν ὁλοπόντιον
ἱππηλάτην Φαραὼ ὑποβρυχίσαντι
ἄσωμεν Κυρίῳ ἐν ἀγαλλιάσει οἱ πιστοὶ
ὅτι δεδόξασται.

Ὠδὴ γ'

Μητρὸς ἀτέκνου τὸ πρὶν
ἀπίστων ἐθνῶν
ὁ τέλειος νῦν ἀριθμὸς ἐξέφυ·
τῆς πολυτέκνου διὸ ἐκκλησίας
ὁ λαὸς ἀγάλλεται
τὴν καρδίαν ἐν Κυρίῳ Θεῷ στερεούμενος.

Ὠδὴ δ'

Ὅτι Θεὸς σαρκοῦται
οὐ πάσχων τροπὴν
ὁ θεσπέσιος ἐξέστη
ἀκηκοὼς Ἀββακοὺμ
καὶ τὴν εἰς θεογνωσίαν
ἐξ εἰδωλομανίας κατανοήσας
τῶν πιστῶν σωτηρίαν ἀνεκραύγαζεν·
Κύριε, δόξα τῇ δυνάμει σου.

Ὠδὴ ε'

Τὸ φῶς σου, Κύριε, καὶ τὴν ἀλήθειάν σου
ἐξαπόστειλον τοῦ ὁδηγῆσαι ἡμᾶς
ἐπὶ τὰ προστάγματά σου
καὶ δώρησαι ἡμῖν
τὴν εἰρήνην σου, φιλάνθρωπε.

Ὠδὴ ς'

Ὑποβρυχίου γαστέρος θηρὸς Ἰωνᾶς
ὡς πέλων φυγὰς
ἄτερ τοῦ σοῦ προστάγματος
ὁ παρὰ βραχὺ ἐξ ἀγνοημάτων
παροικήσας τῷ ἅδῃ ἐβόα σοι·
ἐκ φθορᾶς με, Κύριε, ἀνάγαγε.

Ὠδὴ ζ'

Ἐπὶ πήχεις τεσσαράκοντα καὶ ἐννέα
καύσαντες οἱ Χαλδαῖοι κάμινον
εἰς ἀνάλωσιν τῶν θεοφόρων παίδων
ὁ τοῦ Θεοῦ υἱὸς συγκαταβὰς
μορφὴν ἐνδυσάμενος ἀγγέλου
τούτους ἐρρύσατο ἐκ φλογὸς
καὶ κραυγάζειν διήγειρεν·
εὐλογητὸς εἶ, Κύριε ὑπερένδοξε
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Ὦ πρέσβυς ἀρχηγὲ τῶν αἰώνων
φυτουργὲ τῶν ἀΰλων διατάξεων
ἱππεῦ καὶ ἐπιβάτα
τῶν τετραμόρφων ζώων
σὲ εὐλογοῦμεν
σὲ ὑπερυψοῦμεν
τὸν ἐκ μὴ ὄντων τὰ πάντα παραγαγόντα
σὲ δοξολογοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'

Λειτουργὸς ἀσώματος
ἐπέστη λέγων τὸ χαῖρε
τῇ κεχαριτωμένῃ
ὁ Κύριος μετὰ σοῦ
ὃν μεγαλύνομεν.

(1) Αἱ α', γ', δ', ε' καὶ θ' ᾠδαὶ ἐλλείπουσιν ἐν τῷ Λαυριωτικῷ Κώδικι ὅστις ἀκέφαλος ὢν ἄρχεται ἐκ τῆς ς' ᾠδῆς τοῦ παρόντος.

14

ΕΙΣ ΓΡΗΓΟΡΙΟΝ ΘΕΟΛΟΓΟΝ

[Ποίημα Κοσμᾶ μοναχοῦ]

Α φ. 17α

Ὠδὴ α'. Ἦχος α'. Ὁ Εἱρμός.

Ἔπαινον ὁ θεόπτης
Μωυσῆς τῷ Ἰσραὴλ προκινεκρούετο·
ἄρχει Μαριὰμ
σοφῶν γυναικῶν
ᾠδὴν ἐπινίκιον
τῷ θαυμαστῷ Θεῷ
πάντες ἄσωμεν.

Ὠδὴ γ'

Ἡ τὸν πρὸ συλλήψεως ἁγνὸν Σαμουὴλ
ἀδιστάκτως τῷ Θεῷ καθυποσχομένη
ἱερομήτωρ Ἄννα
νῦν γηθομένη ἅδει σὺν ἡμῖν
ἐστερεώθη ἐν Κυρίῳ ἡ καρδία μου.

Ὠδὴ δ'

Σὺν τῷ θαύματι στὰς Ἀββακοὺμ
ἐπὶ τῆς θείας φυλακῆς σου, Γρηγόριε,
καὶ τὸν ἐπ' ὤμων χερουβὶμ κατανοήσας
τῆς παγκοσμίου γέγονας
μυητὴς σωτηρίας
ἀεὶ κραυγάζων,
Κύριε, δόξα τῇ δυνάμει σου.

Ὠδὴ ε'

Ἄνθρακα πυρὸς τῶν Ἡσαΐου
σεραφὶμ θίγει χειλέων ποτὲ
τῇ λαβίδι ἀφελόμενον καὶ περιθὲν

ὁ δὲ καθηράμενος
δικαιοσύνην μάθετε
πᾶσιν ἐκραύγαζεν.

Ὠδὴ ς'

Ὁ διαπόντιον ὑπομείνας συμφορὰν
φυγῇ κλύδωνος σκληροῦ φορᾷ
καὶ λαγόσι συσχεθεὶς ἁλίου θηρὸς
οὐ διεφθάρη
ἀλλ' ἐβόα Ἰωνᾶς
πρὸς σὲ ἡ ζωή μου
ἀναβήτω, Χριστέ.

Ὠδὴ ζ' [1]

Ὑπῆλθον ὡς νυμφῶνα
τῆς καμίνου τὴν φλόγα τὴν ἄστεκτον
οἱ δι' εὐσέβειαν ποτὲ
παῖδες ἅγιοι δειχθέντες σαφῶς
καὶ συμφώνως ἀνυμνοῦντες
ὕμνον ἔμελπον·
ὁ τῶν πατέρων
Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'

Οἱ μὴ τῇ τροφῇ χρανθέντες παῖδες
βασιλικῆς τραπέζης
εἰς πῦρ χαίροντες ἔβησαν ποτὲ
καὶ ἐν φλογὶ δροσιζόμενοι
προθύμως ἐψαλλον
εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ'

Σὺ χωρίον, ἁγνή,
τῆς θείας ἀπεριληψίας
ὑπὲρ φύσιν ἐχρημάτισας
ὡς Θεῷ (καὶ) τὴν σάρκα δανεισαμένῃ
σοῦ παρθενικὴν μὴ διαρρήξαντι μήτραν
ἐν τῷ τίκτειν ἀσπόρως
σὲ μεγαλύνομεν.

15

ΑΝΑΣΤΑΣΙΜΟΣ ΕΙΣ ΤΟΝ ΛΑΖΑΡΟΝ

Ποίημα Ἀνδρέου Κρήτης
Ἱεροσολυμίτου

Α φ. 18α. Β φ. 1β

Ὠδὴ α'. Ἦχος α'. Ὁ Εἱρμός.

Ὠδὴν ἐπινίκιον
ἄσωμεν πάντες
Θεῷ τῷ ποιήσαντι
θαυμαστὰ τέρατα
βραχίονι ὑψηλῷ
καὶ σώσαντι τὸν Ἰσραὴλ
ὅτι δεδόξασται.

Ὠδὴ β'

Οὐρανὲ πρόσεχε καὶ λαλήσω
καὶ ἀκουέτω γῆ
ῥήματα ἐκ στόματός μου
ὅτι ὄνομα Κυρίου ἐκάλεσα.

Εἱρμὸς ἄλλος

Καταβήτω ὡς δρόσος τὰ ῥήματά
ὅτι τὸ ὄνομα Κυρίου ἐκάλεσα.

Ὠδὴ γ'

Λίθον ὃν ἀπεδοκίμασαν
οἱ οἰκοδομοῦντες
οὗτος ἐγενήθη
εἰς κεφαλὴν γωνίας·
αὐτός ἐστιν ἡ πέτρα
ἐν ᾗ ἐστερέωσε
τὴν ἐκκλησίαν ὁ Χριστὸς
ἣν ἐξ ἐθνῶν ἐξηγοράσατο.

Εἱρμὸς ἄλλος

Ὁ ἐν ἀρχῇ τὴν γῆν θεμελιώσας
καὶ οὐρανοὺς τῷ λόγῳ στερεώσας
ἐπάκουσον ἡμῶν
δεομένων σου, Κύριε.

Ὠδὴ δ'

Ἐν πνεύματι προβλέπων,
προφῆτα Ἀββακούμ,
τὴν τοῦ Λόγου σάρκωσιν
ἐκήρυττες βοῶν·
ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ
ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ
δόξα τῇ δυνάμει σου Κύριε.

Εἱρμὸς ἄλλος

Ἐπήρθη ὁ ἥλιος
καὶ ἡ σελήνη ἔστη ἐν τῇ τάξει αὐτῆς
ὑψώθης, μακρόθυμε, ἐπὶ τοῦ ξύλ
καὶ ἔπηξας ἐν αὐτῷ τὴν ἐκκλησίαν σ
Εἱρμὸς ἄλλος

Τί βοᾷς ἐν πνεύματι
λέγε προφῆτα
καὶ τί ἰδὼν ἐξέστηκας ;
Θεὸν κατενόησα ἐκ τῆς Παρθένου
ἐνούμενόν μοι σαρκὶ
ὅθεν ἐξίσταμαι.

Ὠδὴ ε'

Τὴν σὴν εἰρήνην δὸς ἡμῖν,
υἱὲ τοῦ Θεοῦ,
ἄλλον γὰρ ἐκτός σου
Θεὸν οὐ γινώσκομεν·
τὸ ὄνομά σου ὀνομάζομεν
ὅτι Θεὸς ζώντων
καὶ τῶν νεκρῶν ὑπάρχεις.

Ὠδὴ ς'

Ἀπέρριψάς με εἰς βάθη

(1) Κατὰ τὸ Ἐντυπον Μηναῖον (ἴδε κε' Ἰαν-γουαρίου, Καν. (β'), ᾠδ. ζ' Εἱρμόν).

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

καρδίας θαλάσσης
καὶ ἔσωσάς με, σῶτερ,
δουλείας θανάτου
καὶ ἔλυσας τὸν δεσμὸν
τῶν ἀνομιῶν μου.

Εἱρμὸς ἄλλος

Τὸν προφήτην Ἰωνᾶν
ἐκμιμούμενος βοῶ
τὴν ζωήν μου, ἀγαθέ,
ἐλευθέρωσον φθορᾶς
καὶ σῶσόν με,
σωτὴρ τοῦ κόσμου,
κράζοντα δόξα σοι.

Ὠδὴ ζ'

Τῶν ἐν καμίνῳ παίδων σου σωτὴρ
οὐχ ἥψατο
οὐδὲ παρηνώχλησε τὸ πῦρ
τότε οἱ τρεῖς
ὡς ἐξ ἑνὸς στόματος ὕμνουν
καὶ ἐβόων λέγοντες·
εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Εἱρμὸς ἄλλος

Ἡ κάμινος, σωτήρ, ἐδροσίζετο
οἱ παῖδες δὲ χορεύοντες ἔψαλλον·
εὐλογητὸς εἶ, Κύριε
ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Οἱ οὐρανοὶ τῶν οὐρανῶν
καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν
εὐλογεῖτε
ὑμνεῖτε τὸν Κύριον.

Εἱρμὸς ἄλλος

Ὃν φρίττουσιν ἄγγελοι
καὶ πᾶσαι στρατιαὶ
ὡς κτίστην καὶ Κύριον
ὑμνεῖτε ἱερεῖς
δοξάσατε παῖδες
εὐλογεῖτε λαοὶ
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'

Ἐποίησε κράτος
ἐν βραχίονι αὐτοῦ·
καθεῖλε γὰρ δυνάστας ἀπὸ θρόνων
καὶ ὕψωσε ταπεινούς
ὁ Θεὸς τοῦ Ἰσραὴλ
ἐν οἷς ἐπεσκέψατο ἡμᾶς
ἀνατολὴ ἐξ ὕψους
καὶ κατεύθυνεν ἡμᾶς
εἰς ὁδὸν εἰρήνης.

16

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΝΙΚΟΛΑΟΝ

Ποίημα Ἀνδρέου Κρήτης

Α φ. 19β. Β φ. 3α

Ὠδὴ α'. Ἦχος α'. Ὁ Εἱρμός.

Διὰ στύλου πυρὸς καὶ νεφέλης
τὸν Ἰσραὴλ ὁδηγήσας ὡς Θεὸς
τὴν θάλασσαν διέρρηξεν
ἅρματα δὲ Φαραὼ
βυθῷ ἐκάλυψεν·
ἄσωμεν ᾠδὴν ἐπινίκιον
ὅτι μόνος δεδόξασται.

Ὠδὴ β'

Ἴδετε ἴδετε
ὅτι Θεὸς ἐγώ εἰμι
ὁ τὸν σταυρὸν προτυπώσας
τῇ ῥάβδῳ τοῦ σιτοδότου Ἰωσὴφ
ἧς καὶ τὸ ἄκρον Ἰακὼβ
ὁ πατριάρχης προσκυνῶν
κατησπάζετο.

Ὠδὴ γ'

Στερεωθήτω ἡ καρδία μου
εἰς τὸ θέλημά σου, Χριστὲ ὁ Θεός,
ὁ ἐφ' ὑδάτων οὐρανὸν
στερεώσας τὸν δεύτερον
καὶ ἑδράσας ἐν τοῖς ὕδασι
τὴν γῆν, παντοδύναμε.

Εἱρμὸς ἄλλος

Στερέωσόν μου τὸν νοῦν εἰς τὸν φόβον σου
κραταίωσόν με, σωτήρ, τῇ δυνάμει σου
καὶ δίδαξόν με ποιεῖν τὸ θέλημά σου.

Ὠδὴ δ'

Εἰσακήκοα, Κύριε,
τῆς ἀκοῆς σου καὶ ἐφοβήθην
κατενόησα τὰ ἔργα σου
ὁ προφήτης ἔλεγε
καὶ ἐδόξασά σου τὴν δύναμιν.

Εἱρμὸς ἄλλος

Θεοπτικῶς ὁ Ἀββακοὺμ
σταυρούμενόν σε προβλέπων
ἐπήρθη ὁ ἥλιος ἐβόα,
Χριστέ, καὶ ἡ σελήνη ἔστη
ἡ ἐκκλησία ἐν τῇ τάξει τῆς πίστεως
δόξα τῇ δυνάμει σου, Κύριε.

Εἱρμὸς ἄλλος

Εἰσακήκοα, οἰκτίρμον,
τὴν διὰ σαρκὸς οἰκονομίαν σου
ἣν ἐκὼν κατεδέξω
εἰς πάντων σωτηρίαν
καὶ ἐδόξασά, Λόγε,
τὴν ἄκραν συγκατάβασιν.

Ὠδὴ ε'

Τὸ φαεινόν ἡμῖν ἐξανάτειλον
φῶς τὸ ἄϋδιον
τοῖς ὀρθρίζουσιν
ἐπὶ τὰ κρίματα τῶν ἐντολῶν σου,
Δέσποτα φιλάνθρωπε
Χριστὲ ὁ Θεὸς ἡμῶν.

Ὠδὴ ς'

Ὡς Ἰωνᾶν τὸν προφήτην
ἀνάγαγε, Χριστὲ ὁ Θεός,
ἐκ φθορᾶς τὴν ζωήν μου
βοῶ σοι, φιλάνθρωπε,
ὅτι ζωὴ παρὰ σοί ἐστι
καὶ ἀφθαρσία καὶ δύναμις.

Ὠδὴ ζ'

Ὁ ἐν φλογὶ πυρὸς δροσίσας κάμινον
καιομένην, Χριστὲ ὁ Θεός,
ἐν ᾗ οἱ παῖδες σωθέντες ἐβόων·
ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'

Τὸν ἐν Σινᾷ τὴν βάτον
καιομένην ἄφλεκτον διαφυλάξαντα
καὶ τοὺς παῖδας ἐν μέσῳ καιομένης [φλογὸς
ῥυσάμενον Θεὸν
ὑμνεῖτε εὐλογεῖτε λαοὶ
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Τῆς ὑπερφυοῦς λοχείας σου ὁ τρόπος,
θεογεννήτρια Παρθένε,
τὰς ἄνω δυνάμεις
καὶ τοὺς κάτω χορευτὰς
εἰς ἓν συνήγαγε
τοῦ ἀεὶ μεγαλύνειν σε.

17

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Ἀνδρέου Κρήτης

Α φ. 21α. Β φ. 3β

Ὠδὴ α'. Ἦχος α'. Ὁ Εἱρμός.

Ἄσωμεν ἆσμα καινὸν τῷ Θεῷ
τῷ ἐκ δουλείας Φαραὼ
λυτρωσαμένῳ τοὺς υἱοὺς Ἰσραὴλ
καὶ ἐν ἐρήμῳ τούτους διαθρέψαντι
ὅτι ἐνδόξως δεδόξασται.

Ὠδὴ β'

Πρόσεχε οὐρανὲ καὶ λαλήσω
καὶ ἀνυμνήσω
τὸν ἐκ Παρθένου σαρκωθέντα Θεὸν ἡμῶν.

Εἱρμὸς ἄλλος

Ἴδετε ἴδετε
ὅτι αὐτὸς ἐγώ εἰμι
ὁ δουλωθέντα τὸν λαὸν τοῦ
τῷ Μωυσῇ δημαγωγεῖν
ἐν ἐρήμῳ προστάξας
καὶ σώσας ὡς δυνατὸς τῇ ἐξουσ

Ὠδὴ γ'

Τὴν στειρωθεῖσάν μου ψυχὴν
ὁ κρίνων ἄκρα τῆς γῆς
καρποφόρον ἀνάδειξον, Κύρι
καὶ ταύτην στερέωσον
ὡς παντοδύναμος.

Ὠδὴ δ'

Ἀκήκοα τὴν ἀκοήν σου καὶ ἐφο
ὅτι ἐτέχθης, Χριστέ,
ἐκ τῆς Παρθένου μητρὸς
ὡς εὐδόκησας.

Εἱρμὸς ἄλλος

Ἐπήρθη ὁ ἥλιος
ὕψει σταυροῦ, Χριστέ, καὶ ἡ σ
ἔστη ἡ ἐκκλησία
ἐν τῇ τάξει τῆς πίστεως
ἀπαύστως κραυγάζουσα
δόξα τῇ δυνάμει σου, Κύριε.

Ὠδὴ ε'

Καταύγασον ἡμῶν τὸν νοῦν ὁ Θ
τῷ φωτὶ τῶν ἐντολῶν σου
καὶ τῇ αἴγλῃ τῆς χάριτός σου
δωρούμενος ἡμῖν, ἀγαθέ, τὰ σ
διότι φῶς καὶ εἰρήνη
τὰ προστάγματά σου.

Ὠδὴ ς'

Ἐβόησα ἐκ θλίψεως τῆς καρδία
πρὸς σὲ τὸν οἰκτίρμονα Θεὸν
μὴ παρίδῃς, ἀγαθέ,
τὴν δέησιν τῶν δούλων σου.

Εἱρμὸς ἄλλος

Ἐκ βάθους τῆς καρδίας μου
Κύριε, σοὶ κραυγάζω
ὡς τὸν προφήτην Ἰωνᾶν
ἀνάγαγέ με ἐκ τοῦ βυθοῦ τῶν κ
καὶ ἀμέτρων μου παθῶν
καὶ φεῖσαί μου τὴν ζωὴν
ἐκ φθορᾶς ὁ Θεὸς
ὁ Θεός μου καὶ σῶσόν με.

Ὠδὴ ζ'

Ἐν τῇ βροντώσῃ καμίνῳ
συγκατέβη ὁ ἄγγελος
τοῦ Κυρίου τοῖς περὶ τὸν Ἀζαρίαν
καὶ οὐχ ἥψατο αὐτῶν τὸ καθόλου τὸ
τότε οἱ τρεῖς ἀνυμνοῦντες ἔλεγον
εὐλογητὸς εἶ Κύριε

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

ὁ Θεὸς τῶν πατέρων ἡμῶν.
Ὠδὴ η'
Τὸν ἐν σοφίᾳ τοὺς οὐρανοὺς στερεώ-
[σαντα
καὶ ἐφ' ὑδάτων τὴν γῆν ἐδράσαντα
καὶ τὴν κτίσιν πᾶσαν δημιουργήσαντα
εὐλογεῖτε ὑμνεῖτε
ἱερεῖς τὸν Κύριον
λαὸς ὑπερινοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.
Ὠδὴ θ'
Τὴν φωτοφόρον νεφέλην
ἐν ᾗ ὁ πάντων Δεσπότης
ὡς ὑετὸς ἐξ οὐρανοῦ
ἐπὶ πόκον κατῆλθε
καὶ ἐσαρκώθη δι' ἡμᾶς
γενόμενος ἄνθρωπος
ὁ ἄναρχος
μεγαλύνωμεν πάντες
ὡς μητέρα
τοῦ Θεοῦ ἡμῶν ἁγνήν.

18

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Ἀνδρέου Κρήτης

Λ φ. 22α. Β φ. 4β

Ὠδὴ α'. Ἦχος α'. Ὁ Εἱρμός.
Ὁ κραταιὸς ἐν ἰσχύϊ
τὸν νοητὸν καθελὼν Φαραὼ
μωσαϊκῶς ἀνυμνοῦντα
λαὸν διέσωσας
ἄσωμαί σοι
ὅτι ἐνδόξως δεδόξασαι.
Ὠδὴ γ'
Ὁ εἰπὼν ἐγώ εἰμι τὸ φῶς
καὶ ἡ ζωὴ καὶ ἡ ἀνάστασις,
Χριστὲ ὁ Θεός,
στερέωσον ἡμῶν
τὰς καρδίας εἰς τὸν φόβον σου.
Ὠδὴ δ'
Ἀκήκοα, Κύριε,
τὴν ἀκοήν σου καὶ ἐφοβήθην
κατενόησα τὰ ἔργα σου
καὶ ἐδόξασά σου τὴν δύναμιν.
Ὠδὴ ε'
Ἐκ νυκτὸς ὀρθρίζοντες,
Δέσποτα, ἀνυμνοῦμέν σε
τὸν σωτῆρα τοῦ κόσμου
τὴν σὴν εἰρήνην
παράσχου ἡμῖν, Κύριε.
Ὠδὴ ς'
Προφητικῶς βοῶ σοι,
Χριστὲ ὁ Θεὸς ἡμῶν
ἐκ φθορᾶς τὴν ζωήν μου
ἀνάγαγε, Κύριε,
καὶ προφθάσας
οἰκτειρον δέομαι,
πολυέλεε, καὶ σῶσόν με.
Ὠδὴ ζ'
Ὑμνοῦσί σε στρατιαὶ ἀγγέλων
δοξάζει σε τὸ γένος τῶν ἀνθρώπων
ἱερεῖς καὶ δοῦλοι
καὶ ψυχαὶ τῶν δικαίων
ὡς κτίστην καὶ Κύριον
τοῦ παντὸς εἰς τοὺς αἰῶνας.
Ὠδὴ η'
Ὁ ἐν φλογὶ πυρὸς
δροσίσας κάμινον καιομένην,
Χριστὲ ὁ Θεός,
ἐν ᾗ οἱ παῖδες σωθέντες ἐβόων·
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.
Ὠδὴ θ'
Τὴν ζωοδόχον πηγὴν τὴν ἀένναον
τὴν φωτοφόρον λυχνίαν τῆς χάριτος
τὸν ναὸν τὸν ἔμψυχον
τὴν σκηνὴν τὴν ἄχραντον
τοῦ οὐρανοῦ καὶ γῆς τὴν πλατυτέραν
ὡς Θεοτόκον οἱ πιστοὶ μεγαλύνομεν.
Εἱρμὸς ἄλλος
Σὲ ἣν περ εἶδε Μωυσῆς
ἀκατάφλεκτον βάτον
καὶ κλίμακα ἔμψυχον
ἣν Ἰακὼβ τεθέαται
καὶ πύλην οὐράνιον
δι' ἧς διῆλθε Χριστὸς ὁ Θεὸς ἡμῶν
ὕμνοις, μῆτερ ἁγνή, μεγαλύνομεν.

19

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Ἀνδρέου Κρήτης

Λ φ. 23α. Β φ. 5β

Ὠδὴ α'. Ἦχος α'. Ὁ Εἱρμός.
Τῷ πανσθενεῖ δεξιᾷ
καταποντίσαντι Θεῷ
ἅρματα καὶ ἀναβάτας τριστάτας
ἐν τῷ πυθμένι τῆς Ἐρυθρᾶς
καὶ διαβιβάσαντι τὸν Ἰσραὴλ
ἀβρόχοις ἴχνεσιν
ᾠδὴν ἐπινίκιον
ἀναπέμψωμεν λαοί
ὅτι δεδόξασται.
Ὠδὴ β'
Καταβήτω ὡς δρόσος
τὰ ῥήματά μου
ὅτι τὸ ὄνομα Κυρίου ἐκάλεσα.
Ὠδὴ γ'
Ἅγιος εἶ, Κύριε,
ὁ ἐν ὑψηλοῖς κατοικῶν
καὶ τὰ ταπεινὰ ἐφορῶν
ὁ ἐγείρων ἀπὸ γῆς πενιχροὺς
καὶ ἀπὸ κοπρίας ἀνιήκων ταπεινοὺς
καὶ ἐν σοὶ ἐστερεώθη ἡ καρδία μου.
Ὠδὴ δ'
Τῆς σῆς οἰκονομίας,
Κύριε, τὸ μυστήριον
κατανοῶν ὁ Ἀββακοὺμ
ἐξεστηκὼς ἐβόα·
εἰς σωτηρίαν λαοῦ σου ἐλήλυθας
δόξα τῇ δυνάμει σου, Κύριε.
Ὠδὴ ε'
Δίδαξον ἡμᾶς ποιεῖν, Κύριε,
τὰ προστάγματά σου καὶ τὰ θελήματά σου
ὅτι ἐκτός σου ἄλλον
Θεὸν οὐ γινώσκομεν
φωτισμὸν καὶ ἁγιασμὸν
καὶ εἰρήνην τῶν ψυχῶν ἡμῶν.
Ὠδὴ ς'
Ἐκ κοιλίας ἅδου κραυγῆς μου
ἐπάκουσόν μου, Κύριε,
καὶ ἀνάγαγε τὴν ζωήν μου
ἐκ βυθοῦ ἁμαρτημάτων καὶ σῶσόν με.
Ὠδὴ ζ'
Οἱ τῶν πατρώων δογμάτων
ἀντεχόμενοι παῖδες
χρυσολατρεῖν οὐκ εἵλοντο·
εὐσεβείας γὰρ νόμῳ πυρπολούμενοι
τὴν ἐπταπλάσιον φλόγα
κατεπάτησαν βοῶντες·
ὁ ὑπερύμνητος
τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ.
Ὠδὴ η'
Ὑπερύμνητε Κύριε
ὁ Θεὸς τῶν πατέρων ἡμῶν
σὲ εὐλογοῦμεν
σὲ ὑπερυμνοῦμεν
τὸν ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι
τὰ πάντα παραγαγόντα
σὲ δοξολογοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'
Σὲ τὸ ὄρος τοῦ Θεοῦ
τὸ τετυρωμένον
ἐν ᾧ εὐδόκησε σαρκὶ
ὁ Θεὸς κατοικῆσαι,
Θεοτόκε Μαρία, μεγαλύνομεν.
Εἱρμὸς ἄλλος
Σὲ τὴν ἐν κροσσωτοῖς χρυσοῖς
περιβεβλημένην
πεποικιλμένην Θεοτόκον
τὴν περιστερὰν τὴν περιηργυρωμένην
καὶ κεχρυσωμένην ἐν χλωρότητι
χρυσίου μεγαλύνομεν

20

ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΘΕΟΔΩΡΟΝ ΤΟΝ ΣΥΚΕΩΤΗΝ

Ποίημα Ἠλία πατριάρχου

Λ φ. 24α. Β φ. 11β

Ὠδὴ α'. Ἦχος α'. Ὁ Εἱρμός.
Ἄσωμεν ᾠδὴν τῷ Θεῷ
τῷ μόνῳ νικητῇ τοῦ θανάτου
ὅτι ἐξήγαγε λαὸν
ὡς ἐκ δουλείας Φαραὼ
τῶν τοῦ ἅδου ταμείων.
Ὠδὴ β'
Οὐρανὲ πρόσεχε καὶ λαλήσω
καὶ ἀκουέτω ἡ γῆ
ῥήματα ἐκ στόματός μου
ὅτι ὄνομα Κυρίου ἐκάλεσα.
Ὠδὴ γ'
Ἐστερεώθη ἡ καρδία μου
ὑψώθη κέρας μου ἐν Θεῷ μου
ὅτι οὐκ ἔστι δίκαιος
ὡς ὁ Θεὸς ἡμῶν.
Ὠδὴ δ'
Ἀκήκοα, Κύριε,
τὴν ἀκοήν σου καὶ ἐφοβήθην·
δόξα τῇ δυνάμει σου, Κύριε.
Ὠδὴ ε'
Ἐξ ἀχλύος ἁμαρτημάτων
ἐπὶ τὸ φῶς προστρέχω
τῶν προσταγμάτων σου
ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου
πρὸς σὲ ὁ Θεός.
Ὠδὴ ς'
Ὡς ἐν κοιλίᾳ τοῦ κήτους
τῇ ἁμαρτίᾳ καταποθεὶς
πρὸς σὲ τὸν οἰκτίρμονα βοῶ
ἐκ βυθοῦ τῶν πταισμάτων μου
ἀνάγαγέ με, Κύριε.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

Ὠδὴ ζ΄
Εὐλογητὸς εἶ, Κύριε,
καὶ αἰνετὸς καὶ δεδοξασμένος
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.
Ὠδὴ η΄
Τὸν πάντων δημιουργὸν
καὶ ἐν Τριάδι δοξαζόμενον Θεὸν
πάντα τὰ ἔργα ὑμνεῖτε
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
Εἱρμὸς ἄλλος
Τὸν βασιλέα τῆς δόξης
καὶ νικητὴν τοῦ θανάτου
Ἰησοῦν τὸν Ναζωραῖον
αὐτὸν ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.
Ὠδὴ θ΄
Σὲ τὴν οὐρανῶν ὑψηλοτέραν
καὶ ἐπὶ γῆς οὐρανὸν
καὶ θρόνον γενομένην
μητέρα Θεοῦ
πᾶσαι γενεαὶ μεγαλύνομεν.

21

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Γερμανοῦ πατριάρχου

Λ φ. 25α. Β φ. 6β

Ὠδὴ α΄. Ἦχος α΄. Ὁ Εἱρμός.
Τὸν Φαραὼ σὺν ἅρμασιν ἐν τῇ θαλάσσῃ
Χριστὸς κατεπόντισε
καὶ διήγαγε λαὸν
ὑμνοῦντα καὶ λέγοντα·
ἄσωμεν τῷ Κυρίῳ
ἐνδόξως γὰρ δεδόξασται.
Ὠδὴ β΄
Πρόσεχε οὐρανὲ
καὶ ἀνυμνήσω Χριστὸν
τὸν σωτῆρα τοῦ κόσμου
τὸν μόνον φιλάνθρωπον.
Ὠδὴ γ΄
Στερέωσον, Κύριε, τὴν ἐκκλησίαν σου
ἣν ἐκτήσω τῇ δυνάμει τοῦ σταυροῦ σου
ἐν ᾧ ἐχθρὸν ἐθριάμβευσας
καὶ ἐφώτισας τὴν οἰκουμένην.
Ὠδὴ ε΄
Ἐκ νυκτὸς ὀρθρίζοντες
σοὶ δόξαν ἀναπέμπομεν,
Κύριε ὁ Θεὸς ἡμῶν,
τὴν σὴν εἰρήνην δὸς ἡμῖν
ὅτι ἐκτός σου
Θεὸν ἄλλον οὐκ οἴδαμεν.

Ὠδὴ ς΄
Σὺν τῷ Ἰωνᾶ βοῶμέν σοι, Κύριε,
μετὰ φωνῆς αἰνέσεως δεόμενοι
ἀνάγαγε ἐκ φθορᾶς τὴν ζωὴν ἡμῶν
Εἱρμὸς ἄλλος
Ἐβόησα ἐν θλίψει
πρὸς τὸν οἰκτίρμονα Θεὸν
καὶ ἐπήκουσέ μου
ὡς μόνος ἀναμάρτητος
καὶ διέσωσέ με
ἐκ φθορᾶς θανάτου ὡς εὔσπλαγχνος.
Ὠδὴ ζ΄
Εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας.
Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν
Ὠδὴ η΄
Τὸν τοὺς ὑμνολόγους ἐν καμίνῳ
διασώσαντα παῖδας
καὶ τὴν βροντόφλογον μεταβαλόντα εἰς [δρόσον
Χριστὸν τὸν Θεὸν ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.
Ὠδὴ θ΄
Σὲ τὸν ἀμήτορα τὸ πρῶτον
καὶ ἀπάτορα τὸ δεύτερον.
ὡς Θεὸν καὶ ἄνθρωπον
ἐν ὕμνοις μεγαλύνομεν.

22

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Ἰωάννου μοναχοῦ

Λ φ. 26α

Ὠδὴ α΄. Ἦχος α΄. Ὁ Εἱρμός.
Τῷ βοηθήσαντι Θεῷ
ἐν Αἰγύπτῳ τῷ Μωσεῖ
καὶ δι' αὐτοῦ τὸν Φαραὼ
πανστρατὶ βυθίσαντι
ἐπινίκιον ᾠδὴν ἄσωμεν
ὅτι δεδόξασται.
Ὠδὴ β΄
Ἴδετε ἴδετε
ὅτι ἐγώ εἰμι ὁ σωτὴρ τοῦ κόσμου
τὸ φῶς τὸ ἀληθινὸν
ἡ πηγὴ τῆς ζωῆς
ὁ υἱὸς τοῦ Θεοῦ.
Εἱρμὸς ἄλλος
Κλῖνον τὸ οὖς σου, Χριστέ,
ψυχικῶς ἱκετεύοντί μοι
καὶ τῶν ῥημάτων εἰσάκουσον

ὁ ταχὺς εἰς τὸ σῶσαί με
τῷ σῷ ὀνόματι
μεγαλωσύνην ὅπως δώσω.
Ὠδὴ γ΄
Στερέωμά μου γενοῦ
ὁ θεμελιώσας τὴν γῆν ἐπὶ τῶν ὑδάτων
ὅτι οὐκ ἔστιν ἅγιος πλὴν σοῦ, Κύριε.
Ὠδὴ δ΄
Κατενόησα, παντοδύναμε,
τὴν σὴν οἰκονομίαν
καὶ μετὰ φόβου ἐδόξασά σε, σωτήρ.
Ὠδὴ ε΄
Ἐκ νυκτὸς ὀρθρίζοντες
ἀνυμνοῦμέν σε, Χριστὲ ὁ Θεός,
τὸν δι' ἡμᾶς πτωχεύσαντα
καὶ σταυρὸν καὶ θάνατον
ἐν τῇ σαρκί σου ὑπομείναντα.
Ὠδὴ ς΄
Τὸν προφήτην διέσωσας
ἐκ τοῦ κήτους, φιλάνθρωπε·
καμὲ τοῦ βυθοῦ τῶν πταισμάτων
ἀνάγαγε δέομαι.
Ὠδὴ ζ΄
Ὁ ἐν τῇ βάτῳ ὀφθεὶς
ἐν πυρὶ τῷ νομοθέτῃ
καὶ τὸν τόκον τῆς Παρθένου
ἐν αὐτῇ προτυπώσας
εὐλογητὸς εἶ, Κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.
Ὠδὴ η΄
Ὕμνον σοι προσφέρομεν τῶν ἀσωμάτων
ὥσπερ οἱ παῖδες ἐν τῇ καμίνῳ
καὶ ὑμνοῦντες λέγομεν·
εὐλογεῖτε πάντα τὰ ἔργα
Κυρίου τὸν Κύριον.
Ὠδὴ θ΄
Σὲ τὴν ὁραθεῖσαν πύλην
ὑπὸ Ἰεζεκιὴλ τοῦ προφήτου
ἐν ᾗ οὐδεὶς διῆλθεν
εἰμὴ Θεὸς μόνος,
Θεοτόκε Παρθένε
ἐν ὕμνοις μεγαλύνομεν.

23

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Ἰωάννου μοναχοῦ

Λ φ. 27. Β φ. 8β

Ὠδὴ α΄. Ἦχος α΄. Ὁ Εἱρμός.
Ὑψώσω σε ὁ Θεὸς ὁ σωτήρ μου
ὅτι ἀνέστης ἐκ νεκρῶν
πατήσας τὸν θάνατον.
Ὠδὴ β΄
Πρόσεχε οὐρανέ·
φθέγξομαι γὰρ μεγαλουργίαν Θεοῦ
καὶ ἀνυμνήσω τὴν ἄῤῥαστον
δι' ἐμὲ συγκατάβασιν.
Ὠδὴ γ΄
Στερεωθήτω ἡ καρδία μου
ἐν Κυρίῳ τῷ σωτῆρί μου
ὅτι τὸ γένος ἔσωσε
τῶν ἀνθρώπων ἐκ πλάνης
ἀνακαλέσας ὡς φιλάνθρωπος.
Ὠδὴ δ΄
Εἰσακήκοα, Κύριε,
τὴν ἀκοήν σου καὶ ἐροβήθην
ὅτι διὰ τοῦ σταυροῦ
τὸν κόσμον ἐφώτισας
καὶ ἡμῖν ἐδωρήσω
τὴν σὴν ἀνάστασιν.
Ὠδὴ ε΄
Ὁ ἐκ νυκτὸς ἀγνοίας
θεογνωσίᾳ φαιδρύνας τὰ πέρατα
φώτισόν με τῷ ὄρθρῳ
τῆς φιλανθρωπίας σου, Κύριε.
Ὠδὴ ς΄
Τῆς μακαρίας τρίβου σου
φυγὰς γενόμενος
ταῖς τρικυμίαις τοῦ βίου
δεινῶς βεβύθισμαι, σωτήρ,
ἀλλ' ὥσπερ τὸν προφήτην Ἰωνᾶν
ἐκ βυθοῦ πταισμάτων με λύτρωσαι.
Ὠδὴ ζ΄
Πάντα τὰ ἔργα σου ἀληθινὰ
καὶ εὐθεῖαι αἱ ὁδοί σου,
Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν
Ὠδὴ η΄
Ὑμνῳδοὺς καμίνος πάλαι
παῖδας δεξαμένη
ἀρλέκτους διεφύλαξε
μέσον δὲ φλογὸς ἑστῶτας
συμῳδόνως ᾄδειν ἐδίδασκεν·
εὐλογεῖτε πάντα τὰ ἔργα
Κυρίου τὸν Κύριον.
Ὠδὴ θ΄
Χαίροις τὸ τῆς παρθενίας καύχημα
χαῖρε μῆτερ ἄχραντε
ἣν ἡ σύμπασα κτίσις
θείας ἐν ᾠδαῖς μεγαλύνομεν.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

24

ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΜΑΡΚΙΑΝΟΝ

Ποίημα Νικηφόρου διακόνου τῆς Μεγάλης Ἐκκλησίας

Λ φ. 27β

Ὠδὴ α'. Ἦχος α'. Ὁ Εἱρμός.

Τῷ Κυρίῳ ἄσωμεν
ἐπινίκιον ᾠδὴν
τῷ ἐν ἐξόδῳ
Ἰσραὴλ ἐξ Αἰγύπτου
Ἐρυθρᾶς θαλάσσης
καὶ Ἰορδάνου τὸ ρεῖθρον
πήξαντι μόνῳ
παραδόξως τοῦ λαοῦ
πεζοπορουῦντος διὰ μέσου αὐτῆς·
ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ β'

Πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου
ὁ βασιλεύς μου καὶ Θεὸς
μελῳδικῶς σοι βοῶ
ὅτι πρὸς σὲ προσεύξομαι,
Κύριε, καὶ σῶσόν με.

Εἱρμὸς ἄλλος

Λαλήσω θαυμάσια τοῖς υἱοῖς Ἰσραὴλ
καὶ τὸ ὕδωρ πέτρας πηγάσω τοῖς βροτοῖς
καὶ γνώσονται
ὅτι Θεὸς βασιλεὺς ἐγώ εἰμι
καὶ τὸ ὄνομά μου ἐπικαλέσονται.

Εἱρμὸς ἕτερος

Πρόσχες οὐρανὲ καὶ λαλήσω
καὶ ἀνυμνήσω τὸν Θεὸν
τὸν μόνον φιλάνθρωπον.

Ὠδὴ γ'

Ὁ στερεώσας τῷ λόγῳ σου τὴν οἰκουμένην
ἧτις οὐ σαλευθήσεται
στερέωσον τὴν διάνοιαν ἡμῶν
εἰς τὸν φόβον σου, Δέσποτα Κύριε.

Ὠδὴ δ'

Τὴν ἀκοὴν ὁ προφήτης τῆς δυναστείας σου
Ἀββακοὺμ ἀκουτισθεὶς
ἐροβοήθη, τὰ ἔργα σου ὁ Θεὸς
κατανοήσας ἐξέστη καὶ ἐβόα·
δόξα τῇ δυνάμει σου, Κύριε.

Ὠδὴ ε'

Ὡς φωτισμὸς ἡμῶν ὑπάρχων, Χριστέ,
φώτισον ἡμᾶς
ὡς ὑπερασπιστὴς τῆς ζωῆς ἡμῶν
φύλαξον ἡμᾶς
τοὺς προσπίπτοντας εἰς σέ.

Ὠδὴ ς'

Ὅτι εἰς βάθη θαλάσσης
παισμάτων ἀπέρριψαι
καὶ ἐνεπάγην εἰς ἰλὺν βυθοῦ ἀπογνώσεως
τοῦ νοητοῦ χειμῶνος
τῆς ῥαθυμίας μου, Χριστέ, ἐξελοῦ με
ὡς Ἰωνᾶν τοῦ θηρός.

Ὠδὴ ζ'

Κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, φιλάνθρωπε,
ποίησον μεθ' ἡμῶν
ἵνα σοι πιστῶς ἅπαντες
ᾄδοντες ψάλλωμεν
ὥσπερ οἱ παῖδες βοῶντες·
εὐλογητὸς εἶ ὁ Θεὸς
τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Τὴν ᾠδὴν Ἀνανίου
τῷ ἀνάρχῳ πάντες πατρὶ καὶ Θεῷ
τὴν εὐχὴν Ἀζαρίου
τῷ συναναρχῳ Λόγῳ υἱῷ τοῦ πατρὸς
καὶ Μισαὴλ τὸν ὕμνον
τῷ θείῳ Πνεύματι καὶ συναϊδίῳ
ὀρθοδόξῳ πίστει προσάξομεν λαοὶ
εἰς σωτηρίαν ἡμῶν.

Ὠδὴ θ'

Γραφικῶς προσφρονοῦντες βοῶμέν σοι,
Θεοτόκε, οἱ πιστοὶ
διὰ σοῦ ἐμεγάλυνε Κύριος
τοῦ ποιῆσαι μεθ' ἡμῶν·
διό σε, ἁγνή,
καὶ τὸν ἐκ σοῦ ἀπειράνδρως
σαρκωθέντα σωτῆρα
ὡς Θεὸν τῶν ἁπάντων
ὕμνοις μεγαλύνομεν.

25

ΕΙΣ ΤΗΝ ΓΕΝΝΗΣΙΝ ΤΗΣ ΘΕΟΤΟΚΟΥ

Ποίημα Γεωργίου Σικελιώτου

Α φ. 29α. Β φ. 20β

Ὠδὴ α'. Ἦχος α'. Ὁ Εἱρμός.

Ἐξάρχει πάλαι νεανίδων ἄδουσα
Μαριὰμ ἡ προφῆτις
αἶσμα καινὸν
τῷ ἐν θαλάσσῃ Ἐρυθρᾷ
διαγαγόντι λαὸν·
ἐξάρχει δὲ καὶ
τῶν ἀπ' αἰῶνος κτισμάτων
ᾄδουσα καινοτέρων
τῷ ἐν γαστρὶ θεόνυμφα
ἐξ ἀγόνου μήτρας στείρας

προσαγαγόντι γαστρός.

Ὠδὴ γ'

Ὠλένες ἄγονοι
τεκνογονοῦσι σήμερον
Παρθένον θεόνυμφον·
τῆς ἁγνείας κειμήλιον ἄσπιλον
εἰς παγκόσμιον δόξαν
καὶ στήριγμα τῶν ψυχῶν ἡμῶν
ἐξέστη τὸ μυστήριον
ὁ Ἀββακούμ, Χριστέ, τῆς σῆς ἐλεύσεως·
ἐκ κατασκίου ὄρους δασέος
τῆς ἀρτιγενοῦς ἀειπαρθένου σου μητρὸς
σαρκωθεὶς ἀνθρώποις συνανεστράφης
Θεὸς ὑπάρχων καὶ Κύριος.

Ὠδὴ ε'

Τὸ νοερὸν ἀπαύγασμα τῆς δόξης τοῦ πατρὸς
τὸ ἐκ φωτὸς ἀΐδιον
συναΐδιον σέλας καὶ σύνθρονον
ἐν τῇ κυήσει τῆς σὲ τεκούσης
πρὸς ἀνέσπερον ἡμᾶς
φρυκτωρίαν καθοδήγησον.

Ὠδὴ ς'

Ὡς ἐκ στέρνων ἁλίου κήτους
τὸν προφήτην Ἰωνᾶν ἔσωσας, Χριστέ,
καμὲ τῆς ὕλης ἀποσπάσας τῶν δεινῶν
πρὸς ζωὴν ἀγήρω
ἐπανάγαγε, φιλάνθρωπε.

Ὠδὴ ζ'

Οἱ ἐν καμίνῳ ἄφλεκτοι νέοι
τῆς δαιτικῆς νεάνιδος πάλαι
τὸν τύπον εἰκόνιζον
χαριονικῶς ἐκτελοῦντες γενέθλια·
πνεύματος δὲ χορείαν στησάμενοι
ἀνέμελπον·
τῶν πατέρων ὁ Θεὸς
εὐλογημένος ὑπάρχεις
ὁ ἐπὶ θρόνου δόξης τῆς βασιλείας σου.

Ὠδὴ η'

Ὁ τύπος τῆς σῆς λοχείας,
παρθενομῆτορ ἄχραντε,
παῖδας ἐν φλογὶ
πυροπολουμένους ἐδρόσιζεν·
ἡ δὲ ἐκ στείρας ἔκτυπος
τῆς κυήσεώς σου πρόοδος
τὴν φλόγα κατέσβεσε·
διὸ μέλπομεν
εὐλογείτω σύμπασα κτίσις τὸν εὐεργέτην
ὡς δημιουργὸν θεολογοῦσα καὶ Κύριον.

Ὠδὴ θ'

Καινοτομοῦνται νόμοι φύσεως
ἐν σοί, πανύμνητε,
μόνῃ γὰρ ἀσπόρως

ἐκνοφόρησας, ἁγνή,
σωματούμενον Λόγον
παντουργὸν εὐεργέτην καὶ Κύριον
ὃν θεολογοῦντες
ἀξίως σε ἀληθῆ
Θεοτόκον καὶ κυρίως μεγαλύνομεν.

26

ΕΙΣ ΤΟΝ ΑΠΟΣΤΟΛΟΝ ΘΩΜΑΝ

Ποίημα Γεωργίου Σικελιώτου

Α φ. 30α Β φ. 20β

Ὠδὴ α'. Ἦχος α'. Ὁ Εἱρμός.

Χερσώσας πάλαι τὴν ἄβυσσον
τὸν Ἰσραὴλ διέσωσας
ἐκ τῆς δουλείας Φαραὼ
ᾠδὴν ἐπινίκιον
τῇ κραταιᾷ χειρί σου ἀναμέλποντα.

Ὠδὴ γ'

Ὁ στερεώσας οὐρανοὺς
τῷ νεύματι τῷ θείῳ σου,
μόνε φιλάνθρωπε,
στερέωσον τὴν ψυχήν μου δέομαι
εἰς τὸ θέλημά σου ἵνα ὑμνῶ
τὴν σὴν ἀγαθότητα.

Ὠδὴ δ'

Τὴν σὴν ἐνανθρώπησιν
ὁ θεηγόρος Ἀββακοὺμ
προθεωρήσας, Χριστέ,
καθαρθεὶς δὲ Πνεύματι
ἐβόα ἐμφανῶς τοῖς πέρασι
ἐκ νεφέλης κούφης
παρθενικῆς διὰ λόγου σαρκούμενος
ἐλεύσεται ὁ ὤν
εἰς βροτῶν σωτηρίαν.

Ὠδὴ ε'

Νωθρόν με ὄντα παθῶν, ἀγαθέ,
ῥωτισμὸν ἀνάτειλον
τῶν ἐντολῶν σου δέομαι
καὶ ἀπέλασον
τῆς ψυχῆς μου τὴν ἀχλὺν
ἵνα ὀρθρίζων ὑμνῶ σε
τὸ ἀπρόσιτον φῶς.

Ὠδὴ ς'

Ὁ κήτει φλυδούμενος
ποντογενεῖ Ἰωνᾶς
γαστρὸς ἀφεγγοτάτου, ἀθάνατε,
τὴν σὴν προεξεικόνιζε
θείαν ἀνάστασιν
ἀναβαίνων πρὸς ζωὴν

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

ἐξ ᾅδου κατωτάτου.

Ὠδὴ ζ'

Ἐπαγορεύσας ὁ τύραννος
ἐν Λειμῶνι μουσικὴν
χρυσολατρείαν, σωτήρ,
οἱ τρεῖς σου παῖδες
εἵλοντο τοῦ θείου νόμου σου
ὑπερασπισμὸν κροτῆσαι
καὶ πυρὶ προτείνεσθαι
δι' αἰωνίαν ζωήν·
ὅθεν καὶ σύμφωνον ᾠδὴν ἀνέμελπον
ὁ Θεὸς ὁ τῶν πατέρων εὐλογητὸς εἶ.

Ὠδὴ η'

Στοιχειωθέντες τῷ νόμῳ σου
οἱ τρισμακάριοι παῖδες,
ἀθάνατε, ἐν τῇ καμίνῳ
ἀρλέκτως κατέδυσιαν
καὶ δρόσον οὐρανόθεν ἐδέξαντο
εὐλογεῖτε μέλποντες
πάντα τὰ ἔργα τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Σὲ τὴν φερέσβιον κόρην
καὶ ἀκήρατον Παρθένον
μακαρίζομεν
οἱ διὰ σοῦ τῆς καταδίκης λυτρωθέντες
καὶ τοῦ τόκου σου τὸ θεῖον
ἀπαύστως μεγαλύνομεν.

27

ΕΙΣ ΤΗΝ ΥΨΩΣΙΝ ΤΟΥ ΤΙΜΙΟΥ ΣΤΑΥΡΟΥ

Ποίημα Γεωργίου Σικελιώτου

B φ. 19β

Ὠδὴ α'. Ἦχος α'. Ὁ Εἱρμός.

Μωσέως ῥάβδου τὸν τύπον
θεασαμένη θάλασσα
ξηρὰ καθέστηκε ποτὲ
τὸ ἀήττητον ὅπλον τοῦ σταυροῦ
εἰς τύπον καὶ σωτηρίαν·
διὸ Χριστῷ ᾄσωμεν
τῷ Θεῷ ἡμῶν ὅτι δεδόξασται.

Ὠδὴ β'

Ἴδετε ἴδετε
ὅτι ἐγώ εἰμι Θεὸς
ὁ τῶν ἐναντίων τῇ ὑμῶσει τοῦ σταυροῦ [μου
καταβαλὼν τὰ θράση
τοὺς δὲ πιστοὺς βασιλεῖς ἐνισχύων
καὶ κρατύνων τῇ δυνάμει μου.

Ὠδὴ γ'

Στερέωσον, Χριστέ μου,
τοὺς πιστῶς προσκυνοῦντας
τὸν τίμιον σταυρόν σου
τὸ ὅπλον τὸ ἀήττητον
τὸ στήριγμα τῆς πίστεως
τῶν βασιλέων τὸ καύχημα.

Ὠδὴ δ'

Μέγα σόν τὸ ἄῤῥαστον
μυστήριον, Χριστέ,
τὸ τοῦ τιμίου σταυροῦ·
ἐν τῇ σῇ γὰρ συγκαταβάσει
προσκυνεῖν ἐδίδαξας τὸν τύπον
καὶ ἐν τῇ ἀναστάσει σου ἔσωσας
τοὺς χριστιανούς σου, ὡς εὔσπλαγχνος.

Ὠδὴ ε'

Ὁ ἐξανατείλων τοὺς φαεινοὺς ἀστέρας
διὰ σημείου τοῦ σταυροῦ
φώτισον ἡμῶν
τὸν τῆς ψυχῆς νυσταγμὸν
ὁ τῆς εἰρήνης δοτήρ.

Ὠδὴ ς'

Ἰωνᾶς ὁ προφήτης
προδιαγράψαν τὸν τύπον τοῦ σταυροῦ
καὶ ἐν τῷ κήτει συσχεθεὶς
αἰνέσεως φωνὴν σοι ἐβόησεν
ἀνάγαγέ με, Κύριε,
ἐκ βυθοῦ κατωτάτου
ὅπως θύσω σοι
μετὰ ἰαχῆς αἰνέσεως.

Ὠδὴ ζ'

Τῷ τύπῳ τοῦ σταυροῦ ὁδηγούμενοι
τῶν παίδων τὴν ᾠδήν σοι κραυγάζομεν
εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Ὑμνογράφοι παῖδες
ἐν τῇ καμίνῳ χορεύοντες ἔψαλλον
εὐλογεῖτε καὶ προσκυνεῖτε
τὸν ἐν τῷ ξύλῳ τοῦ σταυροῦ
καθηλούμενον Θεὸν
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Σὲ τὴν φαεινὴν λαμπάδα
καὶ μητέρα τοῦ φωτὸς
οἱ διὰ σταυροῦ σωθέντες
τῆς ἀρχαίας κατάρας
λυτρωθέντες καὶ φθορᾶς τῷ τόκῳ σου
τὸ χαῖρε σοι βοῶμεν
τῇ κεχαριτωμένῃ
καὶ ἀπαύστως μεγαλύνομεν.

28

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Ἰωάννου μοναχοῦ

B φ. 9α

Ὠδὴ α'. Ἦχος α'. Ὁ Εἱρμός.

Ἄσωμεν τῷ σωτῆρι τῶν ὅλων
τῷ ἑκουσίως δι' ἡμᾶς
σταυρὸν ὑπομείναντι.

Ὠδὴ γ'

Ἐσαακήκοα, οἰκτίρμον,
τὴν διὰ σαρκὸς οἰκονομίαν σου
ἣν ἐκὼν κατεδέξω
εἰς πάντων σωτηρίαν
καὶ ἐδόξασα, Λόγε,
τὴν ἄχραν σου συγκατάβασιν.

Ὠδὴ ς'

Ἐβόησα ἐκ θλίψεως
τῆς καρδίας μου πρὸς σὲ
τὸν οἰκτίρμονα Θεὸν
μὴ παρίδῃς, ἀγαθέ,
τὴν δέησιν τῶν δούλων σου.

29

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Ἰωάννου μοναχοῦ

B φ. 11α

Ὠδὴ α'. Ἦχος α'. Ὁ Εἱρμός.

. . . . . .
. . . . . .
. . . . . .

Ὠδὴ γ'

Στερέωσόν με, Χριστέ,
εἰς τὸ θέλημά σου
ὁ προσπαγεὶς ἐν τῷ σταυρῷ
καὶ τοῖς ὑπεναντίοις
δεῖξον φοβερόν
ἵνα κράζω εὐχαρίστως
οὐκ ἔστιν ἅγιος
ὡς σὺ ὁ Θεὸς ἡμῶν.

Ὠδὴ δ'

Ἀγαλλιάσομαι ἐν Θεῷ
καὶ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ
φησὶν ὁ Ἀββακούμ·
τοῦ γὰρ Χριστοῦ ἐπὶ ξύλου τανυθέντος
πᾶσα ἡ γῆ
εὐφροσύνης πεπλήρωται
καὶ οἱ ἐν χθονίοις
πεπεδημένοι ἀνεκραύγαζον·
δόξα τῇ δυνάμει σου, Κύριε.

Ὠδὴ ε'

Ἄνθρακα δεξάμενος
Ἡσαΐας ὁ προφήτης, Κύριε,
ἐκ νυκτὸς ἀνεκραύγαζεν·
δικαιοσύνην μάθετε
οἱ ἐνοικοῦντες τὴν γῆν.

Ὠδὴ ς'

Ὥσπερ τὸν Ἰωνᾶν
ἐν τῷ κήτει ἔσωσας
βυθισθέντα με τῇ ζάλῃ τῶν πταισμάτ
ἀνάγαγε, σωτήρ,
καὶ διάσωσόν με.

Ὠδὴ ζ'

Ἰουδαία ἡ θρεψαμένη
τοὺς αἰχμαλώτους παῖδας
ἐν Βαβυλῶνι πέμπει
πρὸς καμίνου ἀνάλωσιν
καὶ ψάλλειν ἐδίδασκεν
ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'

Ἐν σοφίᾳ καὶ λόγῳ
κατ' ἀρχάς, Κύριε,
τὴν γῆν ἐθεμελίωσας
καὶ ἔργα τῶν χειρῶν σου
εἰσὶν οἱ οὐρανοί·
παῖδες θεολογεῖτε
τῷ κτίστῃ πάντων
ἱερεῖς δοξάσατε
λαὸς ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Ἐμεγάλυνε Κύριος
τὴν μήτραν σου, Παρθένε,
ὁ κυηθεὶς ἐκ σοῦ ἀπειράνδρως
καὶ σώσας τὸν ἄνθρωπον·
αὐτὸν προσκυνοῦντες
Θεοτόκον σε κυρίως μεγαλύνομεν.

30

ΕΙΣ ΤΟ ΑΓΙΟΝ ΠΑΣΧΑ

Ποίημα Ἠλία πατριάρχου [Ἱεροσολύμων]

B φ. 12α

Ὠδὴ α'. Ἦχος α'. Ὁ Εἱρμός.

Δεῦτε ἅπαντες λαοὶ
ᾄσωμεν Χριστῷ
τῷ γεώσαντι ὑγρὰν

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

καὶ διαβιβάσαντι τὸν Ἰσραὴλ
διὰ Μωσέως χειρὸς
σήμερον ἐξαναστάντι σαρκὶ
καὶ τὴν ἔχθραν καθελόντι
καὶ ᾅδην σκυλεύσαντι
θεϊκῇ δυναστείᾳ
ᾠδὴν ἐπινίκιον
ὅτι δεδόξασται.

Ὠδὴ β'

Ἴγνωμεν ἔγνωμεν
ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν
ὁ ἐκ δεσμῶν τῶν τοῦ ᾅδου
ἐλευθερώσας τὸν Ἀδὰμ παγγενῆ
ἀναστὰς ἐκ τοῦ τάφου
ὡς δυνατὸς καὶ μόνος φιλάνθρωπος.

Ὠδὴ γ'

Θαμβώσει συνείχετο
ἡ κτίσις πᾶσα
ὅταν ὁ κτίστης τῶν ἁπάντων
ἀπόφασιν ἐλίμβανεν
ὑπὸ ἀνθρώπου θνητοῦ
Πιλάτου σταυρωθῆναι
ἵνα τὸν Ἀδὰμ ἐλευθερώσῃ
τῇ ἐγέρσει αὐτοῦ
βοῶντα ἀεὶ
ἅγιος εἶ, Κύριε,
καὶ ὑμνεῖ σε τὸ πνεῦμά μου.

Ὠδὴ δ'

Ἐν μέσῳ δύο λῃστῶν
Ἀββακοὺμ προεώρα
τὴν σὴν συγκατάβασιν
σταυρωθῆναί σε, φιλάνθρωπε,
διὸ καὶ ἀνεκραύγαζεν
ἐξῆλθες εἰς σωτηρίαν λαοῦ σου
τοῦ σῶσαι τοὺς χριστούς σου
ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν
δόξῃ τῇ δυνάμει σου.

Ὠδὴ ε'

Εἰρήνης χορηγὸς
ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν
καὶ τῶν ἀνάκτων ἄναξ
ὑπάρχων, φιλάνθρωπε,
ἐπὶ τῆς γῆς καταβέβηκας
πύλας καὶ μοχλοὺς συνθλάσας
καὶ τὸν Ἀδὰμ ἁρπάσας
ἀμητήρῳ πολάμῃ
εἵλκυσας πρὸς φῶς τὸ ἀνέσπερον.

Ὠδὴ ς'

Ἰσαὰκ ἐν τῷ ὄρει
δεσμευθείς, φιλάνθρωπε,
τὴν σὴν σφαγὴν ἐξεικόνιζεν,
Ἰωνᾶς ἐν πελάγει
ἀφειδῶς ῥιπτούμενος,
τὴν σὴν ταφὴν προετύπωσεν·
καὶ δι' ἀμφότερα ταῦτα
σταυρὸν ὑπέμεινας·
ἐν τάφῳ δὲ ὑπνώσας
καὶ ἐξαναστὰς ἐκ νεκρῶν
ζωὴν ἐπῆγάσας ἡμῖν τῇ ἐγέρσει σου.

Ὠδὴ ζ'

Ἀγγελικῇ ὁράσει
ἐν καμίνῳ τοὺς παῖδας ἐδρόσισας·
καὶ γυναιξὶν ἐφάνη ὁ ἀρχάγγελος
ἐγήγερται λέγων·
ἐκ νεκρῶν ὁ Κύριος
καὶ νῦν τοῖς μαθηταῖς ἀπαγγείλατε
εἰς τὸν ἅπαντα κόσμον
κηρύξαι τὴν ἀνάστασιν καὶ βοήσατε·
ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'

Θαῦμα θαυμάτων
κατ' ἀμφότερα πάντα γενόμενον
ἄγγελος τῇ Παρθένῳ
τὸ τοῦ τόκου μυστήριον φθέγγεται
καὶ ἐν τάφῳ ἄγγελος
ταῖς γυναιξὶν ἐμφανίζεται
κραυγάζων ἐξανέστη ὁ Κύριος
καὶ φῶς τοῖς πιστοῖς
τῇ αὐτοῦ ἀναστάσει
δωρεῖται εἰς αἰῶνας.

Ὠδὴ θ'

Παρθένον σε πρὸ τόκου
καὶ ἐν τόκῳ γινώσκομεν
μητέρα σε καὶ δούλην
τοῦ ἐκ σοῦ σαρκωθέντος δοξάζομεν
ἐν ᾧ ᾅδης ἔφριξε
καὶ ὁ θάνατος τῷ τρόπῳ ἠλάλαξε·
τὰ γὰρ κατεχθόνια πάντα
καὶ δεσμὰ τοῦ θανάτου διέρρηξε
καὶ ἐκ νεκρῶν ἐξανίστη τριήμερος·
ζωῦτον, ἀγνή, πίστει προσκυνοῦντες
ὡς Θεὸν παναληθῆ
καὶ σὲ μεγαλύνομεν.

31

ΕΙΣ ΤΟ ΑΓΙΟΝ ΠΑΣΧΑ

Ποίημα Ἠλία πατριάρχου Ἱεροσολύμων

Β φ. 13β

Ὠδὴ α'. Ἦχος α'. Ὁ Εἱρμός.

Λαὸν περιούσιον
τερατουργῶν ὁ Μωυσῆς
ἐν Ἐρυθρᾷ διέσωσεν ἄδοντα
ἐπινίκιον ᾠδήν σοι ἐν φρικτωρίᾳ,
Λόγε Θεοῦ,
ὑψηλῇ δεξιᾷ ποντίσαντι τὸν τύραννον.

Ὠδὴ γ'

Ῥήσσεται παμφάγος ᾅδης τῷ πάθει σου
καὶ θάνατος οἴχεται πικρὸς
ἡμεῖς δέ, Χριστέ, ἀθανατισθέντες
προσκυνοῦμέν σου
τὴν ἔγερσιν στερεούμενοι.

Ὠδὴ δ'

Θεοπτικῶς ὁ Ἀββακοὺμ
σταυρούμενόν σε προβλέπων
ἐπήρθη ὁ ἥλιος ἐβόα, σωτήρ,·
καὶ ἡ σελήνη ἔστη
ἡ ἐκκλησία ἐν τῇ τάξει τῆς πίστεως
δόξα τῇ δυνάμει σου,
Κύριε, κραυγάζουσα.

Ὠδὴ ε'

Ἀλήκτῳ φέγγει
τοῦ θείου Πνεύματος ἀστραφθέντες
νοερὰ ὄμματα, πιστοί,
τὸν ἀνατείλαντα ἡμῖν
ἀφθαρσίας βίμβρον
ἐκ τάφου Χριστὸν
ἐκ νυκτὸς ὀρθρίζοντες
συμφώνως ὑμνήσωμεν.

Ὠδὴ ς'

Μεμνημένος σου τῆς χρηστότητος
ὁ ἐναλίφθορος Ἰωνᾶς
Κύριε, ἀνεβόα σοι
ἐν κητώοις στέρνοις
κληροφορούμενος
ἀνάγαγε, πολυέλεε,
ἐκ φθορᾶς τὴν ζωήν μου καὶ σῶσόν με

Ὠδὴ ζ'

Νόμος ἐν Σιὼν ἐφοίτα πανώλεθρος
μουσικοῖς ἠχήμασιν ἀστάτοις·
ἀντεισαχθέντες παῖδες δὲ
Ἀβραμιαῖοι κατεπάτησαν
τὸν τύραννον καταισχύναντες
καὶ ἐβόων λέγοντες,
ὑπερύμνητε Χριστέ,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν
εὐλογητὸς εἶ.

Ὠδὴ η'

Ἐσεβάσθησαν τὴν κτίσιν
παῖδες Χαλδαίων
ξόανον ἄφρονον
ἐν πεδίῳ Δειρᾷ
πάλαι ἐν εὐήχῳ ἡμέρᾳ
ταύτην δὲ ἐμυκτήρισαν
Ἰσραηλῖται θεοδεῖς
ἐν φλογὶ πυρπολούμενοι
καὶ ὕμνον ἀνεβόων
οὕτω λέγοντες·
τὰ ἔργα πάντα
ὑπερυψοῦτε τὸν Κύριον.

Ὠδὴ θ'

Ὁ ἐν μήτρᾳ οἰκήσας
ἀλοχεύτως Θεὸς ἀψευδὴς
τὴν τεκοῦσαν παρθένον διετήρησε
μένων ὅπερ ἦν καὶ πρὸ συλλήψεως
οὕτω φρικτῶς ἐξανέστη
τοῦ τάφου ὡς ηὐδόκησεν·
διό σε, Θεοτόκε,
καὶ τὸν ἐκ σοῦ τεχθέντα μεγαλύνομεν

32

ΕΙΣ ΤΟ ΑΓΙΟΝ ΠΑΣΧΑ

Ποίημα Ἠλία πατριάρχου Ἱεροσολύμων

Β φ. 14β

Ὠδὴ α'. Ἦχος α'. Ὁ Εἱρμός.

Ἐν φωνῇ ἀγαλλιάσεως
σήμερον ἑορτῆς ἡμῶν
τῷ Κυρίῳ ᾄσωμεν
ὅτι δεδόξασται.

Ὠδὴ γ'

Οὐρανοὺς ὡσεὶ δέρριν
ὁ ἐκτείνας μόνος Θεὸς ἡμῶν
ἐκ τοῦ τάφου σήμερον
ὡραῖος ἐγήγερται
δωρούμενος τοῖς πιστοῖς
πάσχα τὸ ἐωσφόρον.

Ὠδὴ δ'

Ἀββακούμ, Κύριε,
προδιαγράφων ἔλεγε·
σεισθήσονται κεραλαὶ τῶν δυνασ
ἐν τῇ ταφῇ σου, Δέσποτα,
καὶ ἐν τῇ ἀναστάσει σου
ὑψωθήσεται τὸ κέρας τῶν πιστῶν
δόξα σοι κραυγάζοντες
ὁ ἀνατείλας ἡμῖν
πάσχα τὸ θεόθυτον.

Ὠδὴ ε'

Τὸν ἐν ζόφῳ τοῦ ᾅδου κρατούμενον
σήμερον ἀνέστησας
νεκρώσας τὸν θάνατον
δωρούμενος τοῖς πιστοῖς
πάσχα τὸ ἐωσφόρον.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

Ὠδὴ ϛ΄

Τοῦ νοητοῦ θηρὸς ῥῦσαί με, σωτήρ.
ἐξάγων με ἐκ δεσμῶν τοῦ ᾅδου καὶ φθορᾶς
ἵνα ὑμνῶ καὶ δοξάζω τὴν ἀνάστασίν σου
δι' ἧς ἡμῖν ἐφανερώθη τὸ θεῖον πάσχα
τὸ παμφαὲς καὶ λαμπρόν.

Ὠδὴ ζ΄

Ἐπὶ τὴν ἑπτάμετρον φλόγα
δρόσον ὁ ἐπομβρήσας
σήμερον σωτηρίαν ἀνέτειλεν
πάσῃ τῇ οἰκουμένῃ·
καταβὰς γὰρ ἔλυσε
τοῦ ᾅδου τὰ βασίλεια
καὶ ἐλυτρώσατο τὰς ψυχὰς τῶν βροτῶν
ἐκ τῆς γαστρὸς τοῦ παμφάγου
καὶ ψυχοφθόρου θανάτου·
διὸ ἡμεῖς βοήσωμεν λέγοντες
εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η΄

Τὸν βασιλέα Χριστὸν
τὸν σταυρωθέντα βουλήσει
καὶ ταφέντα καὶ ἀναστάντα
ἱερεῖς εὐλογεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ΄

Μεγαλύνομεν πάντες
τὴν σωτήριον ἀνάστασιν
τοῦ παθόντος ὑπὲρ ἡμῶν
εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

33

ΕΙΣ ΤΟ ΑΓΙΟΝ ΠΑΣΧΑ

Ποίημα Κυπριανοῦ μοναχοῦ

Β φ. 15β

Ὠδὴ α΄. Ἦχος α΄. Ὁ Εἱρμός.

* Πανστρατὶ τὸν ἀλαζόνα ἐβύθισας
Φαραὼ ἐν Ἐρυθρᾷ τῇ σῇ δυνάμει
καὶ τὸν λαὸν Ἰσραὴλ ἀβρόχως διέσωσας
ᾅδοντα ᾠδὴν ἐπινίκιον Θεῷ
τῷ θαυμαστῶς ἐν ἰσχύϊ
συντρίψαντι κέρας ἐχθροῦ.

Ὠδὴ γ΄

Ἀνειμένη φύσις βροτεία
ἐκ τῶν τοῦ ᾅδου ἀρχύων, ἀθάνατε,
σήμερον γεραίρομεν πάντες·
τὸ ἱερούργημα τὸ θεῖόν σου
πάσχα τὸ αἰώνιον
δι' οὗ στερεούμεθα
πρὸς ζωὴν τὴν ἀμείνω
ταφῇ σου τριημέρῳ.

Ὠδὴ δ΄

Τὸν νῶτόν σου δέδωκας
εἰς μαστίγωσιν, Χριστέ,
δι' ἐμὲ τὸν πεπτωκότα
καὶ τὴν μορφὴν εἰς ραπίσματα
ἵνα ἐκδικήσῃς
πικρῶς ἐκ παραβάσεως Ἀδὰμ
καὶ τὸν δράκοντα ὀλέσῃς·
διὰ τοῦτο σήμερον
τὸ τεθυμένον ἡμῖν
πάσχα τὸ θεῖον
δι' οὗ ἐγνώσθη τὸ φῶς
τῆς ἀληθείας ἑορτάζοντες
δοξάζομεν τὴν δύναμίν σου.

Ὠδὴ ε΄

Μεγαλωσύνης ποτήριον πίομεν
μυσταγωγούμενον ἡμῖν
σήμερον, πιστοί,
καὶ ὁρθρίσωμεν ὄρθρου βαθέος
ἐπὶ τὸ μνῆμα,
καὶ ἐκεῖ κατίδωμεν
ἄγγελον ἀστράπτοντα,
καὶ, φωνῆς ἀκουτισθῶμεν
ἰχούσης τερπνῶς·
ἀνέστη Χριστὸς
ζωὴν τῷ κόσμῳ δωρούμενος.

Ὠδὴ ϛ΄

Ἰωνᾶς ὁ προφήτης
προδιετύπου σου, Χριστέ,
τὴν θεῖαν ἀνάστασιν
τριημερεύσας γὰρ ἐκὼν
ἐν τῷ τάφῳ τῷ ἀχράντῳ
τὰ τοῦ ᾅδου ἔλυσας
δεσμὰ ὑπόβρυχα
καὶ τὸν Ἀδὰμ παγγενῆ ἐξαναστήσας
ὡς ἐκ κήτους τοῦ θανάτου
ἀνέθορας, οἰκτίρμον.

Ὠδὴ ζ΄

Λί περὶ Πέτρον
προεπιστᾶσαι ἐπὶ τὸ μνῆμα
ἐθεώρουν ποῦ ἐτέθη
ὁ πάλαι τοὺς παῖδας
ἀρλέκτους Χριστὸς
διασώσας ἐν Βαβυλῶνι
καὶ τὸν λίθον ἰδοῦσαι ἠρμένον
ἐβόων τρανῶς·
ἐξανέστη ὄντως
ὁ Θεὸς τῶν δυνάμεων
καὶ φῶς ἐξαστράπτει
τῷ κόσμῳ εἰς αἰῶνας.

Ὠδὴ η΄

Μαγγανίαν τοῦ παναθλίου ἐχθροῦ διέλυσας
ἐν τῷ τάφῳ καταβὰς ὡς ἠβουλήθης
καὶ κατόχους μοχλούς τε
συντρίψας τοῦ ᾅδου, Χριστέ,
ἐξανέστης ἐν δόξῃ
χιλιὰν μηνύων τοῖς πέρασι·
διὰ τοῦτο ὑμνοῦμεν
καὶ δοξολογοῦμεν τὴν σὴν οἰκονομίαν.

Ὠδὴ θ΄

Ῥομφαία τοῦ πάθους σου
διετέτρωτο τὰ σπλάγχνα ἡ σεμνὴ
Θεοτόκος, Κύριε,
καὶ τῷ σταυρῷ παρεστῶσα
μητρικῶς ὀδυρομένη ἔλεγεν·
ὦ θεῖον τέκνον καὶ ἄναξ τῶν περάτων
τί ἔδυς ἐξ ὀφθαλμῶν μου
τὸ ἀπαύγασμα τῆς δόξης τοῦ πατρός·
ἀλλὰ λάμψον, ἥλιε,
τοῖς ἐν σκότει τὸ φῶς
μεγαλυνθεὶς ὡς Θεὸς τῇ ἐγέρσει σου.

34

ΕΙΣ ΤΟ ΑΝΤΙΠΑΣΧΑ

Ποίημα Κυπριανοῦ μοναχοῦ

Β φ. 17α

* Τῷ πάλαι Μωσῇ τῷ θεράποντι
πυρφόρον βάτον
ἀρλέκτως ἐγχειρίσαντι
καὶ νῦν τὴν τοῦ μαθητοῦ παλάμην
σαθρὰν καὶ ἀκανθώδη ὑπάρχουσαν,
ψαύσασαν δὲ πυρίνην πλευρὰν
ἀχώνευτον φιλάξαντι
Κυρίῳ ᾄσωμεν·
ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ β΄

Ἴδετε ἴδετε
ὅτι ἐγώ εἰμι λέγει Κύριος
ὁ τῶν θυρῶν κεκλεισμένων
ἐν μέσῳ στὰς τῶν μαθητῶν
καὶ ὑποδείξας τῷ Θωμᾷ
τὰς ὠτειλὰς τῶν ἥλων
γνῶτε ἅπαντες λαοί
ὅτι Θεὸς ἐγώ εἰμι
ὁ ζῶν καὶ οὐκ ἠλλοίωμαι.
Εἱρμὸς ἄλλος
Ἴδετε ἴδετε
ὅτι ἐγώ εἰμι ὁ πρὸ πάντων αἰώνων
δημιουργὸς καὶ Θεὸς
καὶ τῷ Θωμᾷ ἀπιστοῦντι
ὑποδείξας τὴν πλευρὰν τὴν ἐμὴν
τὴν ἐκ τῆς λόγχης νυγεῖσαν
καὶ τὰς τρήσεις τῶν ἥλων
πρὸς βεβαίαν πίστωσιν.

Ὠδὴ γ΄

Ὁ ἐκτείνας οὐρανὸν
τῷ νεύματί σου, Κύριε,
καὶ γῆν ἐδράσας
θεοπρεπῶς ἐν ὕδασι
τὴν σεσαλευμένην ψυχήν μου
στερέωσον εἰς τὸν φόβον σου
καὶ συνέτισόν με
ὡς τὸν Θωμᾶν βοᾶν σοι
ὁ Κύριος καὶ ὁ Θεός μου δόξα σοι.

Ὠδὴ δ΄

Ἐν μέσῳ δύο λιμνῶν ἐγνώσθης ἐπὶ σταυροῦ
ἐν κρανίου τόπῳ, Χριστὲ ὁ Θεός,
καὶ ἐκεντήθης λόγχῃ
τὴν ζωήρρυτον πλευράν σου·
ὅθεν ἐπήγασας ἡμῖν
ἀφθαρσίαν καὶ ζωὴν
τοῖς ἐν πίστει κραυγάζουσιν
ὁ Κύριός μου καὶ ὁ Θεός μου
δόξα τῇ δυνάμει σου.

Ὠδὴ ε΄

Ἡσαΐας κέκραγεν
ὁ προφήτης περὶ σοῦ
ὀρθρίζει τὸ πνεῦμά μου
πρὸς σὲ τὸν φωτοδότην Θεὸν
τὸν ἀνατείλαντα ἐκ τάφου
καὶ ὀρθέντα μαθηταῖς
τῶν θυρῶν κεκλεισμένων
καὶ εἰρήνην διανείμαντα.

Ὠδὴ ϛ΄

Προτύπωσις γέγονεν
Ἰωνᾶς ὁ προφήτης
τῆς ζωηφόρου ταφῆς σου
καὶ τῆς ἐνδόξου ἀναστάσεως
καὶ ἐκραύγαζεν ἡ προσευχή μου ἐλθοῖ
πρὸς ναὸν ἅγιόν σου,
Χριστὲ ὁ Θεός,
ὁ ἀναστὰς ἐκ νεκρῶν
καὶ ὑποδείξας τῷ Θωμᾷ
τὴν ζωοδῶρον πλευράν
καὶ ἀπιστοῦντα
τοῦτον πιστωσάμενος.

Ὠδὴ ζ΄

Εὐλογητὸς εἶ Κύριε
ὁ Θεὸς τῶν πατέρων ἡμῶν
ὁ τῷ Θωμᾷ ὑποδείξας
τὴν ἄχραντον πλευράν σου
καὶ τῶν χειρῶν καὶ τῶν ποδῶν τοὺς μώλωπας
καὶ ὑπερύμνητος ὑπάρχεις

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

ἐν πάσῃ τῇ σοφίᾳ σου
ὁ ἀναστὰς καὶ ἀνείκαστος
ἐν ἀγαθότητι εἰς τοὺς αἰῶνας.

Ὠδὴ η'

Ἐν καμίνῳ ὤφθης ἐν ἀγγέλου μορφῇ
τοῖς ὁσίοις παισί σου,
τοῖς μαθηταῖς δὲ πάλιν ὤφθης
τῶν θυρῶν κεκλεισμένων, σωτήρ·
ἐκεῖ δροσίζων τὸ πῦρ
ἐνταῦθα νέμων τὴν εἰρήνην σου
κραυγάζειν καὶ βοᾶν
εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ'

Παρθένων ἀγλάϊσμα χαῖρε πανύμνητε
ὅτι ὁ σὸς υἱὸς ἀρρήτως
ἐν μέσῳ ἔστη σήμερον
τῶν ἑαυτοῦ μαθητῶν
ὠτειλὰς δεικνύων αὐτοῖς
καὶ τοὺς τύπους τῶν ἥλων
οἳ καὶ θαμβούμενοι
μεγαλοφώνως ἔκραζον
σὺ εἶ ὁ Θεὸς ἡμῶν
καὶ σὲ ἀνυμνοῦμεν
τὰ σὰ θαυμάσια μεγαλύνοντες.

35

ΠΡΟΕΟΡΤΙΟΣ
ΕΙΣ ΤΗΝ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΙΝ

Β φ. 21β

Ὠδὴ β'. Ἦχος α'. Ὁ Εἱρμός.

* Ἴδετε ἴδετε
ὅτι ἐγώ εἰμι λέγει Κύριος
ὁ ἐν τῷ σπηλαίῳ τεχθεὶς
ἐκ Παρθένου ἀνερμηνεύτως
καὶ ἐν φάτνῃ ἀνακλιθεὶς
ὡς βρέφος σαρκὶ
διὰ τὸ σῶσαι τὸ ἀνθρώπινον.

Εἱρμὸς ἄλλος

Ἴδετε ἴδετε
ὅτι ἐγώ εἰμι Θεὸς
ὃν οἱ μάγοι μετὰ δώρων προσεκύνησαν
ὑπὸ ἀστέρος ὁδηγούμενοι
καὶ ποιμένες μετὰ ἀγγέλων ἐδόξαζον
ὡς βασιλέα καὶ δεσπότην τῶν ἁπάντων.

Ὠδὴ θ'

Χαίροις πάναγνε θεοδέγμον Μαρία·
χαίροις τεκοῦσα σὸν Θεὸν καὶ δεσπότην·
χαίροις φέρουσα τὸν φυσίζωον Λόγον·
χαίροις ἀΰλου φλογὸς ἀφλογεστέρα
χάριν πορίζου σὺν μελῳδοῦσι κλέος.

Ἄλλος

Ὦ παμμεγίστων καὶ ξένων ἀκουσμάτων
τῶν σῶν ὑπὲρ νοῦν, ὦ πάναγνε, θαυ-
[μάτων
πῶς ἄσπορος χώρα ἐξέφυες στάχυν
καὶ πῶς τεκοῦσα παρθένος πάλιν μένεις
καὶ πῶς γάλακτι παρθενεύουσα τρέφεις
ὦ φωτὸς μήτηρ, τὸν τρέφοντα τὴν κτίσιν.

36

ΕΙΣ ΤΑ ΑΓΙΑ ΦΩΤΑ
Ποίημα Ἠλία μοναχοῦ

Β φ. 23α

Ὠδὴ α'. Ἦχος α'. Ὁ Εἱρμός.

* Ὁδὸν ξένην βαδίσας
λαὸς Ἰσραηλίτης
ἐν βυθῷ θαλαττιαίῳ ἐρυθρῷ
ἦσε τὴν ᾠδὴν Κυρίῳ βοῶν
ἄσωμεν τῷ θαυμαστὰ τερατουργήσαντι.

Ὠδὴ γ'

Τίς σοφὸς καὶ συνήσει
τὰ μυστήρια Θεοῦ;
ὅτι ἔθετο λίμνας
ἐν ἐρήμῳ, προφῆτις
καὶ στείρα ἔτεκε
ἡ ποτὲ οὐ τίκτουσα
νῦν δὲ ἔγνωμεν αὐτὴν
τῆς Χριστοῦ ἐκκλησίας
αὐτῷ ἀνακράζουσαν
σύ μου τεῖχος καὶ κράτος
δύναμις καὶ στερέωμα.

Ὠδὴ δ'

Ἐγνώσθη ἀνθρώποις Θεὸς ἀληθὴς
Χριστὸς μαρτυρηθεὶς ἐξ ὕψους
ὑπὸ πατρὸς ἐν Ἰορδάνῃ καὶ Πνεύματος·
διὸ ἀνακράζομεν αὐτῷ
δόξα τῇ δυνάμει σου, Κύριε.

Ὠδὴ ε'

Ὡς ἐν νυκτὶ ἀγνωσίας
ἡ κτίσις προσκόψασα
φωτί σου προσταγμάτων
νοητῶς σελαγίζεται
καὶ τὸν ὄντως φυτουργὸν
ἐπιγνοῦσά σε τῶν ἐντολῶν εἰρήνην
ἐκζητεῖ σου τὰ δικαιώματα.

Ὠδὴ ϛ'

Γέγονε τύπος Ἰωνᾶς ὁ προφήτης,
Χριστέ, τοῦ βαπτίσματος·
ὡς ἐκ βυθοῦ τῆς θαλάσσης
ὑπεξέδυ γὰρ τριημέρῳ ποντούμενος

καὶ ἡμεῖς τοῦ θανάτου
τρισσοφαεῖ αὖθις καταδύσει
τὴν ἀνάστασιν ἐπενδυόμεθα.

Ὠδὴ ζ'

Ἱεροπρεπεῖς τρεῖς παῖδες
μίαν ἐν διῃρημένοις σώμασιν
εἴχοντο ψυχὴν
ἓν καὶ τὸ φρόνημα ἐκέκτηντο·
ἐν πυρὶ δὲ βληθέντες
ὡς ἐξ ἑνὸς στόματος ἀνέμελπον,
ὑπερύμνητε,
εὐλογητὸς εἶ, Κύριε.

Ὠδὴ η'

Τὸν βασιλέα Χριστὸν
τὸν ἐκ Παρθένου τεχθέντα
καὶ φανέντα καὶ βαπτισθέντα
ἱερεῖς εὐλογεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Τὸν ἀδιαίρετον Λόγον τοῦ πατρὸς
καὶ συνάναρχον υἱὸν αὐτοῦ
ἐν Ἰορδάνῃ σήμερον
τὴν ἁμαρτίαν πλύναντα
καὶ κόσμον ἁγιάσαντα
μεγαλύνομεν πάντες ὡς Θεὸν ἡμῶν.

37

[ΑΝΑΣΤΑΣΙΜΟΣ]
Ποίημα Ἠλία πατριάρχου Ἱεροσολύμων

Β φ. 24β

Ὠδὴ α'. Ἦχος α'. Ὁ Εἱρμός.

* Ἀφανισθήτω τὸ ρευστὸν
ἀπ' ἐμοῦ τῆς κακίας,
Χριστὲ ὁ Θεός,
ἀνακαλυφθήτω δὲ
τῶν ἐντολῶν σου ὁ βυθὸς
ἵνα ᾠδήν σοι ᾄδω ἐπινίκιον.

Ὠδὴ β'

Κλῖνον τὸ οὖς σου, Χριστέ,
ψυχικῶς ἀρρωστοῦντι μοι
καὶ τῶν ῥημάτων εἰσάκουσον
ὁ ταχὺς εἰς τὸ σῶσαί με,
τῷ σῷ ὀνόματι
μεγαλωσύνην ὅπως δώσω.

Ὠδὴ γ'

Ὁ τῆς πεσούσης ἀνορθωτὴς φύσεως ἡμῶν,
Χριστὲ ὁ Θεός,
αὐτὸς τὴν ψυχήν μου
τοῖς κακίστοις δονουμένην στερί
ἐν ἀσαλεύτῳ πέτρᾳ τῶν δογμάτω

Ὠδὴ δ'

Τὴν πρὸς ἡμᾶς σου, Κύριε,
προαιώνιον βούλησιν
ἐπ' ἐσχάτων ἐκ μητρὸς πανάγνο
ὁ Ἀββακοὺμ ἀκηκοὼς
εἰς σωτηρίαν λαοῦ σου πληροῦσι
μετὰ φόβου ἐκραύγαζε·
δόξα τῇ δυνάμει σου.

Ὠδὴ ε'

Τῆς πατρικῆς ἀπαύγασμα δόξης, Ἰ
τὴν συγχωσθεῖσαν τοῖς πταίσμασι ψυχ
ἐκκαθάρας φώτισον
ἐκ νυκτὸς ἵνα ὀρθρίζω σοι.

Ὠδὴ ϛ'

Ἐταλαιπώρησα
καὶ ἕως τέλους κατεκάμφθην
τῇ συνεχεῖ τοῦ ἐχθροῦ
ἐπηρείᾳ, Χριστέ,
προφθάσας με λύτρωσαι τοῦ
ὥσπερ πρὶν τὸν Ἰωνᾶν
ἐκ τοῦ κήτους καὶ σῶσόν με.

Ὠδὴ ζ'

Θεασώμεθα τὴν δόξαν
τοῦ προσώπου σου, Κύριε,
ὥσπερ πάλαι ἐν τῇ καμίνῳ
οἱ εὐθαρσεῖς τρεῖς παῖδες
ἵνα τοῦ πυρὸς τῶν ἡδονῶν
εἰς δρόσον τῆς σῆς χάριτος μεταποιη
εὐλογητὸς εἶ ψάλλωμεν
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Τὴν θείαν οἱ θείως ζήσαντες
τρισμακάριοι παῖδες
φύσιν οὐκ ἠρνήσαντο
ἀλλὰ πυρὶ τὰ σώματα
δι' ἀρετὴν παρέδωκαν
ξοάνῳ μὴ προσκυνήσαντες·
ὅθεν δροσιζόμενοι
τὴν κτίσιν πρὸς ὕμνον
συνεκαλοῦντο ψάλλοντες
εὐλογεῖτε
τὰ ποιήματα πάντα τὸν Κύριον.

Ὠδὴ θ'

Τῶν φύσεων τῶν δύο συνέδρα
εἰς ἕνωσιν ἀρρήτως ἡ σύλληψις
ἡ δεσπόζουσα τὴν δούλην
λαβοῦσα γὰρ ἐκ σοῦ, πάναγνε, τί
οὐ φυρθεῖσα οὐ χωριζομένη·
ὅθεν σε πάντες, Θεοτόκε, μεγαλύν

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

38

[ΑΝΑΣΤΑΣΙΜΟΣ]

Ποίημα Γεωργίου Ἀνατολικοῦ

Β΄ φ. 25β

Ὠδὴ α΄. Ἦχος α΄. Ὁ Εἱρμός.

Νεφελοπρέπεια φρικτὴ
ἐπισκιάσασα τὸν Ἰσραὴλ
ἐν θαλάσσῃ ποτὲ
διεβιβάσθη ἀβρόχως
ξένῃ τρίβῳ
καὶ ἀνετὸς ἀνέμελπεν
κατὰ πάντα τὰ ἔργα σου
ὁ Θεὸς ὑπάρχεις δεδοξασμένος.

Ὠδὴ γ΄

Ἰσχύς μου καὶ ὕμνησις
καὶ ἀνέλληφις πέφυκας, Χριστὲ ὁ Θεός,
σταυροῦ σου τῇ δυνάμει
στερέωσον τὴν καρδίαν μου
εἰς τὸ ποιεῖν σου ἀεὶ τὰ θελήματα.

Ὠδὴ δ΄

Σοφίας τὸ μυστήριον
ὁ Ἀββακοὺμ προαινιξάμενος
τῆς φωτοφόρου λοχείας Χριστοῦ τοῦ Θεοῦ
μελῳδῶν ἀνεκραύγαζεν·
ἀπὸ Θαιμὰν ἡ ἀνάπλασις
τῶν γηγενῶν ἐπελεύσεται
δόξα τῇ αὐτοῦ ἐνανθρωπήσει.

Ὠδὴ ε΄

Αἰ' ἐκβάσεως προφητικῆς
αἰνιγματωδῶς ὁ Ἡσαΐας ἐβόα ποτὲ
οἱ νεκροὶ ἀναστήσονται
καὶ οἱ ἐν τῷ ᾅδῃ ἐξελεύσονται·
ἦλθε γὰρ Χριστὸς τῆς εἰρήνης ὁ αἴτιος
φῶς ἀνατέλλων τοῖς πέρασιν.

Ὠδὴ ς΄

Σοῦ τὴν ἀνάστασιν
ὁ Ἰωνᾶς προεκήρυσσε
τριημερεύσας γὰρ ἐν τῇ κητώᾳ γαστρὶ
αὖθις ἐξεπέμπετο
ζωοποιῷ πνεύματι
καὶ ἐβόα χαίρων, Χριστέ,
ὅσα ηὐξάμην ἀποδώσω σοι
εἰς σωτηρίαν μου, φιλάνθρωπε.

Ὠδὴ ζ΄

Ἵσταντο ἐν μέσῳ καμίνου πυρὸς
οἱ αἰχμάλωτοι παῖδες
τῆς Τριάδος οἱ μύσται καὶ ἰσάριθμοι
καὶ τῇ τοῦ Πνεύματος δρόσῳ θαλπόμενοι
ἐβόων ἀναμέλποντες
ὁ Θεὸς τῶν πατέρων ἡμῶν εὐλογητὸς εἶ.

Ὠδὴ η΄

Τὰ μεγαλεῖά σου ὁ Θεὸς
ἀνακηρύττοντες ἐν Βαβυλῶνι οἱ παῖδες
ἀγαλλόμενοι τῇ ἐλλάμψει σου
ἀπήμβλυναν ἠχήματα
ὀργάνων ξοανορράνων
καὶ παρανοοῦντος τυράννου προστάγματος
καὶ μετὰ μέλους ἐψαλλον
πᾶσα ἡ κτίσις εὐλογείτω
ἀνυμνοῦσα τὸν Κύριον.

Ὠδὴ θ΄

Μεγαλύνομέν σε
αἱ γενεαὶ πᾶσαι τῆς γῆς.
Θεοτόκε ἁγνή,
ὅτι ἐκύησας ἀσπόρως τὸν ἀναλλοίωτον
ὑπερφυῶς, ἀειπάρθενε,
ἐν σοὶ γὰρ ἐπεσκίασεν
ἡ χάρις τοῦ Πνεύματος.

39

[ΑΝΑΣΤΑΣΙΜΟΣ]

Ποίημα Ἠλία πατριάρχου [Ἱεροσολύμων]

Β΄ φ. 26β

Ὠδὴ α΄. Ἦχος α΄. Ὁ Εἱρμός.

Ὁ πάλαι χειρωσάμενος
τὴν Ἐρυθρὰν θάλασσαν
τοῖς υἱοῖς Ἰσραὴλ
οὗτος ὁ Θεὸς ἡμῶν
θαυματουργῶν ἐν ἰσχύϊ
ᾠδὴν ἐν ἀλαλαγμῷ
ἄσωμεν αὐτῷ·
ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ γ΄

Ὁ ἀπαράβλητον καὶ ἀσύγκριτον
Χριστὸς ὁ Θεὸς
τοῖς βασιλεῦσιν ἡμῶν δοὺς ἰσχὺν
ἀφανεῖς ἐποίησεν
αἱρετικῶν τὰ φρονήματα·
διὸ στερεωθήτω ἡ καρδία ἡμῶν
πάντες οἱ ὀρθόδοξοι [κραυγάζομεν].

Ὠδὴ δ΄

Ἡ ἄϋλος φύσις
ἡ δύναμις ἡ σοφία τοῦ Θεοῦ
ὁ συναΐδιος Λόγος καὶ Θεὸς
ὁ υἱὸς ὁ τοῦ πατρὸς ὁμοούσιος
ὁ δι' ἡμᾶς καθ' ἡμᾶς γεγονὼς
μείνας δὲ ἀτρέπτως ὅπερ ἦς Θεὸς
δοξάζομέν σου
τὴν θείαν συγκατάβασιν.

Ὠδὴ ε΄

Σὲ τὸν ἀειλαμπῆ

τῆς δικαιοσύνης ἥλιον,
Χριστὲ ὁ Θεὸς ἡμῶν,
ὡς ὄρθρον ἀληθινὸν·
ἐκ νυκτὸς ὀρθρίζοντες
ἀκαταπαύστως δοξάζομεν.

Ὠδὴ ς΄

Ὁ Ἰωνᾶν λυτρωσάμενος
ἐξ ἀβύσσου καὶ κοιλίας τοῦ θηρὸς
ἐν δυνάμει κραταιᾷ
τοῦ βυθοῦ τῶν πταισμάτων μου
ἀνάγαγέ με, σωτήρ, καὶ σῶσόν με.

Ὠδὴ ζ΄

Ὡς οἱ παῖδες τῆς Σιὼν ἐν τῇ καμίνῳ
πνευματικῆς εἶχοντο χορείας
θεολογώτατοι
ὅσοι τῆς ἐκκλησίας υἱοὶ
ἐξαρξώμεθα ὑψηφωνότερον
εὐλογητὸς εἶ, ὑψιστε
βασιλεῦ ὑπερένδοξε
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὠδὴ η΄

Τῷ πυρσῷ τῆς πρὸς Θεὸν ἀγάπης
καιόμενοι ἐν Βαβυλῶνι
οἱ μακάριοι νέοι,
πυρσευσάντων τῶν Χαλδαίων,
καμίνου πυρπολουμένης
τὴν φλόγα ἔσβεσαν·
διὰ τοῦτο ἐβόων
εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ΄

Ἄναρχον υἱὸν ἐξ ἀγεννήτου πατρὸς
ὑπερφυῆ λαμπάδα
ἐκ τρισηλίου φάους
ἄκτιστον Λόγον
καὶ τῶν ἁπάντων πλαστουργὸν
ὡς δεξαμένην ἐν γαστρὶ
Θεομήτορα παρθένον
παρθενικαὶ χορεῖαι σε μεγαλύνομεν.

40

[ΑΝΑΣΤΑΣΙΜΟΣ]

Ποίημα Γεωργίου Ἀνατολικοῦ

Β΄ φ. 27α

Ὠδὴ α΄. Ἦχος α΄. Ὁ Εἱρμός.

Ἐπίστρεψον ἡμῶν τὴν αἰχμαλωσίαν,
[Κύριε,
ἐκ τῶν ἐθνῶν, τῆς ἁμαρτίας τῶν παθῶν
ὡς ἐκ δουλείας Φαραὼ τὸν Ἰσραὴλ
ἵνα συμφώνως ἀναμέλποντες ᾠδὴν
ἄσωμέν σοι, Κύριε

Ὠδὴ γ΄

Στήριγμα πιστῶν
σὺ εἶ, Χριστέ, καὶ καύχημα
ἐν σοὶ με στερέωσον
ὁ στερεώσας οὐρανοὺς καὶ γῆν ἐξ
ἵνα καυχώμενος βοῶ·
οὐκ ἔστιν ἅγιος πλὴν σου, Κύρ

Ὠδὴ δ΄

Ἀββακοὺμ ὁ προφήτης
προκατιδών, Κύριε,
τὴν ἔνσαρκον οἰκονομίαν σου
συστελλόμενος ἐκραύγαζε
δόξα τῇ δυνάμει σου.

Ὠδὴ ε΄

Τῷ φωτισμῷ τῶν ἐντολῶν σου
καταύγασόν με, Χριστὲ ὁ Θεός,
ὅτι πρός σὲ τὸ πνεῦμά μου
ἐκ νυκτὸς ὀρθρίζει.

Ὠδὴ ς΄

Ἐκ βάθους τῆς καρδίας μου,
Κύριε, σοὶ κραυγάζω
ὡς τὸν προφήτην Ἰωνᾶν
ἀνάγαγέ με ἐκ βυθοῦ τῶν κακῶν
καὶ ἀμέτρων μου παθῶν
καὶ ῥῦσαί μου τὴν ζωὴν
ἐκ φθορᾶς ὁ Θεὸς
ὁ σωτήρ μου καὶ σῶσόν με.

Ὠδὴ ζ΄

Ἐν Βαβυλῶνι οἱ αἰχμάλωτοι πα
ἀπειλὴν τυράννου
καὶ πρόσταγμα ἐξεφαύλισαν
καὶ ἐν καμίνῳ βληθέντες
ἀβλαβεῖς διέμειναν
συμφώνως ἀνακράζοντες
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ μόνος ὑπερένδοξος.

Ὠδὴ η΄

Λόγια τυράννου εἰς μάτην ἐλογίσα
οἱ περὶ Ἀζαρίαν παῖδες ἄμωμοι
καὶ ἐν καμίνῳ βληθέντες Θεῷ
ὡμολόγουν ἐν παρρησίᾳ κράζοντες·
εὐλογεῖτε ὑμνεῖτε
καὶ ὑπερυψοῦτε τὸν δημιουργὸν
καὶ Κύριον εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ΄

Ἅγιον ὄρος Θεοῦ
βασιλέως τὸ σεμνὸν
γόνον ὑψίστου
δεδειγμένον φιλητὸν
ἐπὶ βωμὸν τέτοκας
ἐφ' οὗ τὸ σφαττόμενον
ζωτικὸν ζωοποιὸν ἡμῖν·
ὅθεν σε, Θεοτόκε, μεγαλύνομεν.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

41

[ΑΝΑΣΤΑΣΙΜΟΣ]

Ποίημα Γεωργίου Ἀνατολικοῦ

Β φ. 28β

Ὠδὴ α'. Ἦχος α'. Ὁ Εἱρμός.

* Τίς Θεὸς ὡς σὺ ἐν θεοῖς, Κύριε,
τῶν ἀρετῶν τὸ πέλαγος
ὁ γαλήνιος κόλπος
θαυμαστῶς
ἐνδόξως τερατουργῶν
σαρῶς δοξαζόμενος.

Ὠδὴ γ'

Ὁ στερεώσας τὴν ἐκκλησίαν σου
ἐπὶ τὴν πέτραν τῆς πίστεως
στερέωσον ἡμᾶς
ἐν τῷ φωτί σου, Κύριε.

Ὠδὴ δ'

Ὤμοσεν Ἀββακοὺμ ὁ προφήτης
κατιδών, Κύριε,
τὴν σὴν ἐνανθρώπησιν
προορῶν ἀνεκραύγαζεν·
ἐξ ἀνυμφεύτου κόρης
Θεὸς ἐπελεύσεται
εἰς ταλαίπωρον κόσμον
τὸν Ἀδὰμ ἀνακαλούμενος.

Ὠδὴ ε'

Ἀρρενοπῶς ἴδεν [1] Ἡσαΐας ὁ προφήτης
τὴν σὴν εἰρήνην, δέσποτα,
δώρησαι βοῶν
τοῖς ἐκ νυκτὸς ὀρθρίζουσι, σωτήρ,
καὶ ἀνυμνοῦσί σε, Χριστέ,
ὡς τῆς εἰρήνης χορηγὸς
τὴν ζωὴν ἡμῶν εἰρήνευσον
ὡς μόνος εὔσπλαγχνος.

Ὠδὴ ς'

Πρόσχες, Δέσποτα,
τῇ προσευχῇ μου, Κύριε,
δέομαί σου ἐκ βυθοῦ
πταισμάτων δεινῶν ἀνάγαγε
καὶ ἐκ φθορᾶς τὴν ζωήν μου ὡς εὔ-
[σπλαγχνος.

Ὠδὴ ζ'

Ῥίζα εὐσεβείας ἀληθῶς οἱ παῖδες ὄντες
καμίνου φλόγα κατεπάτησαν
καὶ εἰς δρόσον μετέβαλον τὸ πῦρ·
δροσιζόμενοι γὰρ ἐβόων
τῷ παραδόξως αὐτοὺς διασώσαντι

(1) Ἐν τῷ Κώδ. Ἀρρενοπῶς εἶδεν Ἡσαΐας ... σὺν αὐτῷ ὑμνούμενος Χριστέ.

ὁ ποιῶν θαυμάσια μόνος
εὐλογητὸς εἶ, Κύριε.

Ὠδὴ η'

Ἐν τῇ Σιὼν οἱ ἀχμάλωτοι παῖδες
θεόγραφον νόμον μεμαθηκότες
εἰκόνος λατρείαν
ἐν Βαβυλῶνι κατεφρόνησαν
καὶ εἰς πῦρ ἐμβληθέντες
οὐκ ἐχωνεύθησαν ἀλλ' ἔψαλλον
εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ'

Ἔθνη πολυώνυμα
ἤκετε σήμερον
καὶ κατίδετε μυστήριον·
Θεὸς γὰρ ἡ τῶν ὄντων αἰτία
καὶ ἄναρχος ἀρχὴ
καθ' ὑπόστασιν ἕνοῦται σαρκὸς
ἡ Παρθένος ἡ ὁλόχρυσος σταμνος
καὶ νέος παράδεισος
ὡς ἐπὶ πόκον δρόσον ἀναμάττεται·
ἀλλ' ἃ φυλαὶ γλῶσσαι
καὶ πᾶν εὔπορον στόμα
τὴν Θεοτόκον ἀξίως
δεῦτε μεγαλύνομεν.

42

ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΘΕΚΛΑΝ

Ποίημα Ἀνδρέου Κρήτης

Β φ. 29α

Ὠδὴ α'. Ἦχος α'. Ὁ Εἱρμός.

Αἱ μὲν πέντε ὠδαὶ κατ' ἀλφάβητον
αἱ δὲ λοιπαὶ τρεῖς ἀνιστρόφως.

* Ἄσωμεν τῷ παραδοξοποιῷ Θεῷ·
βίας γὰρ Αἰγυπτίων
γένος Ἰσραηλιτῶν ρυσάμενος
διὰ θαλάσσης ἀβρόχως διήγαγεν.

Ὠδὴ γ'

Ἅγιος εἶ, Κύριε,
βλύζων ἁγιότητα
γηΐνοις καὶ ἐπουρανίοις·
δώρημα γὰρ τέλειον ἄνωθεν καὶ πᾶσα δό-
[σις ἀγαθὴ
ἐκ σοῦ πηγάζει ζωὴ
ζωογόνας τῶν ἐντολῶν σου, φιλάνθρωπε.

Ὠδὴ δ'

Ὦ τῆς ἀφράστου σου σαρκώσεως!
ψυχαῖς κεκαθαρμέναις
προσγνωσθήσῃ, Χριστέ,
καθὼς Ἀββακοὺμ προῄστησι

φοβηθεὶς τῇ προοράσει ταύτης τῆς νῦν
ὑφ' ἡμῶν ὑμνουμένης
ὡς πραχθείσης
τῆς ἡμῶν σωτηρίας.

Ὠδὴ ε'

Ἀνέσπερον φῶς, Χριστὲ ὁ Θεός,
βίον καθαρὸν
γαλήνης πεπληρωμένον
δώρησαί μοι τῷ ἐσκοτισμένῳ
ἐκ νυκτός με λυτρωσάμενος
ζοφώδους ἁμαρτίας
ὑμνοῦντά σε, Κύριε.

Ὠδὴ ς'

Ὡς ὕδωρ ἁλμυρότατον
ψυχῆς τῆς ἐμῆς καχεκτουμένης
χεύμασι φθοροποιοῖς ἡ ἁμαρτία
ὑποβρύχιόν με πεποίηκε·
ταύτης με σοὶ βοῶντα ῥῦσαι
ὡς Ἰωνᾶν, Κύριε.

Ὠδὴ ζ'

Ἀφύκτῳ μὴ προσκυνήσαντες εἰκόνι
βαβυλώνιον πῦρ κατεπάτησαν
γενναίως τρεῖς νεανίαι·
διὸ ἐκραύγαζον,
Θεὲ προαιώνιε
τῶν πατέρων ἡμῶν
εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας.

Ὠδὴ η'

Ὡς οἱ παῖδες ψάλλομεν
ᾠδὴν χαρμονικῶς,
φωτοδότα Κύριε,
εὐλογοῦμέν σε
τὰ ἔργα πάντα εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Ἄφθορος ὁ τόκος σου, Παρθένε ἁγνή,
βουλήσει κατεσκήνωσεν ἐν σοὶ
τὸ πῦρ τῆς θεότητος·
γένος δὲ βροτῶν ἅπαν
διὰ τοῦτο δοξολογοῦντές σε μεγαλύνομεν.

43

[ΑΝΑΣΤΑΣΙΜΟΣ]

Ποίημα Ἀνδρέου Κρήτης

Β φ. 30α

Ὠδὴ α'. Ἦχος α'. Ὁ Εἱρμός.

* Τῆς πικρᾶς πλινθουργίας
καὶ τῶν Αἰγυπτίων δουλείας
ἀπαλλαγεὶς ὁ Ἰσραὴλ
καὶ ὡς χέρσον τὴν Ἐρυθρᾶν διαπερῶν
ἔψαλλε· τῷ μόνῳ λυτρωτῇ

ἄσωμεν ᾠδὴν τῷ Θεῷ·
βοηθὸς γὰρ καὶ σκεπαστὴς ἐγένετο
ἐν ἡμέρᾳ θλίψεως ὁ Κύριος.

Ὠδὴ γ'

Στερέωσον τὴν καρδίαν μου
τοῖς κύμασι σαλευομένην, Κύριε,
ὁδήγησον εἰς τὸν φόβον σου
πλανώμενον τὸν λογισμόν μου, δέσπ
ἵνα ὑμνῶ σε κραυγάζων
ἐν τούτῳ καυχάσθω ὁ καυχώμενος
ὅτι οὐκ ἔστιν ἅγιος πλὴν σου, Κ

Ὠδὴ δ'

Τὴν ἐκ Παρθένου σου, Χριστέ,
ἔλευσιν προθεωρῶν ὁ Ἀββακοὺμ
συστελλόμενος ἐκραζεν·
ἥξει ἐκ Θαιμὰν ὁ ἐκ Παρθένου Κύ
καὶ συνθλάσει κεφαλὰς τῶν δυνα
ἐν καιρῷ διὰ τῆς χάριτος.

Ὠδὴ ε'

Ἐν τῷ φωτὶ τῶν ἐντολῶν σου, Χρ
διασκέδασόν μου τὴν ἀχλὺν
φῶς οἰκῶν ἀπρόσιτον
καὶ δώρησαί μοι ἐν εἰρήνῃ ὄρθ
[ἔτοι
τοῦ προσκυνεῖν καὶ δοξάζειν
τὰ σὰ προστάγματα.

Ὠδὴ ς'

Ἐκ πολλῶν μου πταισμάτων κυκλούμ
ὡς Ἰωνᾶς ἐκ τοῦ κήτους, Χρι
[κραυγάζω
ἀνάγαγε ἐκ βυθοῦ τῶν κακῶν μου,
[λάνθρω
καὶ πρὸς τὴν ἄπειρον στησάμενο
εἰς λιμένα ζωῆς
ἐγκαθόρμισον καὶ σῶσόν με.

Ὠδὴ ζ'

Ὁ δι' ἀγγέλου εἰς δρόσον τῆς καμί
[τὴν φλ
μεταβαλὼν τοῖς παισὶ
καὶ τὴν τεκοῦσάν σε φυλάξας
μετὰ κύησιν πάλιν παρθένον ἁγ
εὐλογητὸς εἶ, Κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Ἄφλεκτοι παῖδες
οἱ ἐν καμίνῳ τοῦ πυρός·
ἄφθορος κόρη
οὐ κατεφλέχθη τὴν νηδὺν
ἀλλ' ἔτεκε Θεὸν καὶ ἄνθρωπον
ἣν ἡ κτίσις εὐλογεῖ κραυγάζουσα
ὡς Κύριον εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Χαῖρε πηγὴ ἀθανασίας

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

ἡ βρύσασα τοῖς πιστοῖς τὰ ἰάματα·
χαῖρε τροφὲ τῆς ζωῆς,
Θεοτόκε ἀπειρόγαμε,
χαῖρε κεχαριτωμένη ὁ Κύριος μετὰ σοῦ.
ὃν μεγαλύνομεν.

44

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Ἀνδρέου Κρήτης

Β φ. 31α

Ὠδὴ α'. Ἦχος α'. Ὁ Εἱρμός.

Ὁδὸν καὶ ὄρος
τὴν θάλασσαν δεικνὺς ὁ Θεός·
ὁδὸν μὲν τῷ λαῷ τοῦ Ἰσραήλ,
τάφον δὲ τῇ φαραωνίτιδι δυνάμει
διὸ ᾄδοντες
ἄσμα ἀναπέμψωμεν λαοί
ὅτι δεδόξασται.

Ὠδὴ γ'

Ἄννα ἡ πρὶν ἄγονος καὶ στείρα
ἐν καιρῷ τῶν θλίψεων
τὸν Σαμουὴλ ἐκύησεν·
ἡ ἐξ ἐθνῶν δὲ ἐκκλησία
ἐν καιρῷ τοῦ πάθους σου
τῇ οἰκουμένῃ ζωὴν ἐχαρίσατο
ἐστερεώθη κράζουσα
ἐν Κυρίῳ ἡ καρδία μου.

Ὠδὴ δ'

Προθεωρῶν ὁ προφήτης
τὴν ἔνσαρκον παρουσίαν σου, Χριστέ,
τοῖς νοεροῖς ὀφθαλμοῖς
φόβῳ ἐξέστην, φησίν,
ἥξει ὁ Θεὸς ἐκ Θαιμὰν
εἰς τὸ σῶσαι τὸν κόσμον
δι' εὐσπλαγχνίαν πολλήν.

Ὠδὴ ε'

Τῆς ψυχῆς μου τὴν νύκτα
διασκεδάσας, Κύριε,
ἀνάτειλόν μοι τὸ φῶς
τοῖς νοεροῖς τῆς καρδίας ὄμμασιν
εἰς τὸ ὑμνεῖν καὶ δοξάζειν σε.

Ὠδὴ ς'

Ὡς ἐν εἱρκτῇ τῆς λήθης τῶν παθῶν
ταῖς ἀνομίαις μου φρουροῦμαι, ἀγαθέ,
ἐλέησόν με τὸν πεπτωκότα τῇ φθορᾷ
καὶ λύτρωσαι καὶ σῶσον
ὡς Ἰωνᾶν ἐκ τοῦ κήτους, σωτήρ.

Ὠδὴ ζ'

Ἡ πυρένδυτος κάμινος
τοῖς περὶ Ἀζαρίαν παισὶ
ὡς θάλαμος ἐδείκνυτο φωτεινός·
ὅθεν ἐπ' αὐτῆς ἐπαναπαυόμενοι
μετ' εὐκρασύνης ἔψαλλον·
εὐλογητὸς εἶ βοῶντες
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Τὸν ἅπαντων δημιουργὸν
καὶ ἐν Τριάδι δοξαζόμενον Θεὸν
πάντα τὰ ἔργα ὑμνεῖτε
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Φρίττει νοῦς ἅπας βρότειος
καὶ ἔννοια τὴν ἀκατάληπτον
καὶ πολλὴν σου συγκατάβασιν
τὴν μέχρι σώματος
ὅτι Θεὸς ἄφραστος φύσει ὑπάρχων
τῶν βροτῶν δι' οἶκτον
σάρκα ἐκ Παρθένου προσείληφας
διό σε τὴν τεκοῦσαν Χριστὸν
σὺν ἀγγέλων ταξιαρχίαις
οἱ πιστοὶ μεγαλύνομεν.

45

ΣΙΝΑΪΤΙΚΗ

Β φ. 33α

Ὠδὴ α'. Ἦχος α'. Ὁ Εἱρμός.

Ἄσωμεν ἄσμα τῷ Θεῷ
τῷ ἐκ πικρᾶς δουλείας
ἀπαλλάξαντι τὸν Ἰσραὴλ
καὶ τοῦτον ἐν ἐρήμῳ
φωτὸς νεφέλῃ καθοδηγήσαντι.

Ὠδὴ γ'

Οὐκ ἔστιν ἅγιος
ὡς ὁ Θεὸς ἡμῶν·
δι' ἡμᾶς γὰρ ἐπτώχευσεν
σάρκα προσλαβόμενος
καὶ πᾶσιν ἐδωρήσατο τὴν ἀγαλλίασιν.

Ὠδὴ δ'

Ἄπιδον, Κύριε,
εἰς τὴν σὴν πανθαύμαστον οἰκονομία[ν ἐξέστη]
καὶ τὴν σὴν παρουσίαν ἐδόξασα.

Ὠδὴ ε'

Φωτὶ τοῦ προσώπου σου, Κύριε,
κατεύθυνον ἡμᾶς τοὺς ὑμνοῦντάς σε
πρὸς σὲ χάριν ὀρθρίζομεν
ψώτισον τὰς καρδίας ἡμῶν
καὶ εἰρήνευσον τὴν ζωὴν ἡμῶν ὡς φ[ιλάνθρωπος]

Ὠδὴ ς'

Ἐβόησε τὴν σὴν προφητεύων Ἰωνᾶς
τῷ κόσμῳ ἀνάστασιν, Χριστέ,
σὺν αὐτῷ σε ὡς Θεὸν
ἐν ὕμνοις δοξάζομεν.

Ὠδὴ ζ'

Ὁ τοὺς παῖδας ἐν καμίνῳ
δι' ἀγγέλου σου διαφυλάξας
προμηνύων δι' αὐτῶν
τὴν τεκοῦσάν σε ἄφθορον Παρθέναν
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Τὸν ἐκ λαγόνων μητρικῶν
μετὰ σαρκὸς προελθόντα
Χριστὸν τὸν Θεὸν
ἱερεῖς εὐλογεῖτε
παῖδες θεολογεῖτε
λαὸς ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Σὲ τὴν θεοφύτευτον ἄμπελον
καὶ καλλίκαρπον ἄρουραν
ἐξ ἧς ἐβλάστησεν ἡμῖν
ὁ βότρυς τῆς ἀθανασίας
καὶ στάχυς ἀνέτειλε
Χριστὸς ὁ ζωοδότης,
Θεομῆτορ εὐλογημένη,
ἐν ὕμνοις μεγαλύνομεν.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

ΕΙΡΜΟΙ Β' ΗΧΟΥ

46

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Ἰωάννου μοναχοῦ

Α φ. 32α. Β φ. 34α

Ὠδὴ α'. Ἦχος β'. Ὁ Εἱρμός.

Ἐν βυθῷ κατέτρωσε ποτὲ
τὴν φαραωνίτιδα
παναστρατιὰν ἡ ὑπέροπλος δύναμις
σαρκωθεὶς ὁ Λόγος δὲ
τὴν παμμόχθηρον ἁμαρτίαν ἐξήλειψεν
ὁ δεδοξασμένος Κύριος
ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ γ'

Ἐξήνθησεν ἡ ἔρημος
ὡσεὶ κρίνον, Κύριε,
ἡ τῶν ἐθνῶν στειρεύουσα
ἐκκλησία τῇ παρουσίᾳ σου
ἐν ᾗ ἐστερεώθη ἡ καρδία μου.

Ὠδὴ δ'

Ἐλήλυθας ἐκ Παρθένου
οὐ πρέσβυς οὐκ ἄγγελος
ἀλλ' αὐτὸς ὁ Κύριος
σεσαρκωμένος καὶ ἔσωσας
ὅλον με τὸν ἄνθρωπον·
διὸ κραυγάζω σοι·
δόξα τῇ δυνάμει σου, Κύριε.

Ὠδὴ ε'

Ὁ φωτισμὸς
τῶν ἐν σκότει κειμένων
ἡ σωτηρία
τῶν ἀπεγνωσμένων, Χριστὲ σωτήρ μου,
πρὸς σὲ ὀρθρίζω,
βασιλεῦ τῆς εἰρήνης.
φώτισόν με τῇ ἐπιλάμψει σου·
ἄλλον γὰρ ἐκτός σου
Θεὸν οὐκ ἐπίσταμαι.

Ὠδὴ ς'

Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος
τὴν ἀνεξιχνίαστον τῆς εὐσπλαγχνίας σου
ἐπικαλοῦμαι ἄβυσσον·
ἐκ φθορᾶς ὁ Θεός μου ἀνάγαγε.

Ὠδὴ ζ'

Ἀντίθεον πρόσταγμα παρανομοῦντος
τυράννου μετάρσιον
τὴν φλόγα ἀνέρριπισε,
Χριστὸς δὲ ἐφύλαξε
θεοσεβεῖς παῖδας
δρόσον τὴν τοῦ Πνεύματος
ὁ ὢν εὐλογημένος καὶ ὑπερένδοξος.

Ὠδὴ η'

Κάμινος ποτὲ
πυρὸς ἐν Βαβυλῶνι
τὰς ἐνεργείας διεμέριζε
τῷ θείῳ προστάγματι
τοὺς Χαλδαίους καταφλέγουσα
τοὺς δὲ πιστοὺς δροσίζουσα ψάλλοντας·
εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον.

Ὠδὴ θ'

Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον
τὸν ἀρρήτῳ σοφίᾳ
ἤκοντα καινουργῆσαι τὸν Ἀδὰμ
βρώσει φθορᾷ πεπτωκότα δεινῶς
ἐξ ἁγίας Παρθένου
ἀῤῥάστως σαρκωθέντα δι' ἡμᾶς
οἱ πιστοὶ ὁμοφρόνως
ἐν ὕμνοις μεγαλύνομεν.

Εἱρμὸς ἕτερος

Ἀνάρχου γεννήτορος
υἱὸς Θεὸς καὶ Κύριος
σαρκωθεὶς ἐκ Παρθένου
ἡμῖν ἐπέφανε
τὰ ἐσκοτισμένα φωτίσαι
συναγαγεῖν τὰ ἐσκορπισμένα·
διὸ τὴν πανύμνητον
Θεοτόκον μεγαλύνομεν.

47

[ΑΝΑΣΤΑΣΙΜΟΣ]

Ποίημα Ἰωάννου μοναχοῦ

Α φ. 33α. Β φ. 36β

Ὠδὴ α'. Ἦχος β'. Ὁ Εἱρμός.

Ἄτριπτον ἀσυνήθη
ἀβρόχως θαλαττίαν ἀνύσας τρίβον
ὁ ἐκλεκτὸς ἐβόα Ἰσραὴλ
τῷ Κυρίῳ ἄσωμεν ὅτι δεδόξασται.

Ὠδὴ γ'

Τόξον συνετρίβη δυνατῶν
τῷ κράτει σου, Χριστέ,
καὶ δύναμιν ἀσθενεῖς
σὲ περιεζώσαντο.

Ὠδὴ δ'

Ἀκήκοα, Κύριε,
τὴν εὐσπλαγχνόν σου οἰκονομίαν
καὶ ἐδόξασα, φιλάνθρωπε,
τὴν ἀκατάληπτόν σου δύναμιν.

Ὠδὴ ε'

Ὁ ἀνθραξτῷ Ἡσαΐᾳ προορθεὶς ἥλιος
παρθενικῆς ἀπὸ γαστρὸς ἀνέτειλε
τοῖς ἐν σκότει πεπλανημένοις
θεογνωσίας φωτισμὸν δωρούμενος.

Ὠδὴ ς'

Ἦχου ῥημάτων δεήσεως
ἐκ κατωδύνου, Δέσποτα, ψυχῆς
ἐπακούσας
τῶν δεινῶν με λύτρωσαι·
μόνος γὰρ εἶ τῆς ἡμῶν
σωτηρίας αἴτιος.

Ὠδὴ ζ'

Ῥήτορες ἀνεδείχθησαν παῖδες
φιλοσοφώτατοι ποτέ·
ἐκ θεολήπτου ψυχῆς γὰρ
θεολογοῦντες χείλεσιν ἔμελπον·
ὁ ὑπέρθεος
τῶν πατέρων καὶ ἡμῶν
Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'

Ἰνδάλματος χρυσοῦ
καταπτύσαντες τρισόλβιοι νεανίαι
τὴν ἀπατηλάλακτον
καὶ ζῶσαν Θεοῦ εἰκόνα τεθειμένοι
μέσον τῆς φλογὸς ἀνέμελπον·
ἡ οὐσιωθεῖσα
ὑμνεῖτε τὸν Κύριον πᾶσα κτίσις
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εἱρμὸς ἕτερος

Τὸν ἐν καμίνῳ τοῦ πυρὸς
τῶν Ἑβραίων τοῖς παισὶ συγκαταβάντα
καὶ τὴν φλόγα εἰς δρόσον
μεταβαλόντα Θεὸν
ὑμνεῖτε τὰ ἔργα ὡς Κύριον
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

Εἱρμὸς ἄλλος

Ἱερουργοὶ θύματα
ζήλῳ Θεοῦ πεπυρσευμένα
νικηταὶ τῆς ἑπταμέτρου φλογὸς
Τριάδος ἰσάριθμοι παῖδες Δαυὶδ
καὶ ξοάνου καθαιρέται χρυσοτεύκτου·
θεοπρεπῆ ἐν τῇ καμίνῳ ὕμνον ἐβόων·
εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Ὅλος ὑπάρχεις ἔρεσις
ὅλος γλυκασμός
Λόγε Θεοῦ Παρθένου υἱὲ
Θεὲ θεῶν Κύριε
ἁγίων ὑπεράγιε·
διό σε πάντες
σὺν τῇ τεκούσῃ μεγαλύνομεν.

48

[ΑΝΑΣΤΑΣΙΜΟΣ]

Ποίημα Ἰωάννου μοναχοῦ

Α φ. 34α. Β φ. 37β

Ὠδὴ α'. Ἦχος β'. Ὁ Εἱρμός.

Ἅπαντες λαοὶ
τῷ Κυρίῳ ἄσωμεν
ἐπινίκιον ᾠδὴν

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

τῷ ποιήσαντι θαυμαστὰ τέρατα
ἐν Ἐρυθρᾷ θαλάσσῃ.

Ὠδὴ γ'

Στερέωμα
καὶ καταφυγὴ ἡμῶν γενοῦ,
Χριστὲ ὁ Θεὸς
τῶν ἐξ ὅλης καρδίας
καὶ ἰσχύος λατρευόντων σοι
ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Ὠδὴ δ'

Προθεωρῶν ὁ προφήτης
τὴν ἐκ μήτρας παράδοξόν σου κύησιν
ἐβόα, φιλάνθρωπε·
κατενόησα τὰ ἔργα σου
καὶ ἐξέστην, Κύριε.

Ὠδὴ ε'

Ἐκ νυκτὸς ὀρθρίζοντες
ὑμνοῦμέν σε, Χριστὲ ὁ Θεὸς
ὅτι εὐδοκίᾳ τοῦ πατρὸς
ἑαυτὸν εἰς κένωσιν καθῆκες
διὰ τὴν ἡμῶν σωτηρίαν.

Εἱρμὸς ἄλλος

Ὀρθρίζομεν πρὸς σὲ
τὸ φῶς τὸ ἐκ φωτὸς
ἀκαταληψίας γνόφῳ καλυπτόμενον
καὶ καθαρῶς
τοῖς σὲ ποθοῦσιν ἐμφανιζόμενον.

Ὠδὴ ς'

Ἐβόησα ἐν θλίψει μου
πρὸς Κύριον τὸν Θεόν μου
καὶ ἀπέστειλε τὸν σωτῆρα τοῦ κόσμου
καὶ ἐρρύσατο ἐκ φθορᾶς τὴν ζωήν μου.

Ὠδὴ ζ'

Διὰ τὸ σὸν ὄνομα
παῖδες ἔρραξαν στόματα ἄνομα
ἔσβεσαν δύναμιν πυρὸς
τὸ ὁ Θεὸς εὐλογητὸς εἶ
καὶ ὑπερυψούμενος
εἰς τοὺς αἰῶνας ψάλλοντες·

Ὠδὴ η'

Τὸν ἀρρήτῳ σοφίᾳ
συστησάμενον τὰ πάντα Θεὸν Λόγον
καὶ ἐκ μὴ ὄντων εἰς τὸ εἶναι παραγαγόντα
εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ'

Ἐμεγαλύνθη τῶν πιστῶν
λαῶν ἡ ἐκκλησία
ὅτι ὁ κτίστης τῶν ἀσωμάτων
ἐν αὐτῇ κατοικῶν
καινοποιεῖ πρὸς ζωήν.

49

ΕΙΣ ΤΑ ΦΩΤΑ

Ποίημα Κοσμᾶ μοναχοῦ

Α φ. 35α. Β φ. 41α

Ὠδὴ α'. Ἦχος β'. Ὁ Εἱρμός.

Βυθοῦ ἀνεκάλυψε πυθμένα
καὶ διὰ ξηρᾶς οἰκείους ἔλκει
ἐν αὐτῷ κατακαλύψας ἀντιπάλους
ὁ κραταιὸς ἐν πολέμοις Κύριος
ὅτι δεδόξασται.

Ὠδὴ β'

Πάλιν Ἰησοῦς πάλιν μυστήριον
οὐρανοὶ εὐφραίνεσθε
ἀγαλλιάσθω ἡ γῆ·
πρόξενον γὰρ τοῦτο
τῆς ἄνω λαμπρότητος.

Εἱρμὸς ἕτερος

Οὐρανὸς καὶ γῆ προσεχέτωσαν
καὶ Χριστὸν ἀνυμνείτωσαν
τὸν ἐν Ἰορδάνῃ βροτῶν ἀναπλάσαντα
σήμερον γένος φθαρὲν ἐκ παραβάσεως.

Ὠδὴ γ'

Ἰσχὺν ὁ δίδους
τοῖς βασιλεῦσιν ἡμῶν Κύριος
καὶ κέρας χριστῶν αὐτοῦ ὑψῶν
Παρθένου ἀποτίκτεται
μολεῖ δὲ πρὸς τὸ βάπτισμα·
διὸ πιστοὶ βοήσωμεν
οὐκ ἔστιν ἅγιος ὡς ὁ Θεὸς ἡμῶν
καὶ οὐκ ἔστι δίκαιος πλὴν σοῦ, Κύριε.

Ὠδὴ δ'

Ἀκήκοε, Κύριε,
φωνῆς σου ὧν εἶπας
φωνὴ βοῶντος ἐν ἐρήμῳ
ὅτι ἐβρόντησας πολλῶν ἐπὶ ὑδάτων
τῷ σῷ μαρτυρούμενος υἱῷ
ὃς γεγονὼς τοῦ παρόντος
Πνεύματος δὲ ἐβόησε·
σὺ εἶ Χριστὸς Θεοῦ σοφία καὶ δύναμις.

Ὠδὴ ε'

Ἰησοῦς ὁ ζωῆς ἀρχηγὸς
λῦσαι τὸ κατάκριμα ἦκει
Ἀδὰμ τοῦ πρωτοπλάστου
καθαρσίων δὲ ὡς Θεὸς μὴ δεόμενος
τῷ πεσόντι καθαίρεται
ἐν ᾧ τὴν ἐχθραν κτείνας
ὑπερέχουσάν πάντα νοῦν
εἰρήνην χορίζεται.

Ὠδὴ ς'

Ἡ φωνὴ τοῦ Λόγου

ὁ λύχνος τοῦ φωτὸς ὁ ἑωσφόρος
ὁ τοῦ ἡλίου πρόδρομος
ἐν τῇ ἐρήμῳ
μετανοεῖτε πᾶσι βοᾷ τοῖς λαοῖς
καὶ προκαθαίρεσθε·
ἰδοὺ γὰρ πάρεστι Χριστὸς
ἐκ φθορᾶς τὸν κόσμον λυτρούμενος.

Ὠδὴ ζ'

Νέους εὐσεβεῖς
καμίνῳ πυρὸς προσομιλήσαντας
διασυρίζον πνεῦμα δρόσου
ἀβλαβεῖς διεφύλαξε
καὶ θείου ἀγγέλου συγκαταβάσεις
ὥθεν ἐν φλογὶ δροσιζόμενοι
εὐχαρίστως ἀνέμελπον·
ὑπερύμνητε
ὁ τῶν πατέρων Κύριος
καὶ Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'

Μυστήριον παράδοξον
ἡ Βαβυλῶνος ἔδειξε κάμινος
πηγάσασα δρόσον
ὅτι ῥείθροις ἔμελλεν ἄϋλον πῦρ
εἰσδέχεσθαι ὁ Ἰορδάνης
καὶ στέγειν σαρκὶ
βαπτιζόμενον τὸν κτίστην
ὃν εὐλογοῦσι λαοὶ
καὶ ὑπερυψοῦσιν
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'

Ἀπορεῖ πᾶσα γλῶσσα
εὑρεῖν πρὸς ἀξίαν
ἐλεγχίᾳ δὲ νοῦς καὶ ὑπερκόσμιος
ὑμνεῖν σε, Θεοτόκε,
ὅμως ἀγαθὴ ὑπάρχουσα
τὴν πίστιν δέχου·
καὶ γὰρ τὸν πόθον οἶδας
τὸν ἔνθεον ἡμῶν·
σὺ γὰρ χριστιανῶν εἶ προστάτις
σὲ μεγαλύνομεν.

50

ΕΙΣ ΤΑ ΦΩΤΑ

Ποίημα Ἰωάννου τοῦ Ἀρκλᾶ

Α φ. 36β. Λ φ. 39β

Ὠδὴ α'. Ἦχος β'. Ὁ Εἱρμός.

Στείβει θαλάσσης κυματούμενον σάλον
ἤπειρον αὖθις Ἰσραὴλ δεδειγμένον·
μέλας δὲ πόντος τριστάτας Αἰγυπτίους
ἔκρυψεν ἅρδην ὑδατόστρωτους τάφους

ρώμῃ κραταιᾷ δεξιᾶς τοῦ Δεσπότ
Ὠδὴ γ'
Ὅσοι παλαιῶν ἐκλελύμεθα βρόχων
βορῶν λεόντων συντεθλασμένων μύ
ἀγαλλιῶμεν καὶ πλατύνωμεν στόμ
λόγῳ πλέκοντες ἐκ λόγων μελῳδίας
ὧ τῶν πρὸς ἡμᾶς ἥδεται δωρημάτ
Ὠδὴ δ'
Πυρσῷ καθαρθεὶς μυστικῆς θεωρί
ὑμνῶν προφήτης τὴν βροτῶν καινουργί
ῥήγνυσι γῆρυν Πνεύματι κροτουμέν
σάρκωσιν ἐμφαίνουσαν ἀῤῥήτου Λόγ
ὧ τῶν δυναστῶν τὰ κράτη συντρίβ
Ὠδὴ ε'
Ἐχθροῦ ζοφώδους καὶ βεβορβορωμέν
τὸν καθαίρει Πνεύματος λελουμέν
νέαν προσορμίσθημεν ἁπλανῆ τρίβον
ἄγουσαν ἀπρόσιτον εἰς ὑψηδίαν
μόνοις προσιτὴν οἷς Θεὸς κατηλλάγη.
Ὠδὴ ς'
Ἱμερτὸν ἐξέφηνε σὺν πανολβίῳ
ἦχῳ πατὴρ ὃν γαστρὸς ἐξηρεύξατο·
ναί, φησιν, οὗτος συμφυὴς γόνος πέλω
φρύαγγος ἐξώρουσεν ἀνθρώπων γένο
λόγος τέ μου ζῶν καὶ βροτὸς πρυμηθείᾳ
Ὠδὴ ζ'
Ἔφλεξε ῥείθρῳ τῶν δρακόντων τὰς κάρα
ὁ τῆς καμίνου τὴν μετάρσιον φλόγ
νέους φέρουσαν εὐσεβεῖς κατευνάσας·
τὴν δυσκάθεκτον ἀχλὺν ἐξ ἁμαρτίᾳ
ὅλην πλύνει δὲ τῇ δρόσῳ τοῦ Πνεύματος
Ὠδὴ η'
Ἐλευθέρα μὲν ἡ κτίσις γνωρίζεται
υἱοὶ δὲ φωτὸς οἱ πρὶν ἐσκοτισμένοι
μόνος στενάζει τοῦ σκότους ὁ προστάτης
νῦν εὐλογείτω συντόνως τὸν αἴτιον
ἡ πρὶν τάλαινα τῶν ἐθνῶν παγκληρία
Ὠδὴ θ'
Ὦ τῶν ὑπὲρ νοῦν τοῦ τόκου σου θαυμάτων!
νύμφη πάναγνε μῆτερ εὐλογημένη
δι' ἧς τυχόντες παντελοῦς σωτηρίας
ἐπάξιον κροτοῦμεν ὡς εὐεργέτῃ
δῶρον φέροντες ὕμνον εὐχαριστίας.

51

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Κοσμᾶ μοναχοῦ

Α φ. 37β. Β φ. 42β

Ὠδὴ α'. Ἦχος β'. Ὁ Εἱρμός.

Λεῦτε λαοὶ
ᾄσωμεν ᾆσμα Χριστῷ τῷ Θεῷ

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

τῷ διελόντι θάλασσαν
καὶ ὁδηγήσαντι
τὸν λαὸν ὃν ἀνῆκε
δουλείας Αἰγυπτίων
ὅτι δεδόξασται.
Ὠδὴ γ'
Ἐν πέτρᾳ με τῆς πίστεως στερεώσας
ἐπλάτυνας τὸ στόμα μου ἐπ' ἐχθρούς μου·
ἐνευρύνθη γὰρ τὸ πνεῦμά μου ἐν τῷ [ψάλλειν
οὐκ ἔστιν ἅγιος ὡς ὁ Θεὸς ἡμῶν
καὶ οὐκ ἔστι δίκαιος πλὴν σου, Κύριε.
Ὠδὴ δ'
Ὑμνῶ σε·
ἀκοὴν γάρ, Κύριε,
εἰσακήκοα καὶ ἐξέστην·
ἕως ἐμοῦ ἦκες γὰρ
ἐμὲ ζητῶν τὸν πλανηθέντα·
διὸ τὴν πολλήν σου συγκατάβασιν
τὴν εἰς ἐμὲ δοξάζω, πολυέλεε.
Ὠδὴ ε'
Κύριε ὁ Θεός μου,
ἐν ὀλίγῳ ἐμνήσθην σου
κτῆσαί με εἰς περιποίησιν
ἐν τῷ ἐκβλίβειν τὸν ἐχθρὸν
σκυθρωπάζων πορεύομαι
ἐξαπόστειλον τὸ φῶς σου
καὶ ῥῦσαί με τῇ εὐσπλαγχνίᾳ σου
καὶ κατάπεμψόν μοι τὰ ἐλέη σου.
Εἱρμὸς ἄλλος
Κτῆσαι ἡμᾶς, Κύριε,
τοὺς αἰχμαλωτισθέντας ὑπὸ τῆς ἁμαρτίας
καὶ φώτισον, σῶτερ,
εἰς τὸ ὑμνεῖν σε καὶ δοξάζειν
τὸν μόνον λυτρωτὴν
καὶ φωταγωγὸν τῶν ψυχῶν ἡμῶν.
Εἱρμὸς ἄλλος
Ὁ τοῦ φωτὸς χορηγὸς
καὶ τῶν αἰώνων ποιητὴς Κύριος
ἐν τῷ φωτὶ σῶν προσταγμάτων
ὁδήγησον ἡμᾶς
ἐκτός σου γὰρ ἄλλον
Θεὸν οὐ γινώσκομεν.
Ὠδὴ ς'
Ἄβυσσός με πολλὴ ἁμαρτημάτων κυκλοῖ
καὶ βοῶ σοι τὸν προφήτην ἐκμιμούμενος
ἐκ φθορᾶς, Κύριε, ἀνάγαγέ με.
Ὠδὴ ζ'
Ἵνα τὸν παράδοξόν σου τόκον, Χριστέ,
τὸν ἐκ Παρθένου προτυπώσῃς ἐμφανῶς
ἀκαταρλέκτους ἐν καμίνῳ
παῖδας διεφύλαξας
ἐν ὕμνοις μελῳδοῦντάς σοι
ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ.
Ὠδὴ η'
Λαμπαδηφόροι τῇ ψυχῇ
λαμπρῶς ὑπὲρ χιόνα
ὑπερλάμποντες οἱ ὅσιοι παῖδες
μέσον τῆς τροπῆς οὐκ ἐφλέχθησαν·
πάντα γὰρ ὁμοῦ
ὅσα ὑπὸ ποίησιν
ἑαυτοῖς συγκαλούμενοι
πρὸς θεῖον ὕμνον
ἐν ἀγαλλιάσει ἀνέμελπον
ὑμνεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.
Ὠδὴ θ'
Τί τὸ περί σε μέγα
καὶ θαυμάσιον μυστήριον·
ἡ τοῦ Ἀδὰμ θυγάτηρ
καὶ τοῦ ὑψίστου μήτηρ
ἡ μόνη πρὸς Θεόν
ἁπλανὴς τῶν πιστῶν γέφυρα
σὲ ἀσιγήτοις ὕμνοις
οἱ πιστοί, Θεοτόκε, μεγαλύνομεν.

52

ΕΙΣ ΤΟΝ ΠΡΟΦΗΤΗΝ ΗΛΙΑΝ

Ποίημα Ἰωάννου μοναχοῦ

Α φ. 39α. Β φ. 35α

Ὠδὴ α'. Ἦχος β'. Ὁ Εἱρμός
Ἄσωμεν τῷ Κυρίῳ
τῷ ἐν θαλάσσῃ πάλαι
λαὸν καθοδηγήσαντι
καὶ ἐν αὐτῇ τὸν Φαραὼ
παντοκρατὶ βοήσαντι
ᾠδὴν ἐπινίκιον
ὅτι δεδόξασται.
Ὠδὴ γ'
Στερέωσόν με, Κύριε ὁ Θεός μου,
ἵνα μὴ καυχήσηται
ἐπ' ἐμὲ ὁ ἐχθρός μου·
ὅτι γὰρ εἶ, Κύριε,
στερέωμα
καὶ καταφυγὴ καὶ δύναμις
Ὠδὴ δ'
. . . . . .
Ὠδὴ ε'
Ὁ τῷ αἵματί σου, Χριστέ,
εἰρηνοποιήσας τὰ πρὶν διεστῶτα
τὴν σὴν εἰρήνην δὸς ἡμῖν.
Ὠδὴ ς'
Βαῶντί με, Κύριε,

πρὸς σὴν πολλὴν εὐσπλαγχνίαν
ἐπάκουσον παρορῶν μου
τὰ πλήθη τῶν πταισμάτων ὡς φιλάν- [θρωπος
καὶ ἐκ φθορᾶς ἀνάγαγε
τὴν ζωήν μου, πολυέλεε.
Ὠδὴ ζ'
Βάτος ἐν ὄρει πυρίφλεκτος
καὶ δροσοβόλος
κάμινος χαλδαϊκὴ
σαφῶς προγράφει σε, Θεόνυμφε,
τὸ γὰρ θεῖον ἄϋλον
ἐν ὑλικῇ γαστρὶ
πῦρ ἀφλέκτως ἐδέξω·
διὸ τῷ ἐκ σοῦ τεχθέντι ψάλλομεν·
εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.
Ὠδὴ η'
Τὸν ἐν σοφίᾳ κατ' ἀρχὰς
τὰ πάντα συστησάμενον
καὶ ἐπ' ἐσχάτων ἡμερῶν
καινὴν κτίσιν ἀναπλάσαντα
καὶ ἐν μήτρᾳ οἰκῆσαι
ἀπειρογάμου θελήσαντα
εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.
Ὠδὴ θ'
Ἐκ μήτρας παρθενικῆς
ὡς ἐξ οὐρανίου πύλης
ἀνέτειλεν ἥλιος τῆς δικαιοσύνης
Χριστὸς ὁ Θεὸς ἡμῶν
καὶ κεκλεισμένη
πάλαι ἡ πύλη διέμεινεν
ἣν ἀκαταπαύστως πιστοὶ μεγαλύνομεν.

53

ΤΗ ΜΕΓΑΛΗ ΔΕΥΤΕΡΑ

Ποίημα Κοσμᾶ μοναχοῦ

Α φ. 40α

Ὠδὴ α'. Ἦχος β'. Ὁ Εἱρμός.
Τῷ τὴν ἄβατον
κυμαινομένην θάλασσαν
θείῳ αὐτοῦ προστάγματι
ἀναξηραίναντι
καὶ πεζεῦσαι δι' αὐτῆς
τὸν Ἰσραηλίτην
λαὸν καθοδηγήσαντι
Κυρίῳ ἄσωμεν·
ἐνδόξως γὰρ δεδόξασται.
Ὠδὴ γ'
Στερέωσον ἡμᾶς ἐν σοί, Κύριε,
ὁ ξύλῳ νεκρώσας τὴν ἁμαρ
καὶ τὸν φόβον σου ἐμφύτευσον
ταῖς καρδίαις ἡμῶν ὡς φιλάν
Ὠδὴ δ'
Ἐξ ὄρους ἄνευ χειρὸς
λίθος ἐτμήθης, Χριστέ,
ἐκ τῆς παρθένου μητρός·
ὅθεν ὁ προφήτης προϊδών
εἰς σωτηρίαν λαοῦ σου ἐλήλυθ
δόξα τῇ δυνάμει σου, Κύριε
Ὠδὴ ε'
Μεσίτης Θεοῦ
καὶ ἀνθρώπων γέγονας,
Χριστὲ ὁ Θεός,
διὰ σοῦ γάρ, Λέσποτα,
τὴν πρὸς τὸν ἀρχίφωτον πατέρ
ἐκ νυκτὸς ἀγνωσίας
προσαγωγὴν ἐσχήκαμεν.
Ὠδὴ ς'
Πρὸς Κύριον ἐκ κήτους
Ὁ Ἰωνᾶς ἐβόησε·
σύ με ἀνάγαγε
ἐκ πυθμένος ᾅδου, Δέσποτα,
ἵνα ὡς λυτρωτῇ
ἐν φωνῇ αἰνέσεως
ἀληθείας τε πνεύματι θύσω σ
Ὠδὴ ζ'
Εἰκόνος χρυσῆς
ἐν πεδίῳ Δειρᾷ λατρευομένης
οἱ τρεῖς σου παῖδες κατερρόνησα
ἀθεωτάτου προστάγματος·
μέσον δὲ πυρὸς ἐμβληθέντες
δροσιζόμενοι ἔψαλλον·
εὐλογητὸς εἶ ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν.
Ὠδὴ η'
Τῷ δόγματι τῷ τυραννικῷ
οἱ ὅσιοι τρεῖς παῖδες· μὴ πεισθ
ἐν τῇ καμίνῳ βληθέντες
Θεὸν ὁμολόγουν ψάλλοντες·
εὐλογεῖτε τὰ ἔργα
Κυρίου τὸν Κύριον.
Εἱρμὸς ἄλλος
Ἔρριξε παίδων εὐαγῶν
τὸ ὁμόστολον ψυχῆς ἄσπιλον σῶ
καὶ εἶξε τὸ τραφὲν
ἐν ἀπείρῳ ὕλῃ ἀκάματον πῦρ
ἀειζώου δὲ ἐκμαρανθείσης φλογὸς
διαιωνίζων ὕμνος ἀνεμέλπετο·
τὸν Κύριον πάντα τὰ ἔργα ὑμνεῖτ
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

Εἱρμὸς ἄλλος

Ῥῆμα τυράννου ἐπεὶ ὑπερίσχυσε
ἑπταπλασίως κάμινος
ἐξεκαύθη ποτὲ
ἐν ᾗ παῖδες οὐκ ἐφλέχθησαν
βασιλέως πατήσαντες δόγμα
ἀλλ' ἐβόων·
πάντα τὰ ἔργα Κυρίου
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'

Ἐμεγάλυνας, Χριστέ,
τὴν τεκοῦσάν σε Θεοτόκον
ἀφ' ἧς ὁ πλάστης ἡμῶν
ὁμοιοπαθὲς περιέθου σῶμα
τὸ τῶν ἡμετέρων
λυτήριον ἀμπλακημάτων·
ταύτην μακαρίζοντες
πᾶσαι γενεαί σε μεγαλύνομεν.

Εἱρμὸς ἄλλος

Ψυχαῖς καθαραῖς
καὶ ἀρρυπώτοις χείλεσι
δεῦτε μεγαλύνωμεν
τὴν ἀκηλίδωτον
καὶ ὑπέραγνον μητέρα τοῦ Ἐμμανουὴλ
δι' αὐτῆς τῷ ἐξ αὐτῆς
προσφέροντες πρεσβείαν τεχθέντι
φεῖσαι τῶν ψυχῶν ἡμῶν,
Χριστὲ ὁ Θεός,
καὶ σῶσον ἡμᾶς.

Εἱρμὸς ἄλλος

Ἡ τὸν ἀχώρητον Θεὸν
ἐν γαστρὶ χωρήσασα
καὶ χαρὰν τῷ κόσμῳ κυήσασα
σὲ ὑμνοῦμεν,
παναγία Παρθένε.

Εἱρμὸς ἄλλος

Ἡ τὸν πρὸ ἡλίου φωστῆρα
τὸν Θεὸν ἐξανατείλαντα
σωματικῶς ἡμῖν ἐπιδημήσαντα
ἐκ λαγόνων παρθενικῶν
ἀφράστως σωματώσασα,
εὐλογημένη πάναγνε,
σέ, Θεοτόκε, μεγαλύνομεν.

54

ΕΙΣ ΤΟΥΣ ΑΓΙΟΥΣ ΑΠΟΣΤΟΛΟΥΣ
Ποίημα Κυπριανοῦ μοναχοῦ

Λ φ. 41β

Ὠδὴ α'. Ἦχος β'. Ὁ Εἱρμός.

Συνεπάγη πρὸς ἑαυτὴν συσταλεῖσα
ὑδάτων φύσις διάρρους·
ἐρυθραῖον δὲ κῦτος
ὁ Ἰσραὴλ ἀβρόχοις ἴχνεσι διεβιβάζετο
ἔπαινον τῷ σωτῆρι
θεηγόροις προσάγων ἐν ἄσμασιν.

Ὠδὴ β'

Οὐρανέ μοι πρόσεχε
γῆ ἐνωτίζου τὰ ῥήματά μου
ὅτι ἐκ βάθους τῆς καρδίας μου
ἐξηρευξάμην Θεοῦ μεγαλουργίαν
σήμερον τῇ μνήμῃ
τῶν πανσόφων ἀποστόλων σου.

Ὠδὴ γ'

Φρουρὸς ἀσφαλὴς
καὶ ἄσειστον ἔρεισμα
ὑπάρχων, Χριστέ,
τῶν ἐλπιζόντων εἰς σέ,
ἀκλονήτους στήριξον ἡμᾶς
καὶ βεβαίωσον ἐν τῇ στερρᾷ σου
κρηπίδι τῆς ἐλπίδος καὶ πίστεως.

Ὠδὴ δ'

Προβλεπτικῶς ὁ προφήτης
μυσταγωγηθεὶς σου, Χριστέ,
τὴν ἔλευσιν ἐξίστατο
ἣν καὶ προαγορεύων ἐβόα·
τῆς αἰνέσεώς σου πεπλήρωται ἡ γῆ·
θεοπρεπῶς γὰρ τὴν ἡμετέραν
πτωχείαν οὐ παρεῖδες
ἀλλ' ἦλθες καὶ ἔσωσας.

Ὠδὴ ε'

Ζωὴ πεφυκὼς
καὶ φῶς ἀπρόσιτον ὑπάρχων,
Χριστὲ ὁ Θεός,
τῆς ζοφερᾶς ἀγνοίας
διασκεδάσας τὴν ἀχλὺν
φωταγώγησον ἡμῶν τὰς διανοίας
τὰς νοερὰς αἰσθήσεις
τῷ ἀδύτῳ σου φέγγει τῆς γνώσεως.

Ὠδὴ ϛ'

Τὴν ἐκ βάθους καρδίας μὴ παρίδῃς
δέησιν τῶν οἰκετῶν σου, Κύριε,
ἀλλ' ὡς τὸν προφήτην Ἰωνᾶν
τῆς κητώας γαστρὸς ὑποξήγαγες
καὶ ἡμᾶς τοῦ νοητοῦ θηρὸς
καὶ ψυχοφθόρου διάσωσον.

Ὠδὴ ζ'

Ὑπερκειμένῳ θαύματι
ἐν Βαβυλῶνι παῖδες
τῆς πατρώας ἐμφανῶς
εὕραντο δόξης συνηγορίαν
ἐν καμίνῳ πυρπολούμενοι
καὶ δροσοβόλοις αὔραις
ἐνηδόμενοι συμφώνως ἀνέμελπον·

ὑπερυψούμενε Κύριε
ὁ Θεὸς τῶν πατέρων ἡμῶν εὐλογητὸς εἶ.

Ὠδὴ η'

Γενῶν μουσικῶν τὴν ἀντίθεον
ἐν Βαβυλῶνι ἁρμονίαν πάλαι
τῶν εὐσεβῶν νέων ἐν φλογὶ ἀντηχοῦσα
ἔλυσεν ἡ συμφωνία·
ἐν καμίνῳ γὰρ ἀνέμελπον
δροσιζόμενοι παγκόσμιον ὕμνον
τὸν δημιουργὸν εὐλογεῖτε
ἡ κτίσις πᾶσα εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Ἐποίησε μετὰ σοῦ
μεγαλεῖα, ἄχραντε,
ὁ τῶν ἁπάντων ποιητής·
τεχθεὶς γὰρ ἐκ σοῦ πάλιν
σῶαν ἀνέδειξε
τὴν σὴν γαστέρα
διὸ ἀπαύστως σε, Θεοτόκε,
βροτῶν τὸ γένος μεγαλύνομεν.

Εἱρμὸς ἄλλος

Ἐν τῇ θάμνῳ τῆς βάτου
προετύπου σου, πάναγνε,
τὴν θείαν καὶ φωτοφόρον λοχείαν
ἐν πνεύματι Μωσῆς ὁ νομοθέτης
ἣν πίστει προσκυνοῦντες
αὐτήν σε μεγαλύνομεν.

Εἱρμὸς ἄλλος

Ῥημάτων μείζονα μεγαλεῖα
γέγονεν ἐν σοί, Παρθενομῆτορ ἁγνή,
Θεὸς γὰρ ἐπέφανεν ἡμῖν
κυρίως σωτὴρ καὶ λυτρωτὴς
ἐξ ἀχράντων σου αἱμάτων
σωματούμενος ἀναλλοιώτως·
διό σε πᾶσαι γενεαὶ
καταχρέως μακαρίζομεν.

55

ΠΡΟ ΤΗΣ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΕΩΣ
Ποίημα Ἰωάννου μοναχοῦ

Λ φ. 43α

Ὠδὴ α'. Ἦχος β'. Ὁ Εἱρμός.

Ἄσωμεν τῷ Κυρίῳ ἆσμα καινὸν
ὅτι παραδόξως τὸν Ἰσραὴλ διέσωσε
δουλείας λυτρωσάμενος
καὶ τυραννοῦντας ἐχθροὺς
ἐκάλυψε θάλασσα.

Ὠδὴ β'

Ἴδετε ἴδετε ὅτι ἐγώ εἰμι
ὁ ἐν θαλάσσῃ σώσας
καὶ ἐν ἐρήμῳ κορέσας
Ἰσραηλίτην λαὸν
καὶ τὸ ὕδωρ ἐκ πέτρας
πηγάσας τοῖς βροτοῖς
ἵνα τὸν πάλαι τῇ φθορᾷ
πεπτωκότα φορέσας
ἑλκύσω πρὸς ἐμαυτὸν
δι' ἄφατον ἔλεος.

Ὠδὴ γ'

Ἐτερεώθη ἡ καρδία μου ἐν Κυρίῳ
ὑψώθη κέρας μου ἐν Θεῷ μου
ὅτι ἐτέχθη ἐπὶ γῆς
καὶ ἔσωσεν ἐμὲ τὸν πεπλανημένο

Ὠδὴ δ'

Εἰσακήκοα τὴν ἀκοὴν
τῆς δυναστείας σου, Χριστέ,
ὅτι ἀσπόρως ἐν γαστρὶ
Παρθένου συνελήφθης
καὶ ἐβόησα·
δόξα τῇ δυνάμει σου, Κύριε.

Ὠδὴ ε'

Τῆς νυκτὸς διελθούσης
ἤγγικεν ἡ ἡμέρα
καὶ τὸ φῶς τῷ κόσμῳ ἐπέλαμψε·
διὰ τοῦτο ὑμνεῖ σε
τάγματα ἀγγέλων
καὶ δοξολογεῖ σε τὰ πέρατα.

Εἱρμὸς ἄλλος

Ὁ σκιογράφον ἀχλὺν
αἰνιγμάτων σκεδάσας
καὶ τῶν πιστῶν, ἐκβάσης τῆς ἀληθεί
διὰ τῆς θεόπαιδος,
καταυγάσας τὰς καρδίας
καὶ ἡμᾶς τῷ φωτί σου,
Χριστέ, καθοδήγησον.

Ὠδὴ ϛ'

Ἐκ τοῦ βυθοῦ με ἀνάγαγε
ὁ Ἰωνᾶς σοι ἐβόησε
τύπος τῆς ταφῆς
καὶ τῆς ἀναστάσεως ὑπάρχων
ἣν ἡμῖν ἐδωρήσω,
παντοδύναμε σωτήρ.

Ὠδὴ ζ'

Τρεῖς παῖδες ἐν καμίνῳ
Τριάδα τυπώσαντες
βασιλέα Κύριον ἐκήρυξαν
καὶ τὴν πλάνην τῶν εἰδώλων
κατήργησαν βοῶντες·
εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Ἐν τῇ καμίνῳ τῇ τῶν παίδων
προαπεικόνισας ποτὲ
τὴν σὴν μητέρα, Κύριε,

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

ὁ δὲ τύπος τούτους
πυρὸς ἐξείλατο
ἀρλέκτως ἐμβατεύοντας
ἣν ὑμνοῦμεν
ἐμφανισθεῖσαν διὰ σοῦ
τοῖς πέρασι σήμερον
καὶ ὑπερυψοῦμεν
αὐτὴν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Τὴν ὑπερφυῶς σαρκὶ
συλλαβοῦσαν ἐν γαστρὶ
τὸν ἐκ πατρὸς ἀχρόνως
προεκλάμψαντα Λόγον
ἐν ὕμνοις ἀσιγήτοις
μεγαλύνωμεν πιστοί.

56

[ΑΝΑΣΤΑΣΙΜΟΣ]

Ποίημα Ἀνδρέου Τυφλοῦ

Α φ. 44α. Β φ. 60β

Ὠδὴ α'. Ἦχος β'. Ὁ Εἱρμός.

Ἐπάγη ὡσεὶ τεῖχος τὰ ὕδατα
ἐπάγη καὶ τὰ κύματα
ἐν μέσῳ τῆς θαλάσσης
καὶ ἀβρόχως Ἰσραὴλ διοδεύων
τὴν ὠδὴν ἔψαλλε κραυγάζων·
ἄσωμεν τῷ Κυρίῳ
ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ β'

Ἴδετε ἴδετε
ὅτι ἐγώ εἰμι, λέγει Κύριος,
ὁ τὸν Ἀδὰμ ἐνδυσάμενος ἐκ Παρθένου
καὶ ἐκ φθορᾶς λυτρωσάμενος
ὡς Δεσπότης τοῦτον τῇ ἐξουσίᾳ μου.

Ὠδὴ γ'

Ὑψώθη ἐν σοὶ
κέρας μου ὁ Θεὸς ὁ σωτήρ μου
ἐπλατύνθη ἐπ' ἐχθρούς μου τὸ πνεῦμά μου
εὐκράνθη ἐν σωτηρίῳ σου
ὅτι οὐκ ἔστιν ἅγιος πλὴν σοῦ, Κύριε.

Ὠδὴ δ'

Νοεροῖς ὄμμασι
προορῶν τὴν ἔνσαρκόν σου
παρουσίαν, Κύριε,
ὁ προφήτης Ἀββακοὺμ
μετὰ χαρᾶς ἐκραύγαζε
δόξα τῇ δυνάμει σου
δόξα, Χριστέ, τῇ συγκαταβάσει σου.

Ὠδὴ ε'

Ἐκ νυκτὸς ὀρθριζοντες
ἀνυμνοῦμέν σε, Λόγε τοῦ πατρός,
τὴν σὴν εἰρήνην δὸς ἡμῖν
καὶ ὁδήγησον ἡμᾶς εἰς τὸν φόβον σου.

Ὠδὴ ς'

Τύπος τῆς τριημέρου σου ταφῆς
καὶ τῆς ἀναστάσεως, Λέσποτα,
ὑπάρχων ὁ Ἰωνᾶς
τῷ κήτει κατεπόθη
καὶ ψάλλων ἀνεβόα·
ἀναβήτω ἐκ φθορᾶς
ἡ ζωή μου πρὸς σέ, Κύριε.

Ὠδὴ ζ'

Ἐν τῇ φλογαφόρῳ καμίνῳ
ὡς ἐν δροσοπόρῳ νεφέλῃ
ὑπῆρχον οἱ παῖδες ἐν Βαβυλῶνι
εὐλογοῦντές σε τὸν Κύριον
τὸν ὑπερένδοξον θεὸν
καὶ σωτῆρα πάντων.

Ὠδὴ η'

Πατέρα καὶ υἱὸν καὶ Πνεῦμα ἅγιον
μίαν οὐσίαν μίαν θεότητα
μίαν βασιλείαν
ὑμνοῦμεν καὶ δοξάζομεν.

Εἱρμὸς ἄλλος

Τὸν πάλαι προσίσαντα
τῶν Ἑβραίων τοὺς παῖδας ἐν φλογ
καὶ φλέξαντα Κύριον
τοὺς Χαλδαίους παραδόξως ἐν αὐτ
ἀνυμνήσωμεν λέγοντες·
εὐλογεῖτε
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Ὑπὲρ πᾶσαν ἔννοιαν
λόγῳ τὸν Λόγον τοῦ πατρός,
Παρθενομῆτορ ἄχραντε,
συλλαβοῦσα ἀῤῥάστῳ τρόπῳ
διπλοῦν αὐτὸν τέτοκας·
Θεὸς καὶ ἄνθρωπος γὰρ
ὑπάρχει σαρκωθείς·
διό σε πάντες μεγαλύνομεν.

57

[ΑΝΑΣΤΑΣΙΜΟΣ]

Ποίημα Ἀνδρέου Κρήτης

Α φ. 45β. Β φ. 45

Ὠδὴ α'. Ἦχος β'. Ὁ Εἱρμός.

Τὴν Μωσέως ᾠδὴν
ἀναλαβοῦσα βόησον, ψυχή,
βοηθὸς καὶ σκεπαστὴς
ἐγένετό μοι εἰς σωτηρίαν
οὗτός μου Θεὸς καὶ δοξάσω αὐτ

Ὠδὴ β'

Προσέχετέ λαός μου τῷ νόμῳ μου
κλίνατε τὸ οὖς ὑμῶν
εἰς τὰ ῥήματα τοῦ στόματός μου
ὅτι τὸ ὄνομα Κυρίου ἐκάλεσα.

Ὠδὴ γ'

Στειρωθέντα μου τὸν νοῦν
καρποφόρον ὡς Θεὸς
ἀνάδειξόν με
γεωργὲ τῶν καλῶν
φυτουργὲ τῶν ἀγαθῶν
τῇ εὐσπλαγχνίᾳ σου.

Ὠδὴ δ'

Τὴν ἐκ Παρθένου σου γέννησιν
ὁ προφήτης προβλέπων
ἀνεκήρυττε βοῶν·
τὴν ἀκοήν σου
ἀκήκοα καὶ ἐφοβήθην
ὅτι ἀπὸ Θαιμὰν
καὶ ἐξ ὄρους ἁγίου
κατασκίου ἐπεδήμησας, Χριστέ.

Ὠδὴ ε'

Τὴν ἀχλὺν τῆς ψυχῆς σου,
σωτήρ μου, διασκεδάσας
τῷ φωτὶ τῶν ἐντολῶν σου
καταύγασόν με ὡς μόνος
βασιλεὺς τῆς εἰρήνης.

Ὠδὴ ς'

Βυθῷ ἁμαρτημάτων
συνέχομαι, σωτήρ,
καὶ ἐν πελάγει τοῦ βίου χειμάζομαι
ἀλλ' ὥσπερ τὸν Ἰωνᾶν ἐκ τοῦ θηρὸς
καμὲ τῶν παθῶν ἀνάγαγε
καὶ διάσωσόν με.

Ὠδὴ ζ'

Τὰ χερουβὶμ μιμούμενοι
παῖδες ἐν τῇ καμίνῳ
ἐχόρευον βοῶντες·
εὐλογητὸς εἶ ὁ Θεὸς
ὅτι ἐν ἀληθείᾳ καὶ κρίσει ἐπήγαγες
ταῦτα πάντα διὰ τὰς ἁμαρτίας ἡμῶν
ὁ ὑπερύμνητος καὶ δεδοξασμένος
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ η'

Τὸν ἐν τῇ βάτῳ Μωσῆ
τῆς Παρθένου τὸ θαῦμα
ἐν Σιναίῳ τῷ ὄρει
προτυπώσαντα ποτὲ
ὑμνεῖτε εὐλογεῖτε
καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Εἱρμὸς ἄλλος

Ὁ παῖδας θεοσεβεῖς
ἐν καμίνῳ ρυσάμενος
εὐλογητὸς εἶ καὶ ὑπερένδοξος.

Εἱρμὸς ἄλλος

Τὸν δι' ἀγγέλου τεχθέντα
ἐκ τῆς Θεοτόκου
παῖδες ὑπερυψοῦτε
Χριστὸν τὸν Θεὸν ἡμῶν εἰς τοὺς αἰῶ

Εἱρμὸς ἄλλος

Πάντα τὰ ἔργα Κυρίου
τὸν Κύριον ὑμνεῖτε
ἱερεῖς καὶ δοῦλοι
μετὰ τῶν ἀσωμάτων
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Τὴν ἁγνὴν καὶ ἄχραντον
μητέρα καὶ Παρθένον
ᾠδαῖς ἀσμάτων ἅπαντες οἱ πιστοὶ
εὐσεβῶς ὡς Θεοτόκον μεγαλύνομ

Εἱρμὸς ἄλλος

Τὸ ὀλισθηρὸν τῆς προμήτορος Εὔα
ἔλυσας, Θεοτόκε,
διὰ τοῦ ἐκ σοῦ τεχθέντος
παμβασιλέως τῆς δόξης·
διό σε γενεαὶ πᾶσαι μεγαλύνομεν
ὡς μεσίτριαν οὖσαν
Θεοῦ πρὸς τοὺς ἀνθρώπους
καὶ συνάψασαν τὰ κάτω
τοῖς ἐπουρανίοις.

58

ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΘΕΚΛΑΝ

Ποίημα Γερμανοῦ [1]

Α φ. 47α. Β φ. 58β

Ὠδὴ α'. Ἦχος β'. Ὁ Εἱρμός.

Τῷ μεταστρέψαντι τὴν θάλασσαν εἰς ξηρ
καὶ διαγαγόντι τὸν Ἰσραὴλ δι' αὐτ
ἄσωμεν τῷ Χριστῷ
ὅτι δεδόξασται εἰς τοὺς αἰῶνας.

Ὠδὴ β'

Ἴδετε ἴδετε ὅτι ἐγώ εἰμι
ὁ σωτὴρ τοῦ κόσμου
τὸ φῶς τὸ ἀληθινὸν
ἡ πηγὴ τῆς ζωῆς
ὁ υἱὸς τοῦ Θεοῦ.

Ὠδὴ γ'

Ἐπὶ τὴν πέτραν τῶν ἐντολῶν σου
στερέωσόν με, φιλάνθρωπε.

Εἱρμὸς ἄλλος

Στερέωμα γενοῦ

(1) Κατὰ τὸν Κώδ. 220 Coislin τῶν Παρισ
ων· κατὰ δὲ τὸν Λαυριωτικὸν Β 32 ποίημα Κ
π ρ ι α ν ο ῦ μ ο ν α χ ο ῦ.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

καὶ καταφυγή μου, Κύριε,
ἐκ πειρασμῶν ρυόμενός
καὶ κινδύνων καὶ θλίψεων
ἵνα φόβῳ σοι ψάλλωμεν
οὐκ ἔστιν ἅγιος
πλήν σου, φιλάνθρωπε.

Ὠδὴ δ'

Ἀκήκοα, Κύριε,
τὴν ἀκοήν σου καὶ ἐφοβήθην
κατενόησα τὰ ἔργα σου
καὶ ἐδόξασά σε.

Ὠδὴ ε'

Ἐκ νυκτὸς ὀρθρίζοντες
σοὶ δόξαν ἀναπέμπομεν,
Κύριε ὁ Θεὸς ἡμῶν,
τὴν σὴν εἰρήνην δὸς ἡμῖν
ὅτι ἐκτὸς σοῦ
Θεὸν ἄλλον οὐκ οἴδαμεν.

Εἱρμὸς ἄλλος

Τὸν ζόφον τῆς ἀγνωσίας
ὁ προφήτης, Κύριε, Ἡσαΐας
νύκτα ὀνομάζει·
ἡ γὰρ δρόσος ἡ παρὰ σοῦ
ἰαμά ἐστι πᾶσι
τοῖς προσερχομένοις τῷ βαπτίσματί σου.

Ὠδὴ ϛ'

Ὡς ὁ προφήτης πάλαι
οὕτω κἀγὼ κραυγάζω σοι
τὴν ζωήν μου, Κύριε,
ἐκ φθορᾶς ταχὺ ἀνάγαγε
ὅτι συνέχομαι
ἐκ πταισμάτων ἀμετρήτων.

Ὠδὴ ζ'

Ὁ τὴν ἐξαστράπτουσαν φλόγα
τῆς ἑπταμέτρου καμίνου
εἰς δροσοπάρυον νεφέλην
τοῖς ὁσίοις παισὶ μετατοιήσας, Χριστέ,
καὶ ἡμῶν κατάβεσον
τῶν ἡδονῶν τὴν ἄμετρον φλόγα
μετ' ἐκείνων βοᾶν· παραδοξοποιὲ
Κύριε εὐλογητὸς εἶ.

Ὠδὴ η'

Τὸν ἐξ ἀνάρχου πατρὸς
Λόγον συναΐδιον
ὑμνεῖτε παῖδες
δοξολογεῖτε ἱερεῖς
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Τὸ χειμήλιον τῆς παρθενίας
τὴν ὁλόρρωτον λυχνίαν
τὴν πύλην τὴν ἐσφραγισμένην
ἣν ἐθεάσατο ὁ προφήτης Ἰεζεκιὴλ
τὸ ἀγαλλίαμα τῶν ψυχῶν ἡμῶν
πάντες τὴν ἁγνὴν
Θεοτόκον μεγαλύνομεν.

59

ΑΚΟΛΟΥΘΙΑ
Ποίημα Γερμανοῦ

Α φ. 47β

Ὠδὴ α'. Ἦχος β'. Ὁ Εἱρμός.

Βοηθὸς καὶ σκεπαστὴς
ἐγένετό μοι εἰς σωτηρίαν
οὗτός μου Θεὸς καὶ δοξάσω αὐτόν.

Ὠδὴ β'

Θεὸς ἀληθινὰ τὰ ἔργα αὐτοῦ
καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ κρίσεις.

Εἱρμὸς ἄλλος

Πρόσεχε οὐρανέ καὶ λαλήσω
καὶ ἀνοιγήσω Χριστὸν τὸν φιλάνθρωπον.

Ὠδὴ γ'

Σὺ τῷ λόγῳ σου, Κύριε,
οὐρανοὺς ἐστερέωσας
σὺ καὶ τὴν ἐμὴν ἐν πίστει
καρδίαν στερέωσον.

Ὠδὴ δ'

Ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ·
ἔθου γὰρ ἀγάπησιν
κραταιὰν ἰσχύος σου, Κύριε.

Ὠδὴ ε'

Τῆς νυκτὸς διελθούσης
ἤγγικεν ἡ ἡμέρα
καὶ τὸ φῶς τῷ κόσμῳ ἐπέλαμψε·
διὰ τοῦτο ὑμνοῦσι
τάγματα ἀγγέλων
καὶ δοξολογοῦσί σε, Κύριε.

Ὠδὴ ϛ'

Ἄβυσσος ἁμαρτημάτων
ἐκύκλωσέ με ἐσχάτη
ἀλλ' ὡς τῶν προφητῶν Ἰωνᾶν
ἀνάγαγε, Κύριε,
ἐκ φθορᾶς τὴν ζωήν μου.

Ὠδὴ ζ'

Ὁ τὴν κάμινον πάλαι
τὴν παμφλέγουσαν σβέσας
καὶ τοὺς παῖδας τῷ ὄμβρῳ
τοῦ Πνεύματος δροσίσας
εὐλογητὸς εἶ Κύριε
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Τὸν πάλαι δροσίσαντα
τῶν Ἑβραίων τοὺς παῖδας ἐν φλογὶ
καὶ φλέξαντα Κύριον

τοὺς Χαλδαίους παραδόξως ἐν αὐτῇ
ἀνυμνήσωμεν λέγοντες·
εὐλογεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'

Ἡ ἐν οὐρανοῖς εὐλογημένη
καὶ ἐπὶ γῆς δοξολογουμένη
χαῖρε νύμφη ἀνύμφευτε.

60

[ΕΙΣ ΜΑΡΤΥΡΑΣ]
Ποίημα Ἀνδρέου Κρήτης

Α φ. 48α. Β φ. 46α

Ὠδὴ α'. Ἦχος β'. Ὁ Εἱρμός.

Ἐπινίκιον ἅπαντες μωσαϊκῶς
προσάξωμεν τῷ δεσπότῃ
ὕμνον βοῶντες·
λυτρωτὰ ἡμῶν Χριστέ,
δόξα σοι καὶ αἴνεσις.

Ὠδὴ β'

Οὐρανός μοι ἄχρηε
ἅμα ἡ ἤπειρος ἐγωτίζην·
ἄξω εἰς μέσον γὰρ Θεοῦ μεγαλουργίαν
τῶν μαρτύρων τοὺς ἄθλους
σήμερον εὔσημον,

Ὠδὴ γ'

Στερέωσόν με
ὁ στερεώσας τοὺς οὐρανοὺς τῇ δυνάμει σου.

Εἱρμὸς ἄλλος

Στερέωσόν με καὶ καταφυγὴ γενοῦ, Χριστέ,
ὁ Θεὸς ὡς φιλάνθρωπος.

Ὠδὴ δ'

Εἰσακήκοα τὴν ἀκοήν σου, Κύριε,
καὶ δοξάζω σε, φιλάνθρωπε.

Ὠδὴ ε'

Τὴν σὴν εἰρήνην παράσχου ἡμῖν
υἱὲ Θεοῦ ὁ σωτὴρ ἡμῶν.

Ὠδὴ ϛ'

Τὸν προφήτην διέσωσας
ἐκ τοῦ κήτους, φιλάνθρωπε,
καὶ τοῦ βυθοῦ τῶν πταισμάτων
ἀνάγαγε δέομαι.

Ὠδὴ ζ'

Τὸν ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παραγαγόντα
λόγῳ τὰ πάντα ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Εἱρμὸς ἄλλος

Τὸν ἐν φωναῖς ἀγγελικαῖς
ἐν οὐρανοῖς δοξαζόμενον Θεὸν
αἰνέσωμεν ἅπαντες οἱ γηγενεῖς
εἰς τοὺς αἰῶνας ἅπαντας.

Ὠδὴ η'

Μεγαλύνωμεν πάντες
τῶν ἀθλοφόρων τὴν μνήμην
τῶν δι' ὕδατος καὶ πυρὸς διελθόν
καὶ Χριστῷ πρεσβευάντων
σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὠδὴ θ'

Τὴν παρθενίαν σου,
Θεοτόκε ἁγιαντε,
ἣν οὐ κατέφλεξε,
πῦρ τῆς θεότητος
μεγαλύνομεν.

61

ΕΙΣ ΤΟΥΣ ΑΓΙΟΥΣ
ΣΕΡΓΙΟΝ ΚΑΙ ΒΑΚΧΟΝ
Ποίημα Σεργίου ἁγιοπολίτου

Α φ. 49α. Β φ. 67α

Ὠδὴ α'. Ἦχος β'. Ὁ Εἱρμός.

Ὑψαυχενῶν ἐν ἅρμασι
καὶ ἐν τριστάταις κραταιοῖς
ὁ Φαραὼ ἐν Ἐρυθρᾷ
κατεποντίσθη πανστρατεί·
ὁ δὲ Μωσῆς τὸν Ἰσραὴλ
ὡς ἐπὶ ξηρᾶς διαπερῶν
θείῳ προστάγματι ὑπέψαλλεν·
ἄσωμεν τῷ Κυρίῳ
ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ γ'

Οὐρανὸν ἐκτείνας ὡσεὶ δέρριν
καὶ τὴν ξηρὰν ἑδράσας ἐφ' ὑδάτ
τῷ θείῳ σου νεύματι, Χριστὲ ὁ Θεὸς
καμὲ στήριξον ἐν τῇ ὀρθοδόξῳ πίσ
ἀνακράζοντα·
ἅγιος οὐκ ἔστι πλήν σου, Κύριε.

Ὠδὴ δ'

Τὸ ἄῤῥαστον μυστήριον
τῆς ἐνανθρωπήσεώς σου, Χριστὲ ὁ Θεό
μυστικῶς προκατιδὼν
Ἀββακοὺμ ἀνεβόα·
εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθη
κατενόησα τὰ ἔργα σου
καὶ δοξάζω τὴν δύναμίν σου.

Ὠδὴ ε'

Τὸ ἀνέσπερον φῶς σου, Χριστέ,
λάμψον εἰς ἡμᾶς, φωτοδότα,
καὶ τὸν ζόφον τῶν πταισμάτων ἡμῶ
διασκέδασον

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

καὶ εἰρήνευσον τὴν ζωὴν ἡμῶν
τῆς εἰρήνης ὁ ἄναξ.

Ὠδὴ ϛ'

Ἀλίμ θηρὶ περιπεσὼν ὁ Ἰωνᾶς
ἀσινὴς σέσωστο·
ἐγὼ δὲ συσχεθεὶς ὑπὸ πολλῶν μου δεινῶν
εἰς χάος ἔρριμμαι·
ἀλλὰ δέομαί σου
Ἰησοῦ ὁ Θεός μου
προφθάσας με οἴκτειρον
καὶ ἐκ σκότους ἀνάγαγε
τὴν ζωήν μου καὶ φθορᾶς.

Ὠδὴ ζ'

Τῆς τρισσοφαοῦς Τριάδος
ἰσάριθμοι παῖδες
οἱ ἐξ Ἰσραὴλ ἐν Βαβυλῶνι
βασιλέως ἀσεβοῦς
κατεφρόνησαν δόγμα
καὶ εἰς πῦρ ἐμβληθέντες
καὶ ἄφλεκτοι σωθέντες
ἐχόρευον λέγοντες·
εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Ἀγάλματος χρυσοτεύκτου
ἐν πεδίῳ Δηρᾷ
ὀργάνων μούσας λατρευομένου
καὶ Θεοῦ τοῦ πάντων πλαστουργοῦ [παρορωμένου
οἱ Σιωνῖται παῖδες
οὐχ ὑπήκουσαν δόγμα παράνομον
ἀλλ' ὑπέδειξαν τῇ κτίσει
θαῦμα παράδοξον
κάμινον δροσοβολοῦσαν
τύραννον θεολογοῦντα
λαὸν ὑπερυφοῦντα
τὸν μόνον Θεὸν τοῦ παντὸς
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'

Παράδοξον ἄκουσμα
καὶ μυστήριον ξένον
ἐν σοὶ ἀπετελέσθη,
πανάμωμε Θεοτόκε,
σύλληψις ἄνευ σπορᾶς
καὶ παρθενία μετὰ γέννησιν·
ἀλλ' ὦ Λέσποινα παντάνασσα,
σῶζε ὡς ἀγαθὴ
ἡμᾶς τοὺς πίστει ἀδιστάκτῳ
προσκυνοῦντας τὸν τόκον σου
καὶ μεγαλύνοντας.

62

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΘΕΟΔΩΡΟΝ

Ποίημα Θεοδώρου τοῦ Στουδίτου

Α φ. 49β. Β φ. 72α

Ὠδὴ α'. Ἦχος β'. Ὁ Εἱρμός.

Τῷ ὑψηλῇ δεξιᾷ κατασπαντίσαντι
τὸν Φαραὼ παντστρατὶ
ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ
καὶ ὁδηγήσαντι λαὸν τοῦ Ἰσραὴλ
ὠδὴν ἐπινίκιον ἀναπέμψωμεν
ὅτι δεδόξασται.

Ὠδὴ β'

Οὐρανὲ τῷ λόγῳ μου πρόσεχε
γῆ ἐνωτίζου τὰ ῥήματά μου·
Θεὸς γὰρ ἐπὶ γῆς
ἐφάνη ὡς ἄνθρωπος
ἐκ Παρθένου σαρκωθεὶς
μητρὸς ἀπειρογάμου
θαυμαστῶς ἐν ἁγίοις
ὑπάρχων δεδοξασμένος.

Ὠδὴ γ'

Στερέωσόν μου τὴν καρδίαν
καὶ καταφυγή μου, Κύριε,
ἐκ πειρασμῶν ῥῦσόμενος
καὶ κινδύνων καὶ θλίψεων
ἵνα πόθῳ σοι ᾄδω·
Θεὸς οὐκ ἔστιν ἅγιος
πλὴν σοῦ, φιλάνθρωπε.

Ὠδὴ δ'

Εἰσακήκοα, Κύριε,
Τὰ θαυμάσια τῆς φρικτῆς σου σαρκώσεως
ὅτι κατεδέξω προσλαβεῖν τὸ ἡμέτερον
καὶ δοξάζω σου τὸ εὐσπλαγχνον.

Ὠδὴ ε'

Ὅτι νὺξ τῶν παθῶν
περὶ ἐμὲ τὸν δείλαιον
ὀρθρίζειν εἱλικρινῶς πρὸς σὲ ἀξίωσον
ὡς τὸ γλυκύτατον, Χριστέ,
καταλάμψας μοι τῶν ἐντολῶν σου.

Ὠδὴ ϛ'

Τύπος τῆς τριημέρου σου ταφῆς
καὶ τῆς ἀναστάσεως, Λέσποτα,
ὑπάρχων ὁ Ἰωνᾶς
τῷ κήτει κατεπόθη
καὶ ψάλλων ἀνεβόα
ἀναβήτω ἐκ φθορᾶς
ἡ ζωή μου πρὸς σέ, Κύριε.

Ὠδὴ ζ'

Φλογοφόρον κάμινον
νοτίζει πνεῦμα δροσοβόλον
καὶ παῖδας εὐλογεῖν

ἐκδιδάσκει καὶ βοᾶν
ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'

Παῖδες ἅγιοι
καμίνῳ βεβλημένοι ποτὲ
ὑπὲρ τῆς εἰς Θεὸν ἀμάχου πίστεως
πῦρ παμφλέγον αὐτοῖς
εἰς πνεῦμα δρόσου τραπὲν
ᾠδὴν ἀνεψύχοντο
καὶ μετὰ μέλους ἔψαλλον·
πάντα τὰ ἔργα Κυρίου
ὑμνεῖτε εἰς αἰῶνας τὸν Κύριον.

Ὠδὴ θ'

Τῶν γηγενῶν τίς ἤκουσε τοιοῦτον
ἢ τίς ἑώρακε ποτὲ
ὅτι Παρθένος εὑρέθη ἐν γαστρὶ ἔχουσα
καὶ ἀνωδίνως τὸ βρέφος ἀποτεκοῦσα ;
τοιοῦτόν σου τὸ θαῦμα
καὶ σέ, ἀγνὴ θεοκυῆτορ
Μαρία, μεγαλύνομεν.

Εἱρμὸς ἄλλος

Σὲ τὴν νοητὴν καὶ ἔμψυχον κλίμακα
ἐν ᾗ ὁ Θεὸς ἡμῖν ἐστήρικτο
δι' ἧς τὴν πρὸς οὐρανὸν
εὐράμενα ἄνοδον
ὕμνοις, Θεοτόκε, μεγαλύνομεν.

Εἱρμὸς ἄλλος

Τὸ ὁλισθηρὸν τῆς προμήτορος Εὔας
ἔλυσας, Θεοτόκε,
διὰ τοῦ ἐκ σοῦ τεχθέντος
παμβασιλέως τῆς δόξης
διό σε γενεαὶ πᾶσαι μακαρίζομεν
ὡς μεσίτριαν οὖσαν
Θεοῦ πρὸς τοὺς ἀνθρώπους
καὶ συνάψασαν τὰ κάτω τοῖς ἐπουρανίοις.

63

ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΘΕΚΛΑΝ

Ποίημα Κυπριανοῦ μοναχοῦ

φ. 51β. Β φ. 64β

Ὠδὴ α'. Ἦχος β'. Ὁ Εἱρμός.

Τῷ διαῤῥήξαντι Θεῷ
τὴν θάλασσαν ῥάβδῳ
χειρὶ τῇ κραταιᾷ
ᾠδὴν ἀναπέμψωμεν
ἐνθέοις ἐν ἄσμασι·
τοὺς ὑπεναντίους
Χριστὸς γὰρ ἐκάλυψεν.

Ὠδὴ β'

Ἴδετε ἴδετε
ὅτι ἐγώ εἰμι Θεὸς
ὁ σαρκωθεὶς ὑπὲρ λόγον
καὶ σώσας τὸν ἄνθρωπον.

Ὠδὴ γ'

Ὅτι στεῖρα ἔτεκεν ἑπτὰ
καὶ ἡ πολλὴ ἐν τέκνοις ἠσθένησε
τῶν Ἰουδαίων ἡ καχέσπερος συναγωγὴ
τῆς χάριτος δὲ
ὁ ἐξ ἐθνῶν λαὸς ἠξίωται
στερεούμενος, Χριστέ,
τῇ σῇ μεγαλειότητι.

Εἱρμὸς ἄλλος

Μὴ καυχάσθω ὁ σοφὸς
ἐν σοφίᾳ, ὡς γέγραπται,
καὶ ἰσχυρὸς ἐν τῇ δυνάμει αὐτοῦ
Θεὸς γὰρ τῶν πάντων
καθέστηκεν αἴτιος·
ἀλλὰ τὸ στερέμνιον μέλος
προσοίσωμεν λέγοντες
τῷ στερεώσαντι τὴν γῆν ἐπὶ τῶν ὑδάτων
καὶ οὐρανοὺς ἐν συνέσει
τῷ λόγῳ πηξάμενος.

Ὠδὴ δ'

Ἀββακοὺμ προφῆτα,
τί θεωρῶν ἐκβοᾷς
ἡμῖν τὸ μυστήριον
τῆς ἐνανθρωπήσεως Θεοῦ ;
τὴν ἀκοὴν ἀκήκοα, φησί,
τρανῶς ἐνηχοῦσαν τὰ ὦτά μου
τῶν μεγαλείων τῆς θείας οἰκονομίας
καὶ ἐξιστάμενος κράζω
δόξα Χριστῷ τῷ ἐλθόντι
σῶσαι τὸν πλανώμενον ἄνθρωπον.

Ὠδὴ ε'

Ῥαθυμία τὴν ἀχλυωμένην μου ψυχὴν
τῶν παθῶν συνέχει, σωτήρ,
καὶ ζοφερὰ σκοτομήνη τῶν πταισμάτων με
εἰς νύκτα ἀργεννῆ καταβαρύνει·
ἀλλ' ἀξίωσόν με ὀρθρίζειν
πρὸς αἴνεσιν τῆς σῆς ἀγαθότητος,
Κύριε ὁ Θεός μου,
διότι φῶς ὑπάρχει σου τὰ προστάγματα

Εἱρμὸς ἄλλος

Φωτισμός μου γενοῦ
ὁ Θεός μου καὶ Κύριος
τὴν ἐντολῶν σου τὴν λαμπρότητα
ἀνατέλλων ἐν ἐμοὶ
ἵνα ὀρθρίζων δοξάζω σε
τὸ φῶς τὸ ἀνέσπερον.

Ὠδὴ ϛ'

Λαγόσι τῆς ἁμαρτίας

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

ἐμπαρεὶς ὁ τάλας ἐγὼ
διὰ τὸ ἐν ἐμοὶ ἀργὲς
εἰς βυθὸν κατεδέδυμαι·
ἀλλὰ δέομαί σου,
ἀθάνατε Κύριε,
πρὶν εἰς τέλος με καταβιβρώσει
ὁ μονιὸς ἐχθρὸς
ἀνάγαγε ἐκ φθορᾶς καὶ σῶσόν με.

Ὠδὴ ζ'

Παρεισάγων τὸν ἄδικον νόμον
ὁ τύραννος ἐν Βαβυλῶνι
λάτρια Τριάδος
ἰσάριθμοι παῖδες Κυρίου
στυγοῦντες τὸ ξόανον
ἐν καμίνῳ χαίροντες
προσωμίλησαν ψάλλοντες·
ὁ τῶν πατέρων ἡμῶν
εὐλογητὸς εἶ, Κύριε,
καὶ ὑπερύμνητος
ἐν πάσῃ τῇ σοφίᾳ σου.

Εἱρμὸς ἄλλος

Σὺν παισὶν ὁμοφρόνως
ἐν καμίνῳ ὑπάρχων
συστὰς ὁ Ἀζαρίας
σεσωσμένος τοῦ πυρὸς
ᾠδὴν ἀνέμελπεν·
εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Οἱ τῇ κτίσει μὴ λατρεύσαντες
παρὰ τὸν κτίσαντα
θεοσεβεῖς παῖδες αἰχμάλωτοι
τὸ οὐράνιον νᾶμα
ἐν φλογὶ πυρὸς ἁρυσάμενοι
ὕμνον ἐβόων
τῷ ἐπὶ πάντων Θεῷ·
εὐλογείτω πᾶσα ἡ κτίσις τὸν Κύριον
καὶ ὑπερυψούτω αὐτὸν εἰς τοὺς αἰῶνας.

Εἱρμὸς ἄλλος

Πρίστευσαν ἐν καμίνῳ
οἱ ἄκακοι παῖδες Χριστοῦ
φλογὸς ἐμπύρου τὴν ζέσιν
ὡς ἶλιν πατήσαντες
ἐν εὐσεβείᾳ ἔψαλλον·
εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον.

Ὠδὴ θ'

Εἰκλεές σου τὸ θαῦμα,
Θεοτόκε πανύμνητε,
σὺ γὰρ μόνη γυναικῶν
ὤφθης ὑπερένδοξος
καὶ τῶν ἄνω χορῶν θαυμαστοτέρα
ὅτι ἔτεκες Θεὸν τὸν ἀναλλοίωτον·
διὸ σε, ἀπειρόγαμε,
καὶ τὸν ἐκ σοῦ προελθόντα
ἀπαύστως μεγαλύνομεν.

64

[Ποίημα Κυπριανοῦ μοναχοῦ]

Λ φ. 53β

Ὠδὴ α'. Ἦχος β'. Ὁ Εἱρμός.

Τῆς ἀβύσσου πάλαι τὸ ἄπειρον
ὁ Μωυσῆς ἀτιμφοτύπως
διέτεμε διὰ τῆς ῥάβδου
καὶ τὸν Φαραὼ πάνστρατι
ἐν αὐτῇ κατεπόντισεν·
οἱ δὲ Ἰσραηλῖται τὸ τέρμα τῆς θαλάσσης
διαδεύσαντες ᾠδὴν ἀνέμελπον·
ἄσωμεν τῷ Κυρίῳ
ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ β'

Ἴδετε ἴδετε ὅτι ἐγώ εἰμι Θεὸς
ὁ ἐν θαλάσσῃ σώσας λαὸν
καὶ ἐν ἐρήμῳ κορέσας
τῇ θείᾳ ἐξουσίᾳ μου·

Ὠδὴ γ'

Στερέωσόν με, Κύριε,
ὁ στερεώσας δυνάμει τοὺς οὐρανοὺς
καὶ στήριξον τὴν καρδίαν μου εἰς τὸν φό-
βον σου
ἵνα τῆς Ἄννης τὴν ᾠδὴν
προσάξω σοι λέγων·
οὐκ ἔστιν ἅγιος
ὡς ὁ Θεός ἡμῶν
ὁ ὑψώσας τὸ κέρας τῶν χριστῶν αὐτοῦ.

Ὠδὴ δ'

Θαῦμα φρικτὸν ἐνηχηθεὶς
ὁ θαυμάσιος Ἀββακοὺμ
τὴν ἀπόρρητόν σου, Λόγε
Θεοῦ, παρουσίαν
ὅτι ἐκ κατασκίου δασέος κόρης,
ἀναλλοίωτε, σαρκούμενος προῆλθες
καὶ ὡς ἐγ ἐκστάσει γενόμενος
ἀνεκραύγαζε·
δόξα τῇ δυνάμει σου, Κύριε.

Ὠδὴ ε'

Τὸ φῶς τῶν προσταγμάτων σου
καταύγασον, Χριστέ, τῇ καρδίᾳ μου
ὅπως ἐν αἰνέσει
τὴν σὴν ἀπαύστως δοξολογήσω
ἐκ νυκτὸς σωτηρίας ἀγαθότητα.

Ὠδὴ ς'

Τὸν εἰς βάθη κατιόντα τῆς θαλάσσης
καὶ τριημερεύσαντα ἐν κητώοις στέρνοις

ποντίου θηρὸς πάλαι Ἰωνᾶν
μιμούμενος κράζω σοι·
σωτήρ μου, βοῶντα
ἀνάγαγε ἐξ ᾅδου κατωτάτου
ὅπως θύσω σοι μετὰ φωνῆς αἰνέσεως.

Ὠδὴ ζ'

Θεοσεβεῖς παῖδες τὴν Σιὼν
αἰχμάλωτοι ἐν Βαβυλῶνι προκρίναντες
καὶ καμίνου μέσον ἐμβληθέντες
παγκόσμιον χορείαν ἤγειραν ψάλλοντες·
ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'

Δόγμα παράνομον
οἱ γενναῖοι παῖδες κατεφρόνησαν·
καὶ μουσικῶν ὀργάνων ἠχὴν οὐκ ἔλοντο
ἀλλ' ἐν καμίνῳ δροσιζόμενοι
εὐχαρίστως ἔψαλλον·
εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ'

Χαίροις παντάνασσα
τῶν γηγενῶν τὸ καύχημα
ἡ ἐπ' ἐσχάτων ἡμερῶν
τὴν σωτηρίαν ἡμῶν κυήσασα
ἵνα τῆς ἀρχαίας κατάρας
τὸ γένος ἐλευθερώσῃς τῶν ἀνθρώπων·
διὸ πάντες ἀσιγήτως
σὲ μεγαλύνομεν.

Εἱρμὸς ἄλλος

Ἀγλαώμορφε κόρη ἠγλαϊσμένη
παντευλόγητε βασίλισσα
χρυσῷ καθαρῷ κεκοσμημένη
καταπεποικιλμένη ἡ τεκοῦσα
τὸν παντάνακτα Θεὸν ἡμῶν
ἡ γέφυρα τῶν πιστῶν
καὶ προστάτις σὲ μεγαλύνομεν.

65

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΔΗΜΗΤΡΙΟΝ
Ποίημα Κυπριανοῦ μοναχοῦ

Λ φ. 55α. Β φ. 65β

Ὠδὴ α'. Ἦχος β'. Ὁ Εἱρμός.

Ἐπὶ τὴν ἄβυσσον μολὼν
ὁ Ἰσραηλίτης λαὸς
ᾠδὴν ἀνέμελπε
τῷ ἐν χειρὶ κραταιᾷ
δυνατῶς συντρίψαντι πολέμους
Φαραὼ τοῦ τυράννου
ἄσωμεν τῷ Κυρίῳ
ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ γ'

Οἱ οὐρανοὶ τῶν οὐρανῶν
τὴν δόξαν σου, σωτήρ, διηγούμενοι
ἐπ' αἴνεσιν ἐγείρουσι
τῶν ἀγγέλων τὰ πλήθη
καὶ βροτοὶ ἀναμέλπουσιν·
οὐκ ἔστι πλήν σου Θεός, Κύριε,
ὁ ἐκ μὴ ὄντων εἰς τὸ εἶναι
παραγαγὼν τὰ σύμπαντα.

Ὠδὴ δ'

Λαμπάδι τοῦ Πνεύματος ὁ Ἀββακοὺμ
φωτιζόμενος, Κύριε,
τὴν σὴν ἐνανθρώπησιν
προμηνύων ἐβόα
ἐξ ἁγίας Παρθένου
προελθεῖν σε, ἀναλλοίωτε,
εἰς ἀνάπλασιν τοῦ πάλαι Ἀδάμ.

Ὠδὴ ε'

Σὲ τὸν τῆς δόξης ἥλιον ἄδυτον, Χριστέ,
ἐκ καρδίας ἱκετεύω
φώτισόν μου τῆς ψυχῆς
τὰς πεπηρωμένας κόρας
ἐκ νυκτὸς ἁμαρτιῶν
πρὸς ἐργασίαν τῶν ἐντολῶν σου.

Ὠδὴ ς'

Ἀπὸ γαστρὸς ἀβύσσου
τῶν ὀρλημάτων μου, σωτήρ,
ἐξάγαγε τὸ πνεῦμά μου
ὥσπερ πάλαι τὸν Ἰωνᾶν
ἐκ κήτους γαστρὸς ὑπεξήγαγες
ἵνα ἐν τῷ ναῷ τῆς ἁγίας δόξης σου
τὴν σὴν αἰνέσω ἀγαθότητα.

Ὠδὴ ζ'

Οἱ εὐσεβείας ἐρασταὶ
παῖδες ἐν Βαβυλῶνι
εἰκόνι τῇ χρυσῇ μὴ λατρεύσαντες
ἐν τῇ καμίνῳ τοῦ πυρὸς
χαίροντες ἀμνητομόλησαν
καὶ τὴν φλόγα εἰς δρόσον ἤνεγκαν
ἐπιλάμψει Θεοῦ μελῳδοῦντες·
ὁ τῶν πατέρων Θεὸς
ἐν τῷ ναῷ σου εὐλογητὸς εἶ.

Ὠδὴ η'

Ὡραιόψυχοι παῖδες
ἐν τῇ καμίνῳ βληθέντες
κράτος ἦραν αἰώνιον
Θεὸν ὁμολογοῦντες τὸν οὐράνιον
καὶ τύραννον ἠσχυναν
δόγμα προτείναντα ἄθεον
εὐχαριστήριον πλέκοντες μελῳδίαν
εὐλογεῖτε πᾶσα πνοὴ καὶ κτίσις
τὸν ἐπὶ πάντων βασιλέα εἰς τοὺς αἰῶνας

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

'Ωδὴ θ'

Ἡ μήτρα σου, ἀγνὴ
Θεοτόκε Παρθένε,
οὐράνιον ὄμβρον
τῷ κόσμῳ ἐπήγαγε
ζωὴν ἐπανατέλλοντα αἰώνιον
καὶ τὸν Ἀδὰμ σὺν τῇ Εὔᾳ
εἰς νομὴν παραδείσου εἰσώκισε·
διό σε μόνην ἐν γυναιξὶ
μητέρα χρηματίσασαν τοῦ Ἐμμανουὴλ
πᾶσαι γενεαὶ μεγαλύνομεν.

66

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΝΙΚΟΛΑΟΝ

Ποίημα Κυπριανοῦ μοναχοῦ

Λ φ. 46α. Β φ. 68α

'Ωδὴ α'. Ἦχος β'. Ὁ Εἱρμός.

Νάματα πάλαι Ἐρυθρᾶς διέρρηξας
τῇ ῥάβδῳ τοῦ νομοθέτου
καὶ λαὸν περιούσιον
ἀβρόχως διέσωσας
ἐπινίκιον ἄδοντα ᾠδὴν
τῇ τροπαιούχῳ σου, Χριστέ, δεξιᾷ.

'Ωδὴ γ'

Ὁ κατ' ἀρχὰς τῇ σοφίᾳ σου, Χριστέ,
τοὺς οὐρανοὺς στερεώσας ἐν συνέσει
ἐδράσας δὲ γῆν θεοπρεπῶς
ἐπὶ ὑδάτων ἀπείρων τῷ κράτει σου
στερέωσόν με δέομαι
ἐν τῇ στερρᾷ κρηπίδι τῆς πίστεως.

'Ωδὴ δ'

Ἐκ Παρθένου ἀλοχεύτως
ἐπέφανας τῷ κόσμῳ ὡς ἥλιος
τῆς ἀφθαρσίας τὴν δόξαν καταυγά-
[ζων ἡμῖν
τοῖς ἐξ Ἀδὰμ ἐν παραβάσει
κατακριθεῖσι, Κύριε,
διὸ τῇ ἐπιπνοίᾳ τοῦ Πνεύματος
ὁ προφήτης Ἀββακοὺμ ἀνεβόα·
δόξα, Χριστέ, τῇ δυνάμει σου.

'Ωδὴ ε'

Τῷ φωτισμῷ τῶν ἐντολῶν σου,
μόνε οἰκτίρμον,
καταύγασον τὴν ψυχήν μου δέομαι
ἵνα ἐκ βάθους ὕπνου τῆς ραθυμίας
πρὸς ὄρθρον ἀναστήσω
σύστασιν χοϊκὴν
ὅπως ὑμνῶ σε, Χριστέ,
τὸ φῶς τὸ ἀνέσπερον.

'Ωδὴ ς'

Ἰλιγγιάσας τῷ ξένῳ
καταδύματι ὁ προφήτης
Ἰωνᾶς πρὸς κῆτος βαίνων τὸ βύθιον·
ὡς ἐκ τάφου γὰρ τὴν πρόοδον εἰσδὺς
αὖθις ἀνεβόησεν·
ἀνάγαγε ἐκ φθορᾶς τὴν ζωήν μου,
Κύριε, δέομαι καὶ σῶσόν με.

'Ωδὴ ζ'

Ἓν καμίνῳ φλογὸς νεανίαι
τρεῖς ἐμβληθέντες
χορείαν συγκροτήσαντες
ὡς ἐν ἀρδάρτῳ λειμῶνι
Χριστῷ ἀνευωχούμενοι
ἐβόων ἠλλοντες·
ὁ τῶν πατέρων Θεὸς
ἐν τῷ ναῷ σου εὐλογητὸς εἶ.

'Ωδὴ η'

Ἀδιαίρετοι τῆς Τριάδος παῖδες γεγόνασι
τὸ κάλλος τῆς εἰκόνος μὴ προσιέμενοι
ψυχόλεθρον ἀπάτην ἀποκρουσάμενοι
οὐρανόθεν δροσισθέντες
ἐβόων Χριστῷ τὸν ὕμνον·
εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον
τὸν ἐπὶ θρόνου χερουβὶμ
ἀπαύστως δοξολογούμενον.

'Ωδὴ θ'

Μεγαλύνομέν σου τὸν τόκον, κόρη ἀμίαντε,
οἱ διὰ σοῦ τῷ Θεῷ ἑνωθέντες
καὶ βοῶμέν σοι, Μαρία θεόνυμφε,
χαῖρε πάντων ἡ ἀνάκλησις
τῶν ἐξ ἀρχαίας κατάρας θανατωθέντων
καὶ πρὸς ζωὴν οἰκειωθέντων
διὰ τῆς σῆς ἀγεωργήτου κυοφορίας.

67

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Ἀνδρέου [Κρήτης] Ἱεροσολυμίτου

Λ φ. 57β

'Ωδὴ α'. Ἦχος β'. Ὁ Εἱρμός.

Διῄρητο μὲν τὸ Ἐρυθραῖον
ἐγκολπωσάμενον πέλαγος
τὸν Ἰσραὴλ ἀνασωζόμενον·
ἐνωθὲν δὲ ὕδωρ τὸν Αἰγύπτιον
ὀλοθρεῦον καταστρώννυσι
τῇ ἀνεικάστῳ δεξιᾷ
Κυρίου τοῦ Θεοῦ ἡμῶν·
ἅπαντες ᾄσωμεν

'Ωδὴ β'

Ἴδετε ἴδετε γηγενεῖς
ὅτι Θεὸς ἐγώ εἰμι
ὁ ἐν ἐρήμῳ κορέσας

λαὸν Ἰσραηλίτην
καὶ δουλείας καὶ φθορᾶς
ἐλευθερώσας ὡς Θεὸς
τῇ ἀπροσμάχῳ ἰσχύϊ
καὶ ἀνεικάστῳ ἐξουσίᾳ μου.

'Ωδὴ γ'

Τὴν ἀκανθώδη καὶ ἄκαρπόν μου
ψυχὴν ἐξ ἔργων ἀγαθῶν
ὁ κρίνων ἄκρα τῆς γῆς
δικαίωσον, Κύριε,
καὶ στήριξον βλαστάνειν ἐν σοὶ
καρποὺς μετανοίας.

'Ωδὴ δ'

Ὁ προφήτης, Κύριε,
ἀκήκοε τὴν ἀκοήν σου,
εὐσπλαγχνε σωτήρ,
καὶ ἐξιστάμενος ἐκραύγαζε·
διεῤῥύβησαν τὰ ὄρη
καὶ οἱ βουνοὶ τῶν εἰδώλων·
ἐξ ὄρους γὰρ ἦλθεν
ὁ Κύριος τῆς δόξης

'Ωδὴ ε'

Ὑψηλὸς ὁ βραχίων σου, Κύριε,
καὶ ἐγνώκαμεν καὶ πεπιστεύκαμεν
πλὴν σου μὴ εἶναι Θεόν·
τὴν σὴν εἰρήνην δὸς ἡμῖν
δεόμεθα, φιλάνθρωπε.

'Ωδὴ ς'

Βυθῷ προσκείμενον, Λόγε,
ἀνάγαγέ με τῶν πταισμάτων
καὶ σῶσόν με, φιλάνθρωπε
σωτὴρ οἰκτίρμον.

'Ωδὴ ζ'

Φλογοφόρον κάμινον
νοτίζει πνεῦμα δροσοβόλον
καὶ παῖδας θεολογεῖν
βοᾶν τῶν πατέρων
ὁ Θεὸς εὐλογητὸς εἶ.

'Ωδὴ η'

Κατ' ἀρχὰς σύ, Κύριε,
τὴν γῆν ἐθεμελίωσας
καὶ χειρῶν σου ἔργα
εἰσὶν οἱ οὐρανοὶ
ὃν ὑμνεῖ πᾶσα κτίσις
καὶ δοξολογεῖ ἐνεργείαις,
Λόγε, εἰς τοὺς αἰῶνας.

'Ωδὴ θ'

Μεγαλύνομέν σε
τὴν φωτοφόρον νεφέλην
καὶ νοερὰν κιβωτόν·
σὺ γὰρ ὑπὲρ λόγον ἐκύησας
Χριστὸν τὸν σωτῆρα τῶν ψυχῶν ἡμῶν.

68

ΑΝΑΣΤΑΣΙΜΟΣ

Λ φ. 58β. Β φ. 57α

'Ωδὴ α'. Ἦχος β'. Ὁ Εἱρμός.

Ἄσωμεν τῷ Κυρίῳ
τῷ βυθίσαντι τὸν Φαραὼ σὺν ἅρ
καὶ λαὸν διασώσαντι
εἰς ὁδὸν εἰρήνης
ὅτι δεδόξασται.

'Ωδὴ γ'

Κυριότητος πέλων ὑπέρτερος
τὴν στερέμνιον ἐλπίδα σου βράβ
Χριστέ, τῇ διανοίᾳ μου.

'Ωδὴ δ'

Ἐπιλελησμένην φύσιν γηγενῶν
εἰς χοῦν θανάτου τῷ πάθει σου
ὡς Θεὸς δυνατός,
Χριστέ, ἀνεβίωσας.

'Ωδὴ ε'

Ὦ τῆς ὑπὲρ νοῦν σου,
ἀγαθέ, συγκαταβάσεως !
εἰς ᾅδου γὰρ βυθόν,
ὅτι φῶς ἐκ τοῦ πατρὸς
τῶν φώτων, ἀνέτειλας.

'Ωδὴ ς'

Ἔδυ ἡ θεία σου, Χριστέ, κάρα
εἰς σχισμὰς ὀρέων ταρῆς
καὶ τῇ καθόδῳ σου ὁ ᾅδης ὀδυρό
οὓς ἔκπαλαι κατεῖχε
δεσμίους ἐξεμέσατο.

'Ωδὴ ζ'

Σύντριμμα καὶ τὴν ταλαιπωρί
ἰάσας ἡμῶν
διὰ ξύλου τοῦ σταυροῦ σου
ὡς οἱ παῖδες μέλπομεν·
ἐν τῷ ναῷ τῆς δόξης σου
εὐλογητὸς εἶ, Χριστέ,
ἡ πάντων ζωή.

'Ωδὴ η'

Παῖδες εὐλογεῖτε
τὸν συγκαταβάντα θείᾳ βουλῇ
ἱερεῖς δοξολογεῖτε
Χριστὸν εἰς τοὺς αἰῶνας.

Εἱρμὸς ἄλλος

Αἰνοῦμεν εὐλογοῦμεν ὑπερυψοῦμ
ὑμνοῦμεν τὸ ὄνομά σου, Χρισ
σὺ γὰρ βασιλεύεις
εἰς πάντας τοὺς αἰῶνας.

Εἱρμὸς ἄλλος

Ἄγγελοι ἀπαύστως ἀνυμνοῦσιν
ἄνθρωποι ἀεὶ δοξολογοῦσι
καὶ πᾶσα κτίσις

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

εὐλογείτω ὑμνοῦσα τὸν Κύριον.

Ὠδὴ θ'

Ἐν σοὶ πᾶσα ἡμῶν ἡ ἐλπὶς
κραταιοῦται, πανύμνητε Θεοτόκε,
σὲ γὰρ μόνην ἔχομεν
καταφυγὴν οἱ ἁμαρτωλοὶ
ἐκ παντὸς κινδύνου λύτρωσαι ἡμᾶς
ἵνα σὲ καὶ τὸν ἐκ σοῦ
τεχθέντα μεγαλύνωμεν.

69

ΑΝΑΣΤΑΣΙΜΟΣ

Λ φ. 59β

Ὠδὴ α'. Ἦχος β'. Ὁ Εἱρμός.

Ἴχνεσιν ἀβρόχοις
λαὸς Ἰσραηλίτης διεβιβάζετο·
τῇ γὰρ τομῇ τῶν ὑδάτων
προεδήλου τὸν σταυρὸν
τῇ εἰσόδῳ τὴν ταφὴν
τῇ δὲ ἐξόδῳ τὴν σεπτὴν
καὶ θείαν ἐξανάστασιν
ἄδων ἐν αἰνέσει τῷ λυτρωτῇ
ἄσμα ἐπινίκιον.

Ὠδὴ γ'

Ὁ στερεώσας κατ' ἀρχὰς
τῇ σοφίᾳ καὶ τῷ λόγῳ σου
τοὺς οὐρανοὺς ἐν συνέσει
καὶ γῆν ἐδράσας ἐπὶ τῶν ὑδάτων
ἀνάστηθι ἐκ τάφου διδοὺς ἡμῖν
κέρας σωτηρίας
ὅτι οὐκ ἔστι πλήν σου
ἅγιος, Κύριε.

Ὠδὴ δ'

Λάω λιμνῶν ἐν μέσῳ
ἡ ζωὴ ἐπὶ ξύλου ἐκρέματο·
συνάψαι γὰρ τὰ πρὶν διεστῶτα
τὰς παλάμας ἐξέτεινε
τῇ ἰδίᾳ βουλήσει
καὶ ἀναστὰς τριήμερος
συνανέστησε τὴν φύσιν τὴν βροτείαν
δοξάζουσαν αὐτοῦ
τὴν ἀπόρρητον καὶ θείαν συγκατάβασιν.

Ὠδὴ ε'

Ὄρθρος φαεινὸς ἀνέτειλεν ἐκ τάφου·
τῇ γὰρ καθόδῳ τῇ αὐτοῦ
φωτὸς ἐπλήσθη τὰ καταχθόνια
καὶ δικαίων ψυχαὶ
ἀνέστησαν ἐν δόξῃ
δοξολογοῦσαι τὴν φρικτὴν
καὶ θείαν ἐξανάστασιν·
σὺ γὰρ μόνος βασιλεὺς
κραταιὸς καὶ δυνατὸς
καὶ τῆς εἰρήνης χορηγός.

Ὠδὴ ς'

Προτυπῶν σου τὴν ταφὴν
σταυρόν τε καὶ τὸ πάθος
ὁ Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους,
σῶτερ, τριημερεύσας
ἀνέθορεν ἀνέκραγεν·
ἀναβήτω ἡ ζωή μου
καὶ ἔλθοι ἡ προσευχή μου
εἰς ναόν σου τὸν θεῖον,
Κύριε τοῦ ἐλέους.

Ὠδὴ ζ'

Ἔργον ὃ εἰργάσω
ἐξ ἡμερῶν αἰῶνος
τετέλεκας, παμβασιλεῦ,
τῶν πατέρων ὁ Θεός,
τῇ ἐνδόξῳ ἀναστάσει σου.

Ὠδὴ η'

Ἐδρόσισεν ὁ ἄγγελος
τὴν καμίνον τῶν παίδων
ἐκύλισε τὸν λίθον
ἐκ τῆς θύρας τοῦ μνημείου
καὶ γυναιξὶ μυροφόροις
εὐηγγελίζετο λέγων·
ἀνέστη ὁ Κύριος
καθὼς προεφήτευσεν ὑμῖν·
σπεύσατε βοήσατε·
τοῖς θείοις μαθηταῖς αὐτοῦ
ὅτι προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν
ὁ βασιλεύων εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'

Ἡ ἀμνὰς ἡ ἄσπιλος καὶ μήτηρ καὶ Παρ-
[θένος
παρισταμένη τῷ σταυρῷ
τοῦ ἀμνοῦ καὶ λυτρωτοῦ
σὺν δάκρυσι θρηνῳδοῦσα ἔβόα·
οἴμοι, γλυκύτατέ νἱέ μου,
ποταπά μοι τῆς χαρᾶς τὰ εὐαγγέλια
ὁ τόκος ὁ ἀπόρρητος
τῶν μάγων ἡ προσκύνησις
τῶν ποιμένων τὸ θαῦμα!
οἴμοι, τέκνον, οὐ φέρω
ἀναρτώμενον ἐπὶ σταυροῦ ὁρᾶν σε
ἀπεῦσον ἐξανάστηθι ἐκ τῶν νεκρῶν
καθὼς εἶπας τριήμερος
ἵνα δοξασθήσωμεν ἐν τῇ ἀναστάσει σου.

70

[ΑΝΑΣΤΑΣΙΜΟΣ]

Λ φ. 61α

Ὠδὴ α'. Ἦχος β'. Ὁ Εἱρμός.

Ὁ τὸν λαὸν τοῦ Ἰσραὴλ

διαθρέψας ἐν ἐρήμῳ
καὶ Φαραὼ ἀλάστορα
βυθίσας ἐν θαλάσσῃ
ἐπανάγαγε καὶ ἡμᾶς
τῆς τῶν παθῶν δουλείας
ἵνα ᾠδὴν ἐπινίκιον
προσάξωμέν σοι, βασιλεῦ.

Ὠδὴ γ'

Στερέωσον, Κύριε,
τὴν σαλευθεῖσάν μου καρδίαν
ἐν τῇ πέτρᾳ τῶν θείων θελημάτων σου
ἵνα τῆς Ἄννης τὴν ᾠδὴν
ἀναμέλπω σοι κραυγάζων·
οὐκ ἔστι πλήν σου ἅγιος, παμβασιλεῦ,
καὶ μόνος παντοδύναμος.

Ὠδὴ δ'

Ἀββακοὺμ ὁ προφήτης
τὸ μέγα κατανοήσας
τῆς ἀῤῥιάστου κενώσεως
μυστήριον ἐκραύγαζεν·
ἐξελεύσεται Θεὸς
ἐξ ὄρους κατασκίου
τοῦ σῶσαι τοὺς χριστοὺς αὐτοῦ
καὶ βοῶντας· δόξα τῇ βουλῇ αὐτοῦ
δόξα τῇ δόξῃ καὶ τιμῇ
δόξα τῇ δυνάμει αὐτοῦ.

Ὠδὴ ε'

Τὸν ἄνθρακα τοῖς χείλεσι
προσψαύσας ὁ προφήτης
τοῦ σεραφὶμ ἀνεβόα τῇ ἐκπλήξει·
ὄρθρος μοι ἐπεφάνη παμφαὴς
καὶ τοῖς βροτοῖς φῶς ἀπρόσιτον ἔλαμψε
καὶ εἰρήνη καὶ δόξα
τοὺς ἐξ ἀχλύος πταισμάτων
πρὸς φῶς ἐπανάγουσα.

Ὠδὴ ς'

Ἡ θάλασσα κυμαίνεται
τῶν ἡδονῶν μου, Λόγε,
ὁ κλύδων ἀγριαίνεται
τοῦ πλήθους τῶν κακῶν μου·
ὅθεν ἀνακράζω σοι
ὡς ὁ προφήτης πάλαι
ἀνάγαγε τὸ πνεῦμά μου
ἐν τῷ ναῷ τῆς ἀπροσίτου σου δόξης
ὅπως σοι θύσω, σωτήρ,
θυσίαν αἰνέσεως.

Ὠδὴ ζ'

Τὴν καμίνον τῶν παίδων
ἐδρόσισεν ἄγγελος
τούτους φυλάττων ἀσινεῖς
καὶ μέλπειν ἐκδιδάξας·
εὐλογητὸς εἶ, Κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Τὸ τριφαέστατον κράτος
τῆς τρισηλίου Τριάδος
ἐν Βαβυλῶνι ποτὲ
κάμινον τὴν καυστικὴν
εἰς δρόσον μετεποίησε
παῖδας διεφύλαξε
καὶ οὐ κατέφλεξε
διδάξας ἀναμέλπειν
ἐν φλογεροῖς τοῖς χείλεσι·
τὸν Κύριον ὑμνεῖτε
τὸν ἐπὶ θρόνου χερουβὶμ
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'

Θαῦμα παράδοξον
καὶ μυστήριον ξένον!
ἡ σύλληψις ὑπερφυὴς
ὁ τόκος ἀνερμήνευτος·
διό σε, Θεοτόκε,
ἀγγέλων τὰ στρατεύματα
καὶ τῶν βροτῶν τὰ πλήθη
ἐν ᾠδαῖς ἀκαταπαύστοις
ἀξίως μεγαλύνομεν.

71

ΑΚΟΛΟΥΘΙΑ ΣΙΝΑΪΤΙΚΗ

Β φ. 47α

Ὠδὴ α'. Ἦχος β'. Ὁ Εἱρμός.

Ἡ δεξιά σου, Κύριε,
δεδόξασται ἐν ἰσχύϊ
ὅτι σὸν λαὸν ἐν θαλάσσῃ
ἐνδόξως διέσωσας.

Ὠδὴ γ'

Ἐπὶ τὴν πέτραν τῶν ἐντολῶν σου
στερέωσόν με, φιλάνθρωπε.

Ὠδὴ δ'

Εἰσακήκοα τὴν ἀκοήν σου,
Κύριε, καὶ ἐφοβήθην
δόξα τῇ δυνάμει σου.

Ὠδὴ ε'

Ὁ τῷ αἵματί σου, Χριστέ,
εἰρηνοποιήσας τὰ πρὶν διεστῶτα
τὴν σὴν εἰρήνην δὸς ἡμῖν.

Ὠδὴ ς'

Προτύπωσις τῆς ταφῆς σου
γέγονεν Ἰωνᾶς
ἐν τῇ κοιλίᾳ τοῦ θηρὸς
βοῶν σοι· ἐκ φθορᾶς
τὴν ζωήν μου ἐπανάγαγε, φιλάνθρωπε.
ἐκ φθορᾶς ὡσανάτου
ὡς μόνος εὔσπλαγχνος.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

Ὠδὴ ζ'
Ὁ ἐν μήτρᾳ οἰκήσας
τῆς ἁγίας Παρθένου
καὶ παρθένον φυλάξας
τὴν σὲ τεκοῦσαν, Λόγε,
εὐλογητὸς εἶ, Κύριε.
Ὠδὴ η'
Αἰνοῦμεν εὐλογοῦμεν
ὑπερυψοῦμεν ὑμνοῦμεν
τὸ ὄνομά σου, σωτήρ,
σοὶ γὰρ πρέπει δόξα εἰς τοὺς αἰῶνας.
Ὠδὴ θ'
Μήτηρ γέγονας Θεοῦ, κεχαριτωμένη,
καὶ διὰ τοῦτό σε, πανεύφημε, μεγαλύ-
[νομεν·
ὁ γὰρ ἐκ σοῦ σαρκωθεὶς Θεὸς
ἔσωσε τὰς ψυχὰς ἡμῶν.

72

ΑΚΟΛΟΥΘΙΑ ΣΙΝΑ·Ι·ΤΙΚΗ

Β φ. 47β
Ὠδὴ α'. Ἦχος β'. Ὁ Εἱρμός.
* Τῷ θαυμαστῶς διελόντι θάλασσαν
καὶ Φαραὼ πανστρατιᾷ βυθίσαντι
ἄσωμεν τῷ Κυρίῳ
ἐνδόξως γὰρ δεδόξασται.
Ὠδὴ β'
Ἔγνωμεν πάντες λαοὶ
ὅτι μόνος πέλεις Θεὸς
ὁ ποιήσας γῆν καὶ οὐρανὸν
καὶ πλήν σου ἄλλον οἱ πιστοὶ οὐ γινώσκομεν
ἀλλὰ τὸ ὄνομά σου ὀνομάζομεν.
Ὠδὴ γ'
Στερέωσόν με, Χριστέ,
ὁ Λόγος τοῦ Θεοῦ
κραθείς μου τῇ ἀσθενεῖ φύσει καθ' ὑπό-
[στασιν.
Ὠδὴ ϛ'
Ἐβόησα, Κύριε, ἐν τῷ θλίβεσθαί με
καὶ εἰσήκουσας προσευχῆς
χειλέων μου, φιλάνθρωπε.
Ὠδὴ ζ'
Εὐθαρσεῖς τρεῖς παῖδες
τὴν Βαβυλώνιον φλόγα ὑποδύντες
ἄγγελος αὐτοῖς Θεοῦ Λόγου
εἰς δρόσον μεταστρέψας
ὑμνεῖν παρεσκεύασεν
ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ.
Ὠδὴ θ'
Τὴν ἐν γενεαῖς γενεῶν
δεδοξασμένην ὑπάρχουσαν
Θεοτόκον βροτῶν τὸ γένος
ὕμνοις τιμήσωμεν
[καὶ] ὡς θεομήτορα
Παρθένον μεγαλύνωμεν.

73

Ποίημα Ἠλία πατριάρχου [Ἱεροσολύμων]

Β φ. 48α
Ὠδὴ α'. Ἦχος β'. Ὁ Εἱρμός.
* Ὁ διελὼν τῷ λαῷ σου
θάλασσαν, Κύριε,
καὶ ἡμῶν διάστησον
τὸ τῶν παθῶν πέλαγος
ὅπως ᾠδήν σοι ἁγίαν
ἄσωμεν, Κύριε.
Ὠδὴ γ'
Ὁ πάντας ὑποστηρίζων
τοὺς καταπίπτοντας, Κύριε,
καὶ τοὺς κατερραγμένους ἀνορθῶν
κἀμὲ τὸν πρὸς ἁμαρτίαν εὐόλισθον
στερέωσον ἀνυψώσας, φιλάνθρωπε.
Ὠδὴ δ'
Ἐλέῳ μνησθεὶς ψυχὰς
ἐν τῇ καθ' ἡμῶν ὀργῇ σου ταραχθείσας
οὐ παρεῖδες, Κύριε,
ἀλλ' ἑνώσας ἑαυτῷ
τὴν φύσιν ἡμῶν ἔσωσας.
Ὠδὴ ε'
Ὁ Θεός μου τὸ σκότος
τῆς ψυχῆς μου φώτισον
ἐκ νυκτὸς ὀρθρίζοντος πρὸς σὲ
τὴν ἀνέσπερον ἡμέραν·
σὺ γὰρ εἶ ὁ φωτισμός μου καὶ σωτήρ μου.
Ὠδὴ ϛ'
Περικέχυταί μου τῇ ψυχῇ
τὸ τῆς ἁμαρτίας ὕδωρ
ἀλλὰ χρηστότητος τῆς σῆς μεμνημένος
οὐκ ἀπελπίζω τὴν σωτηρίαν·
διὸ βοῶ σοι· Κύριε, σῶσόν με.
Ὠδὴ ζ'
Ὁ τοῖς ὑμνῳδοῖς σου παισὶν
ἀσσύριον πῦρ κατασβέσας
κατάσβεσον καὶ ἡμῶν
ἡδονῶν φλόγα, Χριστέ,
μετ' ἐκείνων βοᾶν σοι·
εὐλογητὸς εἶ, Κύριε,
καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.
Ὠδὴ η'
Τὸ πῦρ ἐν Βαβυλῶνι

Χαλδαίους φλέξαν
καὶ παῖδας φρίξαν, Χριστέ,
προεδήλου τὸ μέλλον,
ἐρχομένου σου κρῖναι τὴν γῆν,
προπορεύεσθαι πῦρ
τοὺς ἐχθροὺς φλογίζον
καὶ τοὺς φίλους αἰδούμενον
μεθ' ὧν καὶ ἡμᾶς ἀξίωσον
εὐλογεῖν σε καὶ δοξάζειν εἰς τοὺς αἰῶνας.
Ὠδὴ θ'
Ἄχραντε Θεοτόκε,
τῆς μερίδος ῥῦσαι ἡμᾶς
τῶν συγχεόντων ἀσεβῶς
καὶ τεμνόντων δύο φύσεις
τὰς τὸν ἕνα Χριστὸν
ἀποτελεσάσας ἐν σοί·
Θεὸν γὰρ Λόγον ἀτρέπτως
ἐκ σοῦ καθ' ὑπόστασιν
σεσαρκοῦσθαι πιστεύοντες
ὀρθοδόξως σε μεγαλύνομεν.

74

ΑΚΟΛΟΥΘΙΑ ΣΙΝΑ·Ι·ΤΙΚΗ

Β φ. 49α
Ὠδὴ α'. Ἦχος α'. Ὁ Εἱρμός.
* Ἄσωμεν ἆσμα καινὸν
τῷ διὰ Μωσέως Ἰσραὴλ
περάσαντι τὴν Ἐρυθρὰν
ἀβρόχοις ἴχνεσιν.
Ὠδὴ γ'
Στερέωμα τῆς καρδίας μου γενοῦ
καὶ ὕψωσον κέρας σωτηρίας μου, ἀγαθέ,
ὅτι μόνος εἶ φιλάνθρωπος.
Ὠδὴ δ'
Τὴν ἀκοὴν τῆς οἰκονομίας σου, Κύριε,
εἰσακήκοα καὶ ἐφοβήθην
κατενόησα τὴν ἐκ Παρθένου σου ἔλευσιν
καὶ ἐξέστην, φιλάνθρωπε,
δόξα τῇ δυνάμει σου.
Ὠδὴ ε'
Ἐκ νυκτὸς ὀρθρίζουσι
πρὸς σὲ τὸν Θεὸν ἡμῶν
τὴν σὴν εἰρήνην δὸς ἡμῖν
υἱὲ Θεοῦ σωτὴρ ἡμῶν.
Ὠδὴ ϛ'
Τὸν προφήτην μιμούμενος, σωτήρ,
ἐκ τοῦ βυθοῦ με τῆς ἁμαρτίας
κραυγάζω ἀνάγαγε
καὶ ναόν με τῶν θείων
ἐντολῶν σου ἀνάδειξον.
Ὠδὴ ζ'
Ὁ παῖδας θεοσεβεῖς
ἐκ καμίνου ρυσάμενος
εὐλογητὸς εἶ καὶ ὑπερένδοξος.
Ὠδὴ η'
Πάντα τὰ ἔργα ὑμνεῖτε
καὶ ὑπερυψοῦτε Χριστὸν τὸν Θεὸν ἡμ
τὸν ἐκ πυρὸς τοὺς παῖδας ρυσάμεν
Ὠδὴ θ'
Σὲ τὴν ἀνύμφευτον οἱ πιστοί,
Μαρία πανύμνητε,
εὐσεβῶς ὡς Θεοτόκον μεγαλύνομεν

75

ΕΙΣ ΤΑ ΦΩΤΑ
Ποίημα Βυζαντίου

Β φ. 49β
Ὠδὴ α'. Ἦχος β'. Ὁ Εἱρμός.
* Τὸ ἐρυθραῖον πεζεύων
ὁ Ἰσραὴλ πέλαγος
καὶ ἐν νεφέλῃ καθοδηγούμενος
τῇ δεξιᾷ τοῦ ὑψίστου
τὴν τοῦ βαπτίσματος χάριν προέγρα
ἐν ᾧ ὡς ἐν θαλάσσῃ δι' ὕδατος
καὶ ἐν νεφέλῃ τοῦ Πνεύματος
υἱοθετούμενοι
ὁ περιούσιος λαὸς ἀναμέλπομεν
ἄσωμεν τῷ κραταιῷ ἡμῶν Θεῷ
ὅτι δεδόξασται.
Ὠδὴ β'
Θεὸς ἀληθὴς
ἐκ Θεοῦ πεφυκὼς
ἀνακαθαίρει σήμερον
ἐν τῷ Ἰορδάνῃ
τὴν ἁμαρτάνουσαν φύσιν ἡμῶν
δι' ὕδατος καὶ πνεύματος
ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος
Εἱρμὸς ἄλλος
Πρόσεχε οὐρανὲ καὶ λαλήσω
καὶ ἀνυμνήσω Χριστὸν
τὸν δι' ἡμᾶς ἐκ Παρθένου ἐνανθρωπήσα
καὶ τὰς ἡμῶν ἁμαρτίας
ἐν ῥείθροις Ἰορδάνου ἀναχωνεύσαν
Ὠδὴ γ'
Τὴν στειρεύουσαν φύσιν τῶν ἀνθρώπ
τῷ καρποφόρον δείξαντι
ἐν πνεύματι τοῦ σωτηρίου βαπτίσμα
ὡς ἐλευθερωτῇ Θεῷ ἡμῶν
μετὰ τῆς προφήτιδος Ἄννης βοήσωμ
οὐκ ἔστιν ἅγιος

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

πλήν σου, φιλάνθρωπε.

Ὠδὴ δ'

Ὁ πατρικοὺς κόλπους μὴ λιπὼν
προελήλυθε Χριστὸς
ἐξ ἀπειράνδρου μητρὸς
καὶ ὕδασιν ἐνθάψας
κόσμου τὴν ἁμαρτίαν
τὸν παλαιὸν ἄνθρωπον ἀνεκαίνισεν·
ὅθεν ὁ προφήτης
προϊδὼν Ἀββακοὺμ
ἐξεστηκὼς ἐβόα·
ἀνερμήνευτε, Κύριε,
δόξα τῇ δυνάμει σου.

Ὠδὴ ε'

Τῇ μεταλήψει τοῦ ἄνθρακος
ὁ Ἡσαΐας καθαρθεὶς
τὸν ἐν Ἰορδάνῃ ἄνθρακα
τὸν ἁμαρτίαν συμφλέξαντα
πᾶσι προέφηνε
δι' οὗ ἡμεῖς διὰ τῆς παλιγγενεσίας
τὸ ἀνέσπερον φῶς θεασάμενοι
ἐκ νυκτὸς ὀρθρίζομεν
τῷ εὐεργέτῃ τῶν ψυχῶν ἡμῶν.

Ὠδὴ ϛ'

Ὁ Ἰορδάνου ρείθροις τὰς δρακοντίας
κάρας συντρίψας, πολυέλεε,
καὶ ἡμᾶς τῆς ἀβύσσου
τῶν πολλῶν ἐγκλημάτων
καὶ παθῶν ψυχοφθόρων
διάσωσον, Χριστὲ ὁ Θεός,
ἵνα θυσίαν αἰνέσεώς σοι θύσωμεν.

Ὠδὴ ζ'

Τῷ θείῳ ἔρωτι οἱ παῖδες πυρπολούμενοι
τῇ δυνάμει τοῦ συγκαταβάντος
ἐν Ἰορδάνῃ σήμερον
ἐν τῇ καμίνῳ ἑστῶτες δροσίζονται·
αὐτὸς ὁ ὑπεράγαθος
πυρπολήσας δι' ὕδατος
τὸν ῥύπον τῶν ἀνθρώπων
υἱοθεσίαν ἔδωκεν
ἡμῖν τοῖς κραυγάζουσιν·
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Προτυποῦσα κάμινος
τὴν ἐν τοῖς ρείθροις σου κατάδυσιν,
Χριστὲ ὁ Θεὸς ἡμῶν,
δροσισμὸν ἀντὶ φλογὸς
ἐπήγασεν ἐν τοῖς παισὶν
εὐχαρίστως μέλπουσιν
εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

76

ΕΙΣ ΤΗΝ ΚΟΙΜΗΣΙΝ ΤΗΣ ΘΕΟΤΟΚΟΥ

Ποίημα Δαμιανοῦ [μοναχοῦ]

Β φ. 51α

Ὠδὴ α'. Ἦχος β'. Ὁ Εἱρμός.

* Ἤπειρος ἐδείχθη πάλαι τῷ Ἰσραὴλ
γαυρούμενος ὕδασι πόντος ἐρυθρὸς
λαβρότατος δὲ αὖθις ἐπαναστραφεὶς
Αἰγυπτίων κύμασιν ὤλεσε παῖδας
ἡ δεξιὰ τοῦ Δεσπότου δεδόξασται.

Ὠδὴ γ'

Ἴσχυσαν ὄμματα πηλίνων σήμερον
ἀφθαρσίας ἀστραπὴν ἐγκατοπτεῦσαι
ἰδόντες δὲ στερέμνιον ἐμφυτευτὸν
σὺν στρατιαῖς ἀσωμάτων ἀνέμελπον
νομίμως τῆς Θεοτόκου τὴν Κοίμησιν.

Ὠδὴ δ'

Ἀσύγκριτος εὐπρέπεια ἐξέλαμψε
σωματώσεως θείας ἀτρεκεστάτου
σειρὰς διασπῶντος ἀρχαίας κατάρας
ὑψίστου ἐνωθέντος μοι βροτοπρεπῶς
νῦν δοξάζω αὐτοῦ τὴν συγκατάβασιν.

Ὠδὴ ε'

Ὁ τὴν ἄσχετον αἴγλην ἐξανατείλας
νυμφικὸν στέφανον τῇ ἀπειρογάμῳ
ἀθανασίας, Λόγε, προέθηκας
σύσσωμον καὶ ταύτην δὲ ἐν παραδείσῳ
θέμενος ὡραῖος τὸ σκότος ἔλυσας.

Ὠδὴ ϛ'

Ῥήγνυται βυθὸς πειραθέντος τὸ πάλαι
ἐξ ἀΰλων βλεφάρων φεύγειν Ἰωνᾶ
κραταιῶς δὲ ὑποβὰς κητώοις στέρνοις
ἐβόα ἐκ φθορᾶς ἡ ζωή μου πρὸς σὲ
σωτηρίας αἴτιον ἀναβήτω.

Ὠδὴ ζ'

Ἡ τρισσοφεγγόφωτος ἄφθορος λύρα
ναρκῶσης πάλαι τῆς ἐπηρμένης φλογὸς
εὐήχως ἀνέμελπεν ἆσμα τῷ Θεῷ
ξοάνων καταβληθεῖσα ματαιότης
ὁ ἐν παισὶν αἰνετὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'

Ὡς ὤφθης ἐν μέσῳ τῶν παίδων ἐν φλογὶ
ἀφθαρσίας τὸν ὄμβρον αὐτοῖς χορηγῶν
λαμπηδόνι δὲ οὕτως ἔλαμψας, Χριστὲ
ἀΰλως ἐν τῷ ταμείῳ τῆς σῆς μητρὸς
λαοὺς ἀπείρους διεγείρων πρὸς ὕμνον.

Ὠδὴ θ'

Ἡ πρὸ τόκου Παρθένος φυλαχθεῖσα
σωτηρίαν ἡμῖν Χριστὸν ἐκύησας
ἐπ' ἐσχάτων, ἄχραντε, τὸν πρὸ αἰώνων

ἵνα λύσῃ τὴν ἔχθραν τῆς ἁμαρτίας·
τῇ Κοιμήσει σου ὅθεν γηθόμεθα.

77

ΕΙΣ ΤΟΝ ΕΥΑΓΓΕΛΙΣΜΟΝ

Ποίημα Δαμιανοῦ μοναχοῦ

Β φ. 52α

Ὠδὴ α'. Ἦχος β'. Ὁ Εἱρμός.

* Ἀηττήτῳ δεξιᾷ, πόντου ἐρυθροῦ
ὑδατοστρώτου δὲ πάρος, μόνος Θεὸς
λύει ἐξορμέοντος τείχη ποντίου
ὅλος Φαραὼ βυθίζεται δὲ αὖθις
σώζεται λαὸς περιούσιος μέλπων.

Ὠδὴ γ'

Κραταίωσόν με ἐν ἰσχύϊ σου, Λόγε,
ἦλθες γάρ, ἀόρατε, ἐμὲ φορέσας
νίκην ἐπιφέρων μοι πρὸς ἀοράτους,
ἄναρχε Θεέ, δυνάμεις πανωλίου
ὕπερθέν μοι δοὺς ἀκλόνητον ἐλπίδα.

Ὠδὴ δ'

Ἐπέβης, Χριστέ, ἐν νεφέλῃ φωτεινῇ
νέος Ἀδὰμ χρηματίσας παράδοξος
ἔμβρυον εὐπρόσιτον οὐρανῷ φύτλην
ξύλῳ τοῦ σταυροῦ ἐξακεύμενον, νόσων
ἄδει Ἀββακοὺμ ἀναιρέτης ὑπῆρξε.

Ὠδὴ ε'

Δρόσῳ ἰάματος, Χριστέ μου, ἄρδευσον
ἥν περ ὁ Ἡσαΐας λιταῖς ἠτεῖτο
σύσσωμος τῷ ἄνθρακι καθηράμενος·
σὺ γὰρ φωτὸς ἀνεσπέρου κυριεύεις,
ἀπρόσιτε, τῆς εἰρήνης ὁ αἴτιος.

Ὠδὴ ϛ'

Ναίοντα ὑπὲρ φύσιν Χριστὸς ὁ Θεὸς
ἀταπείνωτον ἔδειξε τὸν προφήτην
τληπαθοῦντα ἐν μυχοῖς κητώοις ποτέ·
ρεύσεως δὲ θείας ὑετὸς παναλκὴς
ἐχρημάτισεν ἐκ νεκρῶν ἀνατείλας.

Ὠδὴ ζ'

Καιομένην κάμινον οἱ παῖδες Σιὼν
τῷ τύπῳ τοῦ σταυροῦ εἰς δρόσον ἤνεγκαν
σωτήριον θέμενοι κραταιᾶς δεξιᾶς,
ριπίζοντος Θεοῦ τοὺς παραφρονοῦντας
ἰσχύϊ δὲ σαόζοντος τοὺς μέλποντας.

Ὠδὴ η'

Νέους τρεῖς ἡ κάμινος ἔδειξε ποτὲ
ὄμβρῳ τοῦ Πνεύματος ἀλωβήτους θευδεῖς
σοβαρὸν δὲ τύραννον καταφλέξασα
σωτῆρα ἄνακτα μελῳδοῦντες ὕμνον
ὡς εὐεργέτην ἀνέμελπον λέγοντες
πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ὠδὴ θ'

Καθαρώτατος ναός, ἁγία κόρη,
ὕπερθεν γεγένησαι τοῦ ἀπροσίτου·
ὦ ξένον θαῦμα πατρικῇ εὐδοκίᾳ
νέου βρέφους ἀλοχεύτως προηγμέν
ἄσμασιν οἱ πιστοί σε μεγαλύνομε

78

ΑΝΑΣΤΑΣΙΜΟΣ

Β φ. 52β

Ὠδὴ α'. Ἦχος β'. Ὁ Εἱρμός.

* Ὡς ἤπειρον τὴν ἄβυσσον
καὶ τετριμμένην βαδίζων
ἐβόα Ἰσραήλ·
τῷ Κυρίῳ ἄσωμεν
ὅτι δεδόξασται.

Ὠδὴ β'

Οὐρανὲ κραυγῆς μου πρόσεχε
καὶ φωνῆς τῶν στεναγμῶν μου·
ἰδοὺ γὰρ ὁ κτίστης μου
δι' ἐμὲ τὸν ὀλισθήσαντα
ἐπὶ ξύλου κρέμαται
ἰδίῳ βουλήματι.

Ὠδὴ γ'

Στερέωσον, Κύριε, τὴν ἐκκλησίαν
καὶ τὴν σὴν εὐφροσύνην
δώρησαι ταῖς ψυχαῖς ἡμῶν
βραβεύων εἰρήνην
τῷ κόσμῳ ὡς φιλάνθρωπος.

Ὠδὴ δ'

Ἐξ ὄρους χερουβικοῦ
κατασκίου, ζωοδότα σωτήρ μου,
ἐλήλυθας, Κύριε,
δόξα τῇ δυνάμει σου.

Ὠδὴ ε'

Πρὸς σὲ ὀρθρίζω
τὸν σωτῆρα τῶν ἁπάντων
τὸν συναναστήσαντα ἐκ νεκρῶν
Ἀδὰμ τὸν πρωτόπλαστον.

Ὠδὴ ϛ'

Ἐν τῇ θλίψει μου εἶπον
ἀπῶσμαι ἐξ ὀφθαλμῶν σου, Κύριε,
ἀλλ' ὡς Νινευΐτας διέσωσας
ἀνάγαγέ με τοῦ ἐπιβλέψαι
πρὸς ναὸν ἅγιόν σου.

Ὠδὴ η'

Κάμινον δροσίζουσαν
τρεῖς παῖδες πιστοὶ
ἔδειξαν ἐν Βαβυλῶνι ψάλλοντες·
εὐλογεῖτε τὸν Θεὸν
ἱερεῖς καὶ λαὸς

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Ὡς ἀνωτέραν τῶν ἄνω ταγμάτων
καὶ λαμπροτέραν ἁπάσης τῆς κτίσεως
σὲ τὴν ἁγνὴν μητέρα καὶ Παρθένον
ἀπαύστως μεγαλύνομεν.

79

[ΑΝΑΣΤΑΣΙΜΟΣ]

Ποίημα Ἰλίᾳ Σικελιώτου

Β φ. 54β

Ὠδὴ α'. Ἦχος β'. Ὁ Εἱρμός.

* Θαλάττιον πέλαγος,
σταυροῦ τὸ σημεῖον
Μωσέως χερσὶ χαραττόμενον
διχῇ διετέμνετο
προτυποῦν τοῦ σκότους
τὸν κοσμοκράτορα
οὕτως ὄλλυσθαι
ὡς Φαραὼ βυθισθέντα
Ἰσραὴλ δὲ πίστει σώζεσθαι
ὅθεν μέλψωμεν
ὕμνον ἐπινίκιον σοι, Κύριε.

Ὠδὴ γ'

Ἀκρίδαντον ὥσπερ πέτραν
ἀρραγῆ τε καὶ στερέμνιον
τὴν ἐκκλησίαν σου, σῶτερ,
ἐν τῇ σῇ ἀκλινεῖ ὁμολογίᾳ στήριξον·
σὺ γὰρ ταύτην
σῷ ἐκτήσω αἵματι.

Ὠδὴ δ'

Ὕλην ἐξῆρε τῆς γεηρᾶς οἰκίας
συμφυεὶς προσλήμματι
Θεὸς ἀνθρώποις
ἐξ ἀδαοῦς κόρης καὶ σώσας
εὐσεβῶς τοὺς μέλποντας
δόξα σοι, βασιλεῦ τῶν δυνάμεων.

Ὠδὴ ε'

Λῖγλῃ φρεσφόρῳ
καταύγασον τὴν ἐσκοτισμένην μου ψυχήν,
Χριστὲ φωτοδότα,
ὅπως βαίνων εὐαρέστως
ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου
γενήσωμαι μέτοχος τῆς δόξης σου.

Ὠδὴ ς'

Λιμὴν ἀναψύξεως
ὑπάρχων, πολυέλεε,
κατεύνασόν μου τῆς ψυχῆς
τὸ ζαλῶδες καὶ δίδαξόν με
ποιεῖν τὸ θέλημά σου
σὺν τῷ Ἰωνᾷ ὅπως θύσω σοι
μετὰ φωνῆς αἰνέσεως, Κύριε.

Ὠδὴ ζ'

Ἐβρόντησεν ἦχημα δυσσεβείας
καὶ ἐξῆρε κάμινον
νεανίαις ὁ θεοστυγὴς·
ἀλλ' ὁ μὲν ἐθηράθη
τῷ ἀφεγγεῖ προστάγματι
οἱ δὲ δροσισθέντες
ἀνέμελπον λέγοντες·
εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Οὐκ ἐλάτρευσαν εἰκόνι χρυσῇ
παῖδες οἱ τρισόλβιοι
ἐν πεδίῳ Δειρᾷ
ἀλλ' ἐν μέσῳ καιομένης φλογὸς
θείαν ἐπερπάσαντο δρόσον
ἀνυμνοῦντες·
λαοὶ φυλαὶ καὶ γλῶσσαι
εὐλογεῖτε τὸν Κύριον
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Οὐκ οἶδ' ὁποίᾳ δημιουργίᾳ ἀγγέλων
Θεὸς ἑνοῦται τῇ βροτείᾳ φύσει
καὶ σαρκοῦται ἐκ γυναικὸς
δίχα μώμου ἐξ ἀπειρανδρου·
διὸ τοῦτον μεγαλύνοντες
τὴν τεκοῦσαν μακαρίζομεν.

80

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΧΡΙΣΤΟΦΟΡΟΝ

Ποίημα Γεωργίου [Ἀνατολικοῦ]

Β φ. 55β

Ὠδὴ α'. Ἦχος β'. Ὁ Εἱρμός.

* Τῆς Ἐρυθρᾶς τῶν κυμάτων τὸ ἄστατον
πεπηγὸς ὁρῶν κατ' ἄμφω Ἰσραὴλ
καὶ πεζεύων τέρμα τὸ βαθυκόλπιον
ἐβόα τῷ κραταιῷ ἐν δυνάμει Θεῷ τῶν ὅλων
χαριστηρίως κραυγάζων·
ἄσωμεν τῷ Κυρίῳ
τοὺς ἐχθροὺς ὡς ποντίσαντι·
ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ γ'

Ἀφορῶν εἰς τὸ πλῆθος τῆς σῆς χρηστό-
τητος, Κύριε,
τῆς Ἄννης τὴν ᾠδὴν
προσάγω σοι καὶ δέομαι·
στηρίχθητω μου ἡ ψυχὴ
ἐπὶ τὴν πέτραν τῶν ἐντολῶν σου
καὶ πλατυνθήτω ἡ καρδία μου

ἐν τῇ ἀγάπῃ τῆς σοφίας σου·
οὐκ ἔστι γὰρ ἅγιος
πλὴν σου, φιλάνθρωπε.

Ὠδὴ δ'

Ξένην θεοφανίαν
ἀκουτισθεὶς ὁ Ἀββακοὺμ
ἐξεστηκὼς ἐβόα·
ἐν μέσῳ δύο γνωσθήσῃ ζώων
θεανθρωπότητος
κατασκίου ἐξ ὄρους
παρθενικῆς ἀπὸ γαστρὸς
ἐλευσόμενον καὶ διακόπτοντα
δυναστῶν ἀοράτων κεφαλὰς
τῇ ἀπροσίτῳ δυνάμει σου, ὑπεράγαθε.

Ὠδὴ ε'

Ὑμνήσωμεν φέγγει νοερῷ
καταυγαζόμενοι πιστοὶ
τὸν ἐκ νυκτὸς ἐξ ἀγνοίας
θεογνωσίας πρὸς φάος
δι' εὐσπλαγχνίαν ἑλκύσαντα ἡμᾶς
ὑψηλῷ σου βραχίονι,
ζωοδότα παντοδύναμε,
σημειωθήτω ἐφ' ἡμᾶς
τὸ φῶς τῶν προσταγμάτων σου.

Ὠδὴ ς'

Ὡς ὁ προφήτης κἀγὼ
ἐκ θηρῶν ἀερίων
ἐν βυθῷ συνωθούμενος
ἐσχάτῳ τῶν πταισμάτων μου
πρὸς τὸν ναόν σου, σῶτερ,
ἐπιβλέψαι προσθήσω·
μετὰ φωνῆς γὰρ αἰνέσεως
βοῶ σοι ἐν τῇ θλίψει μου.

Ὠδὴ ζ'

Ἐνδύματι χρυσῷ
μὴ περιθόμενοι σπεῖσαι
τῶν αἰχμαλώτων οἱ νεήλυδες
τοῦ ζῆν ἀσεβῶς
τὸ θανεῖν εὐσεβῶς προελόμενοι
παμφλάζουσαν εἰς δρόσον
ἐξαμειφθέντες δὲ φλόγα
διαπρυσίως ἔλεγον·
εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Τυραννικῶν θεσπισμάτων
ὡς δυσσεβῶν ληρημάτων
καταφρονήσαντες οἱ θεόφρονες
πυρὸς ἀπειλὴν οὐκ ἐδειλίασαν·
εἰς γὰρ Θεὸς τὸ κινδυνευόμενον
τούτου οὐδὲν τὸ προτιμώμενον·
διὸ δροσιζόμενοι
μελῳδοῦσιν εὐσεβῶς·
τὸν δημιουργὸν ἡ σύμπασα κτίσις
εἰς τοὺς αἰῶνας εὐλογεῖτε.

Ὠδὴ θ'

Σαρκώσεως ἀνεκφράστου
καὶ καταλλαγῆς ὑπερευσπλάγχνου
ἐχρημάτισας δοχεῖον, μητροπάρθενε,
ἐν σοὶ γὰρ αἱ φύσεις κεκαινοτόμηνται
καὶ γέγονεν ἄνθρωπος
ὁ πρὸ αἰώνων Θεός·
διό σε ἀπαύστως, Θεοτόκε,
βροτῶν τὸ γένος μεγαλύνομεν.

81

ΑΚΟΛΟΥΘΙΑ ΣΙΝΑΪΤΙΚΗ

Β φ. 56β

Ὠδὴ α'. Ἦχος β'. Ὁ Εἱρμός.

* Τὴν Ἐρυθρὰν διεῖλε ῥάβδῳ Μωσῆς
καὶ δι' αὐτῆς καθωδήγησε
λαὸν Ἰσραηλίτην
τῷ Κυρίῳ ᾄδοντα
ᾆσμα εὐχαριστήριον.

Ὠδὴ γ'

Στερέωσόν με, Χριστέ,
ἐπὶ τὴν ἄσειστον πέτραν τῶν ἐντολῶν σου
πλατύνας τὸ στόμα μου
τοῦ ἀνυμνεῖν τὰς εὐεργεσίας σου.

Ὠδὴ δ'

Τὴν θεοπρεπῆ σου συγκατάβασιν
σὺν τῷ προφήτῃ καὶ ἡμεῖς
θαυμαστικῶς βοῶμεν·
δόξα τῇ δυνάμει σου, Κύριε.

Ὠδὴ ε'

Ὁ ἀνατείλας τὸν ὄρθρον
[καὶ] εὐλογήσας τὸν Ἰακὼβ
τῷ ὑψηλῷ σου βραχίονι,
Χριστὲ ὁ Θεὸς ἡμῶν,
τὴν σὴν εἰρήνην δὸς ἡμῖν.

Ὠδὴ ς'

Περιεχύθη ὕδωρ ἕως ψυχῆς μου
ἀνάγαγέ με ἐκ φθορᾶς ὁ Θεός μου.

Ὠδὴ ζ'

Ὁ ἐν ἀύλῳ πυρὶ
τοὺς νοητοὺς Ἀσσυρίους
καταιρλέξας ὡς Θεὸς
εὐλογητὸς εἶ, Κύριε.

Ὠδὴ θ'

Ἀπειρογάμων τὸ καύχημα,
θεονύμφευτε μῆτερ Χριστοῦ,
εὐφραινομένη ἡ κτίσις κραυγάζει σοι·
χαῖρε κεχαριτωμένη
ὁ Κύριος μετὰ σοῦ,

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

82

[ΑΝΑΣΤΑΣΙΜΟΣ]

Β φ. 57α

(Οἱ εἱρμοὶ τῶν λοιπῶν ᾠδῶν εὑρηνται
ἐν τῷ ἀριθ. 68).

Ὠδὴ θ'

Γένος ἱερόπων, ἄνασσα πάγκλητε,
διὰ σοῦ ἐκ λάκκου ταλαιπωρίας
ἀνωρισθὲν ἐπαξίως
σὲ μεγαλύνομεν.

83

[ΑΝΑΣΤΑΣΙΜΟΣ]
Ποίημα Γεωργίου Ἀνατολικοῦ

Β φ. 57β

Ὠδὴ α'. Ἦχος β'. Ὁ Εἱρμός.

Ἄβυσσον ἄπειρον ἀγεώργητον πάλαι
ὡς χέρσον Ἰσραὴλ καθοδηγούμενος
τρίβον θαλάσσης τὸν Αἰγύπτιον
ὁρῶν τε εἰς αὐτοσχέδιον ὑδατώδη
τάφρον εἰσδύναντα ἔμελπεν·
ἄσωμεν τῷ Κυρίῳ ὅτι δεδόξασται.

Ὠδὴ β'

Ζῶ ἐγώ, λέγει Κύριος,
ὅτι ἐμοὶ πᾶν γόνυ κάμψει
ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων
καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται
τῷ θαυμαστῷ καὶ φιλανθρώπῳ Θεῷ.

Ὠδὴ γ'

Τὴν στειρωθεῖσάν μου ψυχὴν
καρποφορεῖν εὐδόκησον
καὶ στερέωσον εἰς τὸν φόβον σου
ὅτι Θεὸς γνώσεων ὑπάρχεις.

Εἱρμὸς ἄλλος

Στερέωσον, Κύριε, τὰς καρδίας ἡμῶν
εἰς δόξαν καὶ αἶνεσιν
τοῦ ὑμνεῖν σου τὴν ἀγαθότητα·
ἅγιος γὰρ εἶ ὁ Θεός.

Ὠδὴ δ'

Ὁ προφήτης, Κύριε,
κατανοήσας τὰ ἔργα τῆς οἰκονομίας σου
καὶ ἐξιστάμενος φόβῳ
εἰς σωτηρίαν τοῦ λαοῦ σου
ἐλίλυθας ἑβόα σοι·
δόξα τῇ δυνάμει σου.

Ὠδὴ ε'

Ἐξ ἀχλύος τὸ σκότος
τῆς ψυχῆς μου ἀπέλασον·
πρός σὲ γὰρ κατέφυγα
τὸν ἐκ νυκτὸς ἀνατείλαντα
τὸν ὄρθρον τοῦ φωτός.

Ὠδὴ ς'

Βυθὸς με πταισμάτων
ὥσπερ ζάλη κυμάτων
κατέλαβε κλύδων
ἐγὼ δὲ μετὰ φωνῆς
αἰνέσεώς σου
ἄρα προσδήσω τοῦ ἐπιβλέψαι
πρὸς ναὸν ἅγιόν σου.

Ὠδὴ ζ'

Εἰκόνι χρυσῇ
οὐκ εἵλοντο προσκυνεῖν ἐν Βαβυλῶνι
οἱ τρεῖς σου παῖδες, Κύριε,
ἐν ῥοῇ δὲ δροσιζόμενοι
τοῦ πυρὸς κατεπάτουν ἐβόων·
εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Οἱ τῶν Περσῶν σεβάσματα καταπα-
[τήσαντες
καὶ τῇ Χριστοῦ ἐλπίδι ἀεὶ κυρούμενοι
τὴν κάμινον σβέσαντες δυνάμει Τριάδος
θεολογεῖν ἐδίδαξαν τὸν μόνον βασιλέα
οἱ κελαδοῦντες νέοι
καὶ ὡς ἐν θαλάμῳ χορεύοντες
ἐμέλλον εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Ἐκ τρισσοβρύτου πηγῆς
θεῖον γάμα ἀρδευθεῖσα
καρπὸν ἡμῖν, πάναγνε,
ἀειθαλῆ ἀνεβλάστησας
οὐ τῆς ἀρχαίας γεύσεως
τὴν δυσώδη ὄρεξιν
φθοροποιὸν τρυφὴν μετέχοντα
ἀλλὰ τῆς σῆς κυήσεως τὴν ἀμβροσίαν
διό σε μεγαλύνομεν.

84

[ΑΝΑΣΤΑΣΙΜΟΣ]
Ποίημα Ἀνδρέου Τυφλοῦ

Β φ. 59β

Ὠδὴ α'. Ἦχος β'. Ὁ Εἱρμός.

Ἐν νεφέλῃ φωτεινῇ
καὶ στύλῳ πυρὸς
καὶ ῥάβδῳ τῇ μωσαϊκῇ
ποδηγηθεὶς ὁ Ἰσραὴλ
στερεοδίκῳ τῷ ὅπλῳ
θάλασσαν ἔθλασεν·
τὸ τέρμα τῆς ἀθύσσου
καὶ ὕμνον ἀνέμελπε

τῷ λυτρωτῇ ἐπινίκιον
Θεῷ ἡμῶν ἄσωμεν.

Ὠδὴ β'

Κρίσιν ἀληθῆ ποιήσει Κύριος
ἐπὶ τὸν λαὸν ἀδεκάστως
καὶ σώσει τοὺς υἱοὺς αὐτοῦ
παρακληθεὶς ὡς Θεὸς
ἐπὶ τοῖς δούλοις αὐτοῦ.

Ὠδὴ γ'

Στήριξον ἡμᾶς, ὑπεράγαθε,
ἐν τῇ πέτρᾳ τῶν θείων δογμάτων σου
καὶ ἐμπραγείη τῶν λαλούντων
ἀδικίαν τὰ στόματα·
οὐκ ἔστι γὰρ ἅγιος
καὶ οὐκ ἔστι δίκαιος
πλήν σου, φιλάνθρωπε.

Ὠδὴ δ'

Κατανοῶν τὰ ἔργα σου ὁ προφήτης
ἀπὸ Θαιμὰν σε ἤξαντα
προορῶν ἔλεγεν·
ἀκήκοα τὴν ἀκοήν σου
καὶ ἐξέστην, Χριστέ,
δόξα τῇ δυνάμει σου.

Ὠδὴ ε'

Τὴν ἐν σκότει μου ψυχὴν
τῷ φωτισμῷ τῶν ἐντολῶν σου
καταύγασον δέομαι
καὶ ὁδήγησον πρὸς σέ, Χριστὲ ὁ Θεός·
σὺ γὰρ ὑπάρχεις
βασιλεὺς τῆς εἰρήνης.

Ὠδὴ ς'

Ἐκ τῶν ἀνομιῶν μου
ἔδυ ἡ κεφαλή μου
εἰς σχισμὰς ὀρέων·
ἀλλ' ὡς τὸν προφήτην Ἰωνᾶν
ἀνάγαγε καὶ σῶσόν με.

Ὠδὴ ζ'

Ὡς κακοῦργον κήρυγμα καὶ ἀσεβείας
παῖδες οἱ πανάριστοι
τοῦ βασιλέως τῇ πίστει
καὶ ἀπηνὲς μεμαθηκότες
προσῆλθον τῷ πυρὶ
μὴ πτοηθέντες ἀλλ' ἔμελλον·
εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Τρεῖς παῖδες ἐν Βαβυλῶνι
μὴ πειθόμενοι προσκυνῆσαι
τῇ εἰκόνι τῇ χρυσῇ
ἐν τῇ καμίνῳ ἐβλήθησαν
ἡ ἰρωνὴ τῶν ὁσίων
καὶ ἡ βροντὴ τοῦ πυρὸς
ὑπερῆραν τὸν βασιλέα·
ἦκουε γὰρ αὐτῶν ψαλλόντων
εὐλογεῖτε πῦρ καὶ δρόσος τὸν Κύριο

Ὠδὴ θ'

Σὲ τὴν ἀειπάρθενον
καὶ ἀειθαλῆ ἄρουραν
τὴν τὸν ἀγεώργητον στάχυν
Χριστὸν βλαστήσασαν
ἀγεωργήτως τῷ κόσμῳ,
Θεοτόκε, ἀξίως μεγαλύνομεν.

85

[ΑΝΑΣΤΑΣΙΜΟΣ]
Ποίημα Ἀνδρέου Τυφλοῦ

Β φ. 61β

Ὠδὴ α'. Ἦχος β'. Ὁ Εἱρμός.

Ἆσμα καινὸν
ὕμνον ἄσωμεν Χριστῷ
τῷ βασιλεῖ καὶ Θεῷ
τῷ καλύψαντι ὕδωρ
φαραὼ πανστρατιᾷ
καὶ διασώσαντι τὸν Ἰσραὴλ
ἐν θαλάσσῃ Ἐρυθρᾷ.

Ὠδὴ β'

Ἴδετε ἴδετε
ὅτι ἐγώ εἰμι Θεὸς
ὁ συστησάμενος τὴν κτίσιν
τῇ σοφίᾳ μου
καὶ οὐρανοὺς ἐν συνέσει στερεώσας
καὶ ἐδράσας τὴν γῆν ὡς παντοδύναμος.

Ὠδὴ γ'

Ὁ τῷ λόγῳ σου, Κύριε,
οὐρανοὺς ἐν συνέσει πηξάμενος
καὶ τὴν γῆν τοῖς ὕδασι
θεμελιώσας, παντοδύναμε,
στερέωσόν με τῇ σῇ δυνάμει.

Ὠδὴ δ'

Τῆς οἰκονομίας σου τὴν ἀκοὴν
εἰσακήκοα, Χριστέ,
καὶ ἐξέστη μου ἡ διάνοια
ὅτι Θεὸς ὢν
γέγονας ἄνθρωπος.

Ὠδὴ ε'

Τὸν φωτισμὸν τῆς γνώσεώς σου
ἔλλαμψον ἐν ταῖς καρδίαις ἡμῶν
καὶ εἰρήνευσον τὴν ζωὴν ἡμῶν,
Χριστὲ ὁ Θεός,
ὅτι ἐκτός σου ἄλλον οὐκ οἴδαμεν.

Ὠδὴ ς'

Ἐκ βάθους τῆς καρδίας μου, Κύριε, δέο
ὡς ὁ προφήτης Ἰωνᾶς
ἀνάγαγέ μου τὴν ζωήν,

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

σωτήρ, καὶ ῥῦσαι φθορᾶς
ἵνα μετὰ φωνῆς αἰνέσεως θύσω σοι.

Ὠδὴ ζ'

Τῆς χαλδαϊκῆς καμίνου
προστάξει τοῦ τυράννου ἐκκαυθείσης
Χαλδαίους ἐνεπύρισεν ἡ φλὸξ
τοὺς παισὶ δὲ δρόσος ἐγένετο πῦρ
πίστει κραυγάσασιν
εὐλογητὸς εἶ, Χριστέ, εἰς τοὺς αἰῶνας.

Ὠδὴ η'

Οἱ ἐν Βαβυλῶνι παῖδες
προθύμως ἀγαλλόμενοι
ὡς ἐξ ἑνὸς στόματος
ἐκραύγαζον ἐν μέσῳ
καμίνου ἑστῶτες·
εὐλογεῖτε τὸν Κύριον
τὸν μόνον παντουργὸν
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'

Ἐν τῇ θάμνῳ τῆς βάτου
προετύπου σου, πάναγνε,
τὴν θείαν καὶ φωτοφόρον
λοχείαν ἐν Πνεύματι
Μωυσῆς ὁ νομοθέτης
ἣν πίστει προσκυνοῦντες
αὐτήν σε μεγαλύνομεν.

86

Ποίημα Ἀνδρέου Κρήτης

B φ. 62β

Ὠδὴ α'. Ἦχος β'. Ὁ Εἱρμός.

* Τὴν δωδεκάπληγον θάλασσαν
διεπέρασεν ὁ πάλαι Μωσῆς
ὡς ξηρὰν πεζεύσας
ὑπεναντίους δὲ
ἐν αὐτῇ κατεκάλυψεν
ἡ κραταιὰ τοῦ Δεσπότου
ὅτι δεδόξασται.

Ὠδὴ β'

Οὐρανὲ πρόσεχε καὶ ἐνωτίζου ἡ γῆ·
λαλήσω γὰρ Θεοῦ μεγαλουργίαν
τοῦ ἐν ἐρήμῳ κορέσαντος
λαὸν Ἰσραηλίτην
τῇ παντουργῷ δεξιᾷ καὶ ἰσχύϊ
δῶμεν δόξαν αἰνέσεως αὐτῷ
ὡς λυτρωτῇ ἡμῶν.

Ὠδὴ γ'

Ὁ στερεώσας δυνάμει τοὺς οὐρανοὺς
καὶ θεμελιώσας. Λόγε, τὴν γῆν
στερέωσον ἡμᾶς
ἐν τῇ σῇ αἰνέσει.

Ὠδὴ δ'

Ἀκηκοὼς ὁ Ἀββακοὺμ
τὰ παράδοξα τεράστια
τῆς σῆς ἐνανθρωπήσεως
προβλέπων ἀνεβόα·
ἐν τῷ ἐγγίζειν τὰ ἔτη
ἐπιγνωσθήσῃ, Χριστέ,
εἰς σωτηρίαν λαοῦ σου
δόξα τῇ δυνάμει σου.

Ὠδὴ ε'

Ὁρθριζόντες ἐκ νυκτὸς ὁ Θεὸς ἡμῶν
δοξάζομέν σε
τὴν εἰρήνην παρέχον ταῖς ψυχαῖς ἡμῶν.

Ὠδὴ ς'

Περιεκύκλωσάν με
ὡς ποταμοὶ ἐν καρδίᾳ θαλασσῶν
τὰ βάθη τῶν ἀνομιῶν
ἀλλὰ βοῦ σοι, Κύριε ὁ Θεός,
σῶσόν με τῇ φιλανθρωπίᾳ σου.

Ὠδὴ ζ'

Κάμινος χαλδαϊκὴ
ἐν Βαβυλῶνι τοὺς παῖδας
ἀλωβήτους διεφύλαξεν
ὡς ἐξ ἑνὸς στόματος κραυγάζοντας·
εὐλογητὸς εἶ, Χριστέ,
ὁ Θεὸς ὁ ὑπερένδοξος.

Ὠδὴ η'

Τῷ τῆς εὐσεβείας πυρὶ
τὴν βαβυλώνιον φλόγα
τροπωσάμενοι παῖδες
καὶ ταύτην τῇ τοῦ Πνεύματος
κατενιάσαντες δρόσῳ [ἔψαλλον]·
πάντα τὰ ἔργα ὑμνεῖτε
τὸν Κύριον ἀπαύστως
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Ἡ ἀπαράλλακτος εἰκὼν
ὁ υἱὸς τοῦ Θεοῦ
τὸ ἀπαύγασμα τῆς δόξης τοῦ πατρὸς
ὁ μόνος ἐκ μόνου μονογενὴς
ἐκ σοῦ, Παρθένε,
ἀνατέταλκε σαρκὶ
ὃν οἱ πιστοὶ κατὰ χρέος μεγαλύνομεν.

87

ΕΙΣ ΤΗΝ ΓΕΝΝΗΣΙΝ ΤΟΥ ΠΡΟΔΡΟΜΟΥ

Ποίημα Κυπριανοῦ μοναχοῦ

B φ. 63β

Ὠδὴ α'. Ἦχος β'. Ὁ Εἱρμός.

* Θάλασσαν τὴν Ἐρυθρὰν διέτεμε

τοῦ προφήτου σου ἡ ῥάβδος·
πάντος γὰρ ἐκάλυψε
τοὺς ὑπεναντίους κλύδωνι
Ἰσραὴλ σεσωσμένος
ᾄδει σοι, Κύριε.

Ὠδὴ γ'

Ρανάτωσαν ὕδωρ ζωηρὸν
αἱ νεφέλαι Χριστοῦ τοῦ Θεοῦ
προφητῶν τὸ θεῖον σύστημα
τὰ τοῦ Πνεύματος μυστήρια
ὅτι σήμερον ἐτέχθη
λύχνος ἐπὶ γῆς ὁ μέγας Πρόδρομος
στερεῶν πρὸς τὴν χάριν
τῶν γηγενῶν τὸ πλήρωμα.

Ὠδὴ δ'

Ὁ προφήτης, Κύριε,
ἀκήκοε τὴν ἀκοήν σου,
εὐσπλαγχνε σωτήρ,
καὶ ἐξιστάμενος ἐκραύγαζε·
διεθρύβη τὰ ὄρη καὶ οἱ βουνοὶ τῶν εἰδώλων·
ἐξ ὄρους γὰρ προῆλθεν
ὁ Κύριος τῆς δόξης
καὶ τούτου προτρέχει
σήμερον ὁ μέγας Ἰωάννης·
διὸ πιστοὶ βοήσωμεν
δόξα τῇ δυνάμει σου, Κύριε.

Ὠδὴ ε'

Μέσον ἀνέδειξας τοῦ ὀλεθρίου σκότους
ἀειλαμπῆ ἀστέρα τὸν Πρόδρομον
τοὺς ἐκ νυκτὸς ἀγνωσίας
πρὸς φῶς ἀνακαλούμενον.

Ὠδὴ ς'

Πλθον εἰς ἐσχάτην ἄβυσσον
τῶν ἐμῶν ὁρλημάτων, Κύριε,
καὶ καταιγίς με ταράττει
πολλῶν ἁμαρτημάτων·
τῷ σῷ εὐσπλάγχνῳ ὄμματι
ἐπιβλέψας διάσωσόν με
ὥσπερ πάλαι τὸν προφήτην τῇ δεξιᾷ σου.

Ὠδὴ ζ'

Λοιμικτήτων παίδων πεῖραν ἀπείληφεν
ἀνθεστηκὼς ὁ τύραννος
τοῦ Θεοῦ τοῖς ἐντάλμασιν
ἐν τῇ καταιγίδι τῆς φλογὸς
πεπεδημένους κατακρίνας
ἤσθετο ἐμμανῶς
τὴν ἄλωσιν ἐλπίζων
τῶν νέων ἐν τῇ καμίνῳ
αὐτοὶ δὲ δροσισθέντες
ὕμνον ἀνέμελπον·
εὐλογητὸς εἶ, Κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Σεβάσματος χρυσοῦ
ἐν Δειρᾷ κατέπτυσαν οἱ θεῖοι παῖδες
τοῦ βασιλέως Χριστοῦ
περιφέροντες τὸ ὄνομα
τὴν κάμινον χαίροντες
προσωμίλησαν ᾄλλοντες·
πάντα τὰ ἔργα εὐλογεῖτε τὸν Κύριον
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Εὐκλεές σου τὸ θαῦμα,
Θεοτόκε πανύμνητε,
σὺ γὰρ μόνη γυναικῶν
ὤφθης ὑπερένδοξος
καὶ τῶν ἄνω χορῶν θαυμαστοτέρα
ὅτι ἔτεκες Θεὸν τὸν ἀναλλοίωτον·
διὸ σέ, ἀπειρόγαμε,
καὶ τὸν ἐκ σοῦ προελθόντα
ἀπαύστως μεγαλύνομεν.

88

ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΒΑΡΒΑΡΑΝ

Ποίημα Στεφάνου [Σαββαΐτου]

B φ. 69α

Ὠδὴ α'. Ἦχος β'. Ὁ Εἱρμός.

* Τερατουργῶν ὁ Μωυσῆς τὰ ἐξαίσι
λαὸν ἐξάγει διὰ θαλάσσης ὡς διὰ ξηρᾶ
καὶ καλύπτει διώκων
παναστρατὶ Φαραὼ
ὡς τῆς κακίας ὑπουργόν·
ἐπινίκιον ἄσωμεν λαοὶ
τῷ Θεῷ ἡμῶν ἄσμα
ὅτι δεδόξασται.

Ὠδὴ γ'

Στερέωσόν με, Χριστέ, ὁ στερεώσα
τῷ λόγῳ τῷ σῷ τοὺς οὐρανοὺς
ὑψώσας μου τὸ κέρας
πλάτυνόν μου τὸ στόμα
τοῦ βοᾶν σοι ἀπαύστως
ἅγιος εἶ, Κύριε.

Ὠδὴ δ'

Τὸ παράδοξον θαῦμα καὶ δυσθεώρητο
τῆς ἐλεύσεώς σου, Κύριε,
προφητικοῖς ὁ Ἀββακοὺμ ὄμμασι
κατανοήσας ἐβόα·
[δόξα] τῇ δυνάμει σου.

Ὠδὴ ε'

Πρὸς σὲ ὀρθρίζω
τὸν τῆς εἰρήνης χορηγόν,
Χριστὲ ὁ Θεός,

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

τῆς ζοφερᾶς ἀγνοίας με ῥυσάμενος
τῷ φωτὶ τῶν ἐντολῶν σού με καθοδήγησον.
Ὠδὴ ϛ'
Εἰς πυθμένα ἅδου τὸν τῆς ἁμαρτίας
ὁ τάλας καταδέδυμαι
ὡς ποτὲ ὁ Ἰωνᾶς,
Ἰησοῦ, ἀνακράζω σοι
ἐκ φθορᾶς ἀναβήτω
ἡ ζωή μου πρὸς σὲ τὸν οἰκτίρμονα.
Ὠδὴ ζ'
Τὸ βαβιλώνιον ἄψυχον πῦρ
ἔμψυχον κατεγέλασε·
τοῦ γὰρ δημιουργοῦ τὸ κράτος τιμῶν
τοὺς μὲν δυσσεβεῖς κατέφλεξε
τοὺς ὁσίους δὲ διετήρησε παῖδας
ἀληθινῶς προσκυνοῦντας
τὸν ὑπερύμνητον τῶν πατέρων
Θεὸν καὶ ὑπερένδοξον.
Ὠδὴ η'
Ἔσβεσαν δύναμιν πυρὸς
οἱ αἰχμάλωτοι παῖδες
κατωφρονήσαντες τοῦ κράτους τοῦ δυσ-
[σεβοῦς·
διὸ καὶ ἀνέμελπον·
εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.
Ὠδὴ θ'
Σὲ τὴν ἀνωτέραν τῶν οὐρανίων δυνάμεων
τὴν μόνην ἀπειρόγαμον
οἱ πιστοὶ Θεοτόκον μεγαλύνομεν.

89

ΕΙΣ ΤΟΥΣ ΑΓΙΟΥΣ ΤΕΣΣΑΡΑΚΟΝΤΑ

Β φ. 71α

Ὠδὴ α'. Ἦχος β'. Ὁ Εἱρμός.

* Λεῦτε λαοὶ συμφώνως
ἐν τῇ μνήμῃ τῶν ἁγίων
μετὰ τῶν ἀσωμάτων
ἄσωμεν τῷ Κυρίῳ·
ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ β'

Οὐρανός μοι ἄκουε
ἅμα ἡ ἤπειρος ἐνωτίζου·
ἄξω εἰς μέσον γὰρ Θεοῦ μεγαλουργίαν
τῶν μαρτύρων τοὺς ἄθλους
σήμερον εὔσημον.

Ὠδὴ γ'

Στερέωσον τὸν νοῦν μου εἰς τὸ θέλημά σου,
μόνε φιλάνθρωπε,
καὶ στήριξον δέομαι
τῶν μαρτύρων σου πρεσβείαις τὴν καρ-
[δίαν μου
καὶ σώσαντι ἡμᾶς
τῇ ἀναστάσει αὐτοῦ.

Ὠδὴ γ'

Σταυροῦ τὸ ξύλον
εἰς ἡμῶν σωτηρίαν ἐδωρήσω,
μόνε σωτήρ, τῶν ὑμνούντων σε.

Εἱρμὸς ἄλλος

Σαλευομένων βάσις
καταπιπτόντων στάσις
σὺ εἶ, Χριστέ,
στήριξον ἐν πέτρᾳ με σῶν ἐντολῶν
ὁ σταυρὸν ὑπομείνας καὶ ἀναστὰς
ἵνα πόθῳ σοι κραυγάζω·
ἅγιος καὶ δίκαιος
οὐκ ἔστι πλήν σου, Κύριε.

Ὠδὴ δ'

Κατανοῶν τὰ ἔργα σου ὁ προφήτης
ὅτι σταυρὸν ὑπέμεινας
καὶ τὸν κόσμον ἔσωσας
ἐβόα σοι, σωτήρ, ἐν παρρησίᾳ·
ἡ ἀρετή σου, Χριστέ,
τοὺς οὐρανοὺς ἐκάλυψεν.

Εἱρμὸς ἄλλος

Θεοπτικῶς ὁ Ἀββακοὺμ
σταυρούμενόν σε προβλέπων ἐπήρθη
ὁ ἥλιος, ἐβόα, Χριστέ,
καὶ ἡ σελήνη ἔστη
ἡ ἐκκλησία ἐν τῇ τάξει τῆς πίστεως
δόξα τῇ δυνάμει σου, Κύριε.

Ὠδὴ ε'

Ὁ τῷ αἵματί σου, Χριστέ,
εἰρηνοποιήσας τὰ πρὶν διεστῶτα
τὴν σὴν εἰρήνην δὸς ἡμῖν·

Ὠδὴ ϛ'

Τύπος τῆς τριημέρου σου ταφῆς
καὶ τῆς ἀναστάσεως, Δέσποτα,
ὑπάρχων ὁ Ἰωνᾶς
τῷ κήτει κατεπόθη
καὶ ᾐάλλων ἀνεβόα·
ἀναβήτω ἐκ φθορᾶς
ἡ ζωή μου πρὸς σέ, Κύριε.

Ὠδὴ ζ'

Σύντριμμα καὶ τὴν ταλαιπωρίαν
λάσω ἡμῶν
διὰ ξύλου τοῦ σταυροῦ σου·
ὡς οἱ παῖδες μέλπομεν
ἐν τῷ ναῷ τῆς δόξης σου·
εὐλογητὸς εἶ, Χριστέ,
ἡ πάντων ζωή.

Ὠδὴ η'

Οἱ Σιωνῖται τρεῖς παῖδες
ἐν τῇ καμίνῳ βληθέντες
ὡς ἐν θαλάμῳ ἔψαλλον·

τὰ ἔργα εὐλογεῖτε
τὸν μεταποιήσαντα
τὴν κάμινον εἰς δρόσον
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Τὸν ἐν σταυρῷ ὑψωθέντα ὡς ἄνθρω.
μητρικῶς ἡ Παρθένος σὺν δάκρυσι
θερμῶς ἀνεκαλεῖτο
τί ἔδυς ἐξ ὀφθαλμῶν μου
ὁ ἥλιος τῆς δόξης ;
οἴμοι ! οὐ φέρω καθορᾶν σε
ἀδίκως ἐπὶ ξύλου·
τιτρώσκει γὰρ τὴν καρδίαν μου
τῆς σῆς πλευρᾶς ἡ λόγχη·
δός μοι λόγον, Λόγε,
υἱέ μου καὶ Θεέ μου,
ὅπως ἐν τῇ σῇ ἀναστάσει
μεγαλυνθήσωμαι.

91

[ΑΝΑΣΤΑΣΙΜΟΣ]

Ποίημα Ἰωάννου μοναχοῦ

Β φ. 38α

Ὠδὴ δ'. Ἦχος β'. Ὁ Εἱρμός.

* Κατανοῶν τὸ μυστικὸν
τῆς ἐλεύσεώς σου, Κύριε,
προφητικῶς ὁ Ἀββακοὺμ ἐκραύγαζ
χαρήσομαι ἐν σοὶ
τῷ Θεῷ τῷ σωτῆρι μου.

Ὠδὴ ε'

Ὁ τῷ αἵματί σου, Χριστέ,
εἰρηνοποιήσας τὰ πρὶν διεστῶτα
τὴν σὴν εἰρήνην δὸς ἡμῖν.

Εἱρμὸς ἄλλος

Ὀρθρίζομεν πρὸς σὲ
τὸ φῶς τὸ ἐκ φωτὸς
ἀκαταλήψιας γνόφῳ καλυπτόμενον
καὶ καθαρῶς τοῖς σὲ ποθοῦσιν ἐκκαλυπτ.
[μενο

Ὠδὴ ϛ'

Ἐν τῇ φλογοφόρῳ καμίνῳ
ὡς ἐν δροσοπόκῳ νεφέλῃ
ὑπῆρχον οἱ παῖδες ἐν Βαβυλῶνι
εὐλογοῦντές σε τὸν Κύριον
τὸν ὑπερένδοξον Θεὸν
καὶ σωτῆρα τῶν πάντων.

Ὠδὴ η'

Τὸν ἐν σοφίᾳ κατ' ἀρχὰς
τὰ πάντα συστησάμενον
καὶ ἐπ' ἐσχάτων ἡμερῶν

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

καινὴν κτίσιν ἀναπλάσαντα
καὶ ἐν πέτρᾳ τῆς πίστεως
τὴν ἐκκλησίαν οἰκοδομήσαντα
εὐλογεῖτε τὰ ἔργα
Κυρίου τὸν Κύριον.

Ὠδὴ θ'

Ἐκ μήτρας παρθενικῆς
ὡς ἐξ οὐρανίου πύλης
ἀνέτειλεν ἥλιος τῆς δικαιοσύνης
Χριστὸς ὁ Θεὸς ἡμῶν
καὶ κεκλεισμένη πάλιν
ἡ πύλη διέμεινεν
ἣν ἀκαταπαύστως
πιστοὶ μεγαλύνομεν.

92

Ποίημα Ἰωάννου μοναχοῦ

Β φ. 39

Ὠδὴ β'. Ἦχος β'. Ὁ Εἱρμός.

Θεὸς ἀληθινὸς ἐγώ εἰμι
ὁ ἐν Ἰορδάνῃ συντρίψας
κεφαλὰς τῶν ἀοράτων δρακόντων
καὶ τὸν Ἀδὰμ ἀναπλάσας
τὸν πάλαι φθαρέντα
τῇ παραβάσει διὰ τοῦ ὄφεως.

Εἱρμὸς ἄλλος

Ἴδετε γνῶτε
θαυμαστὰ τεράστια
ἐν Ἰορδάνῃ ἐκτελούμενα·
ὁ γὰρ θάλασσαν τῷ νεύματι ποιήσας
τῶν ἀνθρώπων τὸ γένος
ὕδασιν ἀνεκάθηρεν.

93

ΕΙΣ ΤΑΣ ΜΥΡΟΦΟΡΟΥΣ

Ποίημα Ἀνδρέου Κρήτης

Λ φ. 45

Ὠδὴ β'. Ἦχος β'. Ὁ Εἱρμός.

Ἴδετε ἴδετε
ὅτι ἐγώ εἰμι Θεὸς
ὁ Μυροφόροις γυναιξὶ
προϋπαγτήσας ἐν χαρᾷ
ἐγηγερμένος ἐκ τάφου
θείᾳ δυνάμει ὡς φιλάνθρωπος.

94

ΠΡΟΕΟΡΤΙΟΣ
ΤΗΣ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΕΩΣ

Λ φ. 44

Ὠδὴ α'. Ἦχος β'. Ὁ Εἱρμός.

Ἄσωμεν τῷ Κυρίῳ πᾶσα ἡ γῆ·
ξένον γὰρ τὸ θαῦμα
ὅτι λαὸν ἀβρόχους
θαλάσσης μέσον ἤγαγε
καὶ Αἰγυπτίους ἐχθροὺς
ὕδατι κατεπόντισεν.

ΕΙΡΜΟΙ Γ' ΗΧΟΥ

95

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Ἰωάννου μοναχοῦ.

Α φ. 64α. Β φ. 74α

Ὠδὴ α'. Ἦχος γ'. Ὁ Εἱρμός.

Ὁ τὰ ὕδατα πάλαι
νεύματι θείῳ
εἰς μίαν συναγωγὴν συναθροίσας
καὶ τειμὼν θάλασσαν
Ἰσραηλίτῃ λαῷ
οὗτος ὁ Θεὸς ἡμῶν
δεδοξασμένος ὑπάρχει·
αὐτῷ μόνῳ ἄσωμεν
ὅτι δεδόξασται.

Ὠδὴ γ'

Ὁ ἐκ μὴ ὄντων τὰ πάντα παραγαγὼν
τῷ λόγῳ κτιζόμενα
τελειούμενα Πνεύματι,
Παντοκράτορ ὕψιστε,
ἐν τῇ ἀγάπῃ τῇ σῇ στερέωσόν με.

Ὠδὴ δ'

Ἔλθου πρὸς ἡμᾶς
κραταιὰν ἀγάπησιν, Κύριε,
τὸν μονογενῆ γάρ σου υἱὸν
ὑπὲρ ἡμῶν εἰς θάνατον δέδωκας·
διό σοι κραυγάζομεν εὐχαριστοῦντες
δόξα τῇ δυνάμει σου.

Ὠδὴ ε'

Πρὸς σὲ ὀρθρίζω
τὸν τοῦ πατρὸς δημιουργὸν
τὴν ὑπερέχουσαν πάντα νοῦν εἰρήνη
διότι φῶς τὰ προστάγματά σου
ἐν οἷς με καθοδήγησον.

Ὠδὴ ς'

Ἄβυσσος ἐχθρὰ ἁμαρτιῶν
ἐκύκλωσέ με καὶ ἐκλείπει τὸ πνεῦμά μ
ἀλλ' ἐκτείνας, Δέσποτα,
σὸν ὑψηλὸν βραχίονα
ὡς τὸν Πέτρον με,
κυβερνῆτα, διάσωσον.

Ὠδὴ ζ'

Ὡς πάλαι τοὺς εὐσεβεῖς
τρεῖς παῖδας ἐδρόσισας
ἐν τῇ φλογὶ τῇ χαλδαϊκῇ
τῷ φωτιστικῷ τῆς θεότητος πυρὶ
καὶ ἡμᾶς καταύγασον
εὐλογητὸς εἶ κράζοντας
ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Τὸν συμβολικῶς
ἐν ἀγγέλου ὀρθέντα μορφῇ
καὶ παῖδας δροσίσαντα
ἐν μέσῳ καιομένης φλογὸς
εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον

Ὠδὴ θ'

Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον
σεσαρκωμένον ἀσπόρως,
Παρθένε, τέτοκας
τὸν ἐκ πατρὸς ἀμήτορα
νῦν δὲ ἐκ σοῦ ἀπάτορα
ὃν ἀπαύστως ἐν ὕμνοις
θεολογοῦντες μεγαλύνομεν.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

96

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Ἰωάννου μοναχοῦ

Α φ. 65α. Β φ. 75α

Ὠδὴ α'. Ἦχος γ'. Ὁ Εἱρμός.

Ἆσμα καινὸν ἄσωμεν λαοὶ
τῷ ἐκ Παρθένου τεχθέντι
εἰς σωτηρίαν ἡμῶν
καὶ ἑνοποιήσαντι
τοῖς ἐπουρανίοις τὰ ἐπίγεια
ὅτι δεδόξασται.

Ὠδὴ γ'

Τόξον ἔθραυσας ἐχθροῦ
καὶ θυρεοὺς συνέτριψας
ἐν ἰσχύϊ, Δέσποτα Χριστέ,
τὸ στερέωμα ἡμῶν,
ἅγιος εἶ, Κύριε.

Ὠδὴ δ'

Τὸ ξένον καὶ ἀπόρρητον
τοῦ τόκου σου μυστήριον
εἰσακήκοα καὶ ἐφοβήθην
καὶ γεγηθὼς κραυγάζω σοι·
τῇ δυνάμει σου δόξα, φιλάνθρωπε.

Ὠδὴ ε'

Ἐπὶ τῆς γῆς
ὁ ἀόρατος ὤφθης
καὶ τοῖς βροτοῖς
ἑκὼν συνανεστράφης
ὁ ἀκατάληπτος·
καὶ πρὸς σὲ ὀρθρίζοντες
ἀνυμνοῦμέν σε, φιλάνθρωπε.

Ὠδὴ ϛ'

Σκηνώσεως Ἰωνᾶς
τῆς ἐν κατωτάτου ἅδου
τῆς φύσεως σύμβολον
γεγονὼς ἐβόα· ἀνάγαγε
ἐκ φθορᾶς τὴν ζωήν μου, φιλάνθρωπε.

Ὠδὴ ζ'

Σοβαρὸς ὁ τύραννος
ἀλλὰ παίδων γέγονεν ἄθυρμα
ὥσπερ γὰρ χοῦν πατήσαντες
τὴν ἑπταπλάσιον φλόγα ἔψαλλον·
εὐλογητὸς εἶ, Κύριε,
ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Ἐνύλου φλόγα πυρὸς
δι' ἀΰλου κατεμάραναν
θεοφορούμενοι παῖδες καὶ ἔψαλλον·
εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Οἱ τῷ γλυκεῖ
τοῦ ἀχράντου σου τόκου
βέλει τρωθέντες, ἁγνή,
σοῦ τὸ ἀξιέραστον
κάλλος θαυμάζοντες
ἄσμασιν ἀγγελικοῖς ἐπαξίως σε
ὡς μητέρα Θεοῦ μεγαλύνομεν.

97

Ποίημα Ἰωάννου μοναχοῦ

Α φ. 66α. Β φ. 77β

Ὠδὴ α'. Ἦχος γ'. Ὁ Εἱρμός.

* Τῷ ἐν θαλάσσῃ Ἐρυθρᾷ
τὸν Φαραὼ σὺν ἅρμασι καταποντίσαντι
καὶ ἐν ἐρήμῳ τὸν λαὸν
ἐν τῇ νεφέλῃ τοῦ φωτὸς καθοδηγήσαντι
ἄσωμεν ἆσμα καινόν·
ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ γ'

Μετὰ τῶν παρανόμων
μὴ συναπολέσῃς με, Κύριε,
ἀλλὰ τὸν λογισμόν μου στερέωσον
ἵνα κἀγὼ ὥσπερ Ἄννα ἡ προφῆτις βοῶ·
ἐν Κυρίῳ Θεῷ μου
εὐφράνθη ἡ καρδία μου.

Ὠδὴ δ'

Ἀπὸ Θαιμὰν ἥξει καὶ ὄρους
ἀπὸ δασέος Παρθένου μητρὸς
προφητικῶς ὁ Ἀββ[illegible]
[illegible] φθέγγετο
τὴν πρὸς ἡμᾶς σου τοῦ Λόγου
συγκατάβασιν δηλῶν·
διὸ βοῶμέν σοι·
δόξα τῇ δυνάμει σου, φιλάνθρωπε.

Ὠδὴ ε'

Ἐκ νυκτὸς ὀρθρίζοντες
σοὶ δόξαν ἀναπέμπομεν
τῷ ἐλθόντι ἐπὶ γῆς
σῶσαι πεπλανημένους
σωτὴρ τῶν ψυχῶν ἡμῶν,
ἐλέησον ἡμᾶς.

Ὠδὴ ϛ'

Περιεχύθη ὕδωρ
πειρασμῶν καὶ θλίψεων
ἕως ψυχῆς μου ἄβυσσος
ἐκύκλωσέ με ἀνομίας
ἐκ τοῦ βυθοῦ με ἀνάγαγε
ὁ Θεὸς καὶ σῶσόν με.

Ὠδὴ ζ'

Τὸ πρὶν εἰκόνι τῇ χρυσῇ
περσικῷ σεβάσματι
παῖδες οὐ προσεκύνησαν
τρεῖς ὑμνοῦντες ἐν μέσῳ τῆς καμίνου
τῶν πατέρων ὁ Θεὸς εὐλογητός εἶ.

Ὠδὴ η'

Πῦρ χαλδαϊκῆς καμίνου
ἐδρόσισας, σωτὴρ παντοδύναμε,
καὶ παῖδας διεφύλαξας ἐν μέσῳ αὐτῆς
ὑμνοῦντας καὶ λέγοντας·
εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ'

Καινὸν τὸ θαῦμα καὶ θεοπρεπές·
τῆς Παρθένου γὰρ τὴν κεκλεισμένην πύλην
σαφῶς διοδεύει Κύριος
γυμνὸς ἐν εἰσόδῳ
καὶ σαρκοφόρος ὤφθη ἐν ἐξόδῳ Θεὸς
καὶ μένει ἡ πύλη κεκλεισμένη·
ταύτην ἀφράστως
ὡς Θεομήτορα μεγαλύνομεν.

98

Ποίημα Ἰωάννου μοναχοῦ

Α φ. 67α. Β φ. 76α

Ὠδὴ α'. Ἦχος γ'. Ὁ Εἱρμός.

Τῷ διασώσαντι Θεῷ
ἐν θαλάσσῃ λαὸν
καὶ βυθίσαντι τοὺς ὑπεναντίους
αὐτῷ μόνῳ ἄσωμεν
ὅτι δεδόξασται.

Ὠδὴ γ'

Στηριγμὸν καὶ ἱλασμὸν
παράσχου ἡμῖν, υἱὲ τοῦ Θεοῦ,
καὶ σῶσον ἡμᾶς ὡς φιλάνθρωπος.

Ὠδὴ δ'

Τοὺς οὐρανοὺς ἐκάλυψεν
ἡ ἀρετή σου, Χριστέ,
οὐχ ἁρπαγμὸν ἡγήσω γὰρ
τὸ εἶναι ἴσα Θεῷ
ἀλλ' ἑαυτὸν ἐκένωσας
μορφὴν δούλου λαβὼν
δόξα τῇ δυνάμει σου, Κύριε.

Ὠδὴ ε'

Ἐκ νυκτὸς ὀρθρίζοντες
ἀνυμνοῦμέν σε, Χριστὲ ὁ Θεός,
καὶ δεόμεθά σου, φιλάνθρωπε,
σῶσον ἡμᾶς τῇ δυνάμει τοῦ σταυροῦ σου.

Ὠδὴ ϛ'

Ὁ Ἰωνᾶς γέγονε
τῆς ταφῆς σου τύπος, Χριστὲ ὁ Θεός,
ἀνάγαγε κράζων σοι
ἐκ φθορᾶς τὴν ζωήν μου, φιλάνθρωπε.

Ὠδὴ ζ'

Ὁ ἐν Βαβυλῶνι, Χριστέ,
τοὺς σοὺς ὑμνολόγους
ἐκ φλογὸς καιομένης
ἀγγέλου ἐπιστασίᾳ σώσας
εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν

Ὠδὴ η'

Βαβυλωνία κάμινος
τοὺς παῖδας οὐκ ἔφλεξεν
οὐδὲ τῆς θεότητος πῦρ
τὴν Παρθένον διέφθειρε·
διὸ μετὰ τῶν παίδων, πιστοί, βοήσωμεν·
εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ'

Τὸ ἀλατόμητον ὄρος
τὴν ἀκρότομον πέτραν
ἣν ἐθεάσατο Δανιὴλ ὁ προφήτης
τὴν Θεοτόκον Μαρίαν
ὕμνοις μεγαλύνομεν.

99

Ποίημα Ἰωάννου μοναχοῦ

Α φ. 68α. Β φ. 77α

Ὠδὴ α'. Ἦχος γ'. Ὁ Εἱρμός.

* Τοὺς υἱοὺς Ἰσραὴλ διέσωσας, Κύριε,
ἐν Ἐρυθρᾷ θαλάσσῃ
καὶ τοὺς ὑπεναντίους
τῷ βραχίονί σου ἐβύθισας
καὶ δοξάζομέν σε ἐν αἰνέσει.

Ὠδὴ γ'

Ἄγονον ἔχων ψυχὴν καὶ παρειμένην
ξένος ὑπάρχων ἀρετῶν εὐτεκνίας
ὥσπερ τῆς Ἄννης τὸν κλαυθμὸν μελῳδῶ
[σοι·
τὸ ἐγκάρδιον ὄμμα, Χριστέ μου, πρόσχες
ὅπως γένωμαι εὔπαις τῇ σῇ ἀγάπῃ.

Ὠδὴ δ'

Τί ἐξέστης Ἀββακοὺμ
τίνι κραυγάζεις καὶ βοᾷς
ἀπὸ Θαιμὰν ἥξει ὁ Θεός ;
ὁ Λόγος σὰρξ ἐγένετο
καὶ ἐσκήνωσεν ἐν ἡμῖν
καὶ ἐθεασάμεθα τρανῶς
τὴν δόξαν αὐτοῦ.

Ὠδὴ ε'

Ἐκ νυκτὸς τὸν ὕμνον ἀναπέμπομέν σοι,
Λόγε ἀκατάληπτε.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

Ὠδὴ ϛ'
Ἐβόησα ἐν ὅλῃ καρδίᾳ μου
ἐπάκουσόν μου, Κύριε ὁ Θεός μου.
Ὠδὴ ζ'
Ὁ ἐν Βαβυλῶνι, Χριστέ,
τοὺς σοὺς ὑμνολόγους
ἐκ φλογὸς καιομένης
ἀγγέλου ἐπιστασίᾳ σώσας
εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.
Ὠδὴ η'
Τὸν ἐν καμίνῳ ὀφθέντα
ὁσίους δὲ δροσίσαντα παῖδας
μορφῇ Θεοῦ ὑμνεῖτε
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
Ὠδὴ θ'
Ὁ ἐκ Παρθένου προελθὼν
ὥσπερ νυμφίος ἐκλάμπων θεότητι
ὁδὸν ἡμῖν ἔδραμες
ὡς γηγενὴς ὁ ὑπέρθεος·
διό σε μεγαλνομεν.

100

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Κοσμᾶ μοναχοῦ

Α φ. 68β. Β φ. 78β

Ὠδὴ α'. Ἦχος γ'. Ὁ Εἱρμός.
Τεμνομένην θάλασσαν ῥάβδῳ
πάλαι Ἰσραὴλ διῆλθεν ὡς ἐν ἐρήμῳ
ὅτι σταυροῦ τύπος ἐμφανῶς
προωδοποίει τρίβον·
διὰ τοῦτο ἄσωμεν ἐν αἰνέσει
τῷ θαυμαστῷ Θεῷ ἡμῶν
ὅτι δεδόξασται.
Ὠδὴ γ'
Ὁ τὴν γῆν θεμελιῶν
ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς
καὶ οὐρανοὺς ἐν συνέσει στερεώσας
στερέωσον καὶ ἡμᾶς
τοὺς πίστει ἀνυμνοῦντάς σε.
Ὠδὴ δ'
Μυστικῶς σου προθεωρῶν
ὁ Ἀββακοὺμ τὴν ἔμφρικτον
οἰκονομίαν, Κύριε, φησὶ
δύναμις καὶ ἰσχύς μου
εἰσακήκοα τὴν ἀκοήν σου
καὶ κατανοήσας
τὰ θαυμάσιά σου δοξάζω σε.
Ὠδὴ ε'
Κράζω σοι, Χριστέ,
ὕμνον ἀσιγήτως
ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου·
σὺ γὰρ τὸ φῶς τὸ ἀληθινὸν καὶ ἄδυτον
τὸ φωτίζον πάντα ἄνθρωπον
εἰς τὸν κόσμον ἐρχόμενον.
Ὠδὴ ϛ'
Ἀνάγαγε ἐκ φθορᾶς με, Κύριε ὁ Θεός μου,
ὁ Ἰωνᾶς ἐβόα κἀγὼ βοῶ σοι·
ἐκ τοῦ βυθοῦ ῥῦσαί με, σωτήρ,
τῶν πολλῶν μου δεινῶν
καὶ πρὸς φῶς τὸ σὸν
δέομαί σου καθοδήγησον.
Ὠδὴ ζ'
Ῥάβδος καὶ πῦρ
ὑπὲρ φύσιν τόκον προεξεικόνιζον·
ἐκ ξηρᾶς γὰρ ῥάβδου καρπὸς
ἐκ καμίνου δὲ δρόσος προήρχετο
τοῖς πίστει βοῶσιν
εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων [ἡμῶν.
Ὠδὴ η'
Λατρεύειν ζῶντι Θεῷ
οἱ ἐν Βαβυλῶνι παῖδες καρτερήσαντες
μουσικῶν ὀργάνων κατεφρόνησαν
καὶ φλογὸς μέσον ἑστῶτες
θεοτερπῆ ὕμνον ἀναμέλποντες ἔλεγον
εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.
Ὠδὴ θ'
Τὴν ἐν βάτῳ καὶ πυρὶ
προγραφεῖσαν ἐν Σινᾷ
τῷ νομοθέτῃ Μωσῇ
καὶ τὸ θεῖον ἐν γαστρὶ
ἀφλέκτως συλλαβοῦσαν πῦρ
τὴν ὁλόφωτον καὶ ἄσβεστον λαμπάδα
τὴν ὄντως Θεοτόκον
ἐν ὕμνοις τιμῶντές σε μεγαλύνομεν.

101

ΕΙΣ ΤΗΝ ΥΠΑΠΑΝΤΗΝ

Ποίημα Κοσμᾶ μοναχοῦ

Α φ. 70α

Ὠδὴ α'. Ἦχος γ'. Ὁ Εἱρμός.
Χέρσον ἀβυσσοτόκον πέδον ἥλιος
ἐπεπόλευσε ποτέ·
ὡσεὶ τεῖχος γὰρ ἐπάγη
ἑκατέρωθεν ὕδωρ
λαῷ πεζοποντοποροῦντι
καὶ θεαρέστως μέλποντι·
ἄσωμεν τῷ Κυρίῳ
ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ γ'
Τὸ στερέωμα
τῶν ἐπὶ σοὶ πεποιθότων
στερέωσον, Κύριε, τὴν ἐκκλησίαν
ἣν ἐκτήσω τῷ τιμίῳ σου αἵματι.
Ὠδὴ δ'
Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετή σου, Χριστέ,
τῆς κιβωτοῦ γὰρ προελθὼν
τοῦ ἁγιάσματός σου
τῆς ἀφθόρου μητρὸς
ἐν τῷ ναῷ τῆς δόξης σου
ὤφθης ὡς βρέφος
ἀγκαλοφορούμενον
καὶ ἐπληρώθη τὰ πάντα
τῆς σῆς αἰνέσεως.
Ὠδὴ ε'
Ὡς εἶδεν Ἡσαΐας συμβολικῶς
ἐν θρόνῳ ἐπηρμένῳ Θεὸν
ὑπ' ἀγγέλων δόξης δορυφορούμενον
ὦ τάλας, ἐβόα, ἐγώ!
πρὸ γὰρ εἶδον σωματούμενον Θεὸν
φωτὸς ἀνεσπέρου
καὶ εἰρήνης δεσπόζοντα.
Ὠδὴ ϛ'
Ἐβόησέ σοι
ἰδὼν ὁ πρέσβυς
τοῖς ὀφθαλμοῖς τὸ σωτήριον
ὃ λαοῖς ἀπέστη
ἐκ Θεοῦ, Χριστέ, σὺ Θεός μου.
Ὠδὴ ζ'
Σὲ τὸν ἐν πυρὶ δροσίσαντα
παῖδας θεολογήσαντας
καὶ Παρθένῳ ἀκηράτῳ ἐνοικήσαντα
Θεὸν Λόγον ὑμνοῦμεν
εὐσεβῶς μελῳδοῦντες·
εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.
Ὠδὴ η'
Ἀστέκτῳ πυρὶ ἑνωθέντες
οἱ θεοσεβείας προεστῶτες νεανίαι
τῇ φλογὶ δὲ μὴ λωβηθέντες
θεῖον ὕμνον ἔμελπον·
εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον
καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.
Ὠδὴ θ'
Ἐν νόμῳ σκιᾷ καὶ γράμματι
τύπον κατίδωμεν οἱ πιστοί·
πᾶν ἄρσεν τὸ τὴν μήτραν διανοῖγον
ἅγιον Θεῷ·
διὸ πρωτότοκον Λόγον
πατρὸς ἀνάρχου υἱὸν
πρωτοτοκούμενον μητρὶ
ἀπειράνδρῳ μεγαλύνωμεν.

102

ΕΙΣ ΤΗΝ ΥΠΑΠΑΝΤΗΝ

Ποίημα Ἀνδρέου Κρήτης τοῦ Ἱεροσολυμίτου

Α φ. 71α. Β φ. 83β

Ὠδὴ α'. Ἦχος γ'. Ὁ Εἱρμός.
* Μεγέθει βραχίονός σου
ἀπολιθωθήτωσαν οἱ ὑπεναντίοι σου
ἕως ἂν παρέλθῃ
ὁ λαός σου, Κύριε,
ἕως ἂν παρέλθῃ
ὁ λαός σου οὗτος
ὃν ἐκτήσω, Δέσποτα,
τῇ δεξιᾷ σου καὶ ἐλυτρώσω.
Ὠδὴ β'
Ἴδετε ἴδετε
ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν
ὁ ἐν ἐρήμῳ τὸν λαὸν
ὅταν ἀπεδίδρασκε
τὴν τυραννίδα Φαραὼ
μανναδοτήσας δαψιλῶς
καὶ τὰ νάματα τὰ πάλαι
πηγάσας ἐκ πέτρας
καὶ τεχθεὶς ἐκ Παρθένου
καθὼς ηὐδόκησα.
Ὠδὴ γ'
Στερεώθητι ψυχὴ
ἐν Κυρίῳ τῷ Θεῷ
καὶ βόα καυχωμένη
οὐκ ἔστιν ἅγιος πλήν σου, Κύριε.
Ὠδὴ δ'
Σὲ Ἀββακοὺμ προδιετύπου,
Θεομῆτορ ἀπειρόγαμε,
ὄρος κατάσκιον
ἐξ οὗ ὁ Θεὸς σεσαρκωμένος ὀφθεὶς
προῆλθεν ἀσυγχύτως
ὅλος Θεὸς καὶ ἄνθρωπος
ὁ αὐτὸς κατ' οὐσίαν.
Ὠδὴ ε'
Πρὸς σὲ ὀρθρίζω
τὸν ἐκ πατρὸς πρὸ ἑωσφόρου
ἐκλάμψαντα τῷ κόσμῳ ὄρθρον·
ἐσκοτισμένον τοῖς πλημμελήμασι,
σωτήρ, προφθάσας
καταύγασόν με ὁ Θεός.
Ὠδὴ ϛ'
Ἐν βυθῷ πταισμάτων,
σωτήρ μου, ὑπάρχων ἐκβοῶ σοι·
ὡς τὸν προφήτην, Κύριε,
ἀνάγαγε ἐκ φθορᾶς τὴν ζωήν μου.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

Ὠδὴ ζ΄

Ὡς χρυσὸς ἐν χωνευτηρίῳ
οἱ παῖδες ἐν καμίνῳ ἐδοκιμάζοντο
καὶ ἀνεδείχθησαν φαιδροὶ
οὐκ ἐν τῷ χωνεύεσθαι
ἀλλ' ἐν τῷ φυλάττεσθαι·
οὐκ ἐν τῷ φλογίζεσθαι
ἀλλ' ἐν τῷ δροσίζεσθαι
καὶ ψάλλειν ἀπαύστως·
εὐλογητὸς εἶ Κύριε
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὠδὴ η΄

Τὸν ἐπὶ θρόνου Χερουβὶμ ἐποχούμενον
καὶ ἀσιγήτως ὡς Θεὸν δοξαζόμενον
ἱερεῖς ὑμνεῖτε
λαὸς ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ΄

Ὑπερφυῶς ἐβλάστησας,
Παρθενομῆτορ ἄχραντε,
τὸν ποιητὴν τῆς κτίσεως
τὸν δι' ἡμᾶς πτωχεύσαντα
δι' εὐσπλαγχνίαν·
ἄσιμοί σε, ἁγνὴ Παρθένε,
συμφώνως πάντες μεγαλύνομεν.

103

ΕΙΣ ΤΗΝ ΥΠΑΠΑΝΤΗΝ

Ποίημα Κυπριανοῦ μοναχοῦ [1]

Α φ. 72α. Β φ. 100β

Ὠδὴ α΄. Ἦχος γ΄. Ὁ Εἱρμός.

Χερσώσας θάλασσαν ῥάβδῳ
διὰ Μωσέως Ἐρυθρὰν
χερσὶ πρεσβύτου σήμερον
ἀγκαλίζεται Θεὸς
ὁ ἀμήτωρ ἐκ πατρὸς
ἐπ' ἐσχάτων δὲ ἑκὼν
ὑπὸ μητρὸς βαστάζεται.

Ὠδὴ β΄

Ἴδετε ἴδετε
ὅτι ἐγώ εἰμι, λέγει Κύριος,
ὁ τὰ ἄνω μὴ λιπὼν
καὶ τεχθεὶς ἐκ Παρθένου
καὶ ταῖς τοῦ πρεσβύτου Συμεὼν
ἀγκαλιζόμενος χερσὶ
καὶ τῇ βουλήσει τῇ ἐμῇ

(1) Κατὰ τὸν Λαυριωτικὸν Κώδ. Β 32 ποίημα Κυπριανοῦ μοναχοῦ κατὰ δὲ τὸν Παρισινὸν 220 Coislin ποίημα Γερμανοῦ.

ἐν σταυρῷ προσηλωθεὶς
καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν
συνανιστήσας τὸν Ἀδὰμ
κράζοντα καὶ λέγοντα·
ἀνέστη ὃν ὁ πρέσβυς ἐβόα
νῦν ἀπολύεις τὸν δοῦλόν σου ἐν εἰρήνῃ·
αὐτῷ πάντες οἱ λαοὶ
δῶμεν μεγαλωσύνην.

Εἱρμὸς ἄλλος [2]

Ὁ κλίνας οὐρανοὺς καὶ καταβὰς
πρόσχες τῇ δεήσει μου
ὡς προσεδέξω τοῦ πρεσβύτου Συμεὼν
ἐν ταῖς ἀγκάλαις αὐτοῦ ἐπαναπαυσάμενος.

Ὠδὴ γ΄

Ἡ στεῖρα Ἄννα ἐν καιρῷ θλίψεως
ἔτεκε γόνον τὸν Σαμουὴλ
ἐστερεώθη κράζουσα
ἐν Κυρίῳ ἡ καρδία μου.

Ὠδὴ δ΄

Ὄρος κατάσκιον ἐδείχθη
ἡ μήτρα τῆς Παρθένου·
στάμνος καὶ τράπεζα ὑπάρχει
ἡ μήτηρ τοῦ Κυρίου·
ἐξ αὐτῆς γὰρ προῆλθεν ἐμφανῶς
ὃν Συμεὼν ἀγκάλαις ὑπεδέξατο·
δόξα τῇ δυνάμει σου, Κύριε.

Ὠδὴ ε΄

Τὸν ἐν σκότει ὑπνοῦντα
διανάστησον, εὐεργέτα,
καὶ ψυχῆς μου τὴν ἀχλὺν φωταγώγησον
τῷ φωτὶ τοῦ προσώπου σου, φιλάνθρωπε,
καὶ τὴν σὴν εἰρήνην παράσχου μοι
ὡς ποτὲ τῷ πρεσβύτῃ, ἀναλλοίωτε.

Ὠδὴ ς΄

Βυθός μοι ἐπανέστη,
σῶτερ, ἁμαρτημάτων
καὶ ζάλη ἀπογνώσεως·
ὅθεν πιστῶς βοῶ σοι
ὡς ἐκ κήτους Ἰωνᾶν
ἀνάγαγέ μου τὴν ζωὴν ἐκ φθορᾶς.

ὁ δι' ἐμὲ νηπιάσας
καὶ ἐν ἀγκάλαις Συμεὼν
σήμερον τῷ ναῷ προσαχθείς.

Ὠδὴ ζ΄

Κάμινος καιομένη
οὐχ εὑρέθη δροσίζουσα
εἰμὴ ἡ Βαβυλῶνος·
ἄνανδρος καὶ Παρθένος
οὐκ ἐφάνη θηλάζουσα

(2) Ἡ β΄ αὕτη ὠδὴ ἀνήκει εἰς Εἱρμοὺς τοῦ Θεοφάνους πρώτου ὄντος κατὰ τὴν μαρτυρίαν τοῦ Λαυριωτικοῦ Κώδ. Β 32 φ. 79β.

εἰμὴ ἡ Θεοτόκος·
ἐκείνη μὲν παῖδας
διεφύλαξεν ἀρλέκτους
αὐτὴ δὲ τὸν κτίστην
περιέφερεν ἀγκάλαις·
ὃν ἀνυμνοῦντες λέγομεν
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η΄

Ὡς ἡ κάμινος πάλαι
δεξαμένη τοὺς παῖδας οὐκ ἔφλεξεν
οὕτω καὶ ἡ Παρθένος
συλλαβοῦσα τὸν κτίστην
οὐκ ἐφλέχθη τὴν νηδύν·
ὦ τοῦ θαύματος !
ὁ ἀναλλοίωτος δρᾶται σαρκὶ
καὶ τῷ ναῷ προσάγεται·
διὰ τοῦτο πιστοὶ ὑμνοῦντες λέγομεν·
εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ΄

Ἄχραντε Θεοτόκε
μήτηρ ἀνύμφευτε
σὲ δικαίως ὑμνοῦσι
τάγματα τῶν ἀγγέλων·
καὶ ὁ πρεσβύτης Συμεὼν
τὸν τόκον σου θεώμενος ἐκραύγαζε·
νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα,
κατὰ τὸ ῥῆμα τὸ σὸν
ὅπως σώσῃς, Χριστέ,
τοὺς σὲ σὺν τῇ τεκούσῃ μεγαλύνοντας.

Εἱρμὸς ἄλλος

Σὲ ζωγραφεῖ ἡ ἀσσύριος φλόξ,
Παρθενομῆτορ Μαριάμ·
τὸ πῦρ γὰρ τῆς θεότητος
ἐν μήτρᾳ σου οἰκῆσαν, ἁγνή,
ἄῤῥεκτον ἐτήρησε
τὴν παναχραντον νηδύν σου·
ὅθεν καὶ Χριστὸς ὁ ὑπὸ σοῦ ἐν ναῷ ἁγίῳ
ἀγκάλαις προσαχθεὶς
ἡμᾶς ἀνεκαίνισε
μεγαλύνοντας τὸν τόκον σου.

104

ΕΙΣ ΤΗΝ ΥΠΑΠΑΝΤΗΝ

Ποίημα Ἀνδρέου Κρήτης τοῦ Ἱεροσολυμίτου

Α φ. 74α. Β φ. 84β

Ὠδὴ α΄. Ἦχος γ΄. Ὁ Εἱρμός.

Βραχίονι ὑψηλῷ λαὸν διέσωσας
Ἰσραηλίτην ὡς Θεὸς
καλύψας σὺν ἅρμασι
τὸν Φαραὼ ἐν θαλάσσῃ Ἐρυθρᾷ.

Εἱρμὸς ἄλλος

Φαραὼ τὰ ἅρματα
βυθῷ καλύψας, Κύριε,
τὴν θάλασσαν διέῤῥηξας
καὶ ἔσωσας ἄσμασιν ὑμνοῦντά σε
λαὸν Ἰσραηλίτην

Ὠδὴ β΄

Ὡς ὄμβρος ἐπ' ἄγρωστιν
καὶ ὡσεὶ νιφετὸς ἐπὶ χόρτον
καταβήτω ἐπὶ γῆς τὰ ῥήματά μου.

Εἱρμὸς ἄλλος

Οὐρανὸν προσέχειν
καὶ γῆν ἀκούειν συγκαλοῦντι
Θεὸν ἡμῖν σαρκωθέντα.

Εἱρμὸς ἄλλος

Ἴδετε ἴδετε λαός μου
ὅτι πάντων κυριεύω
νεκρῶν καὶ ζώντων ὡς Θεὸς
καὶ ἀνάγων καὶ κατάγων εἰς γῆν
καὶ σώζων τοὺς βοῶντας
σῶσον, σωτήρ,
ὁ σώσας τὸν Ἰσραὴλ ἐν ἐρήμῳ.

Ὠδὴ γ΄

Στερέωσον, σῶτερ, τὴν καρδίαν μου
ὡς μόνος ἐλεήμων
καὶ σῶσόν με ὡς φιλάνθρωπος.

Ὠδὴ δ΄

Μὴ ἐν ποταμοῖς ὀργισθῇς, Κύριε,
μὴ ἐν ποταμοῖς ὁ θυμός σου
ἢ ἐν θαλάσσῃ τὸ ὁρμημά σου.

Εἱρμὸς ἄλλος

Τὴν ἐξ ὄρους κατασκίου δασέος σου ἔλευσιν
κατανοήσας, Κύριε,
ὁ προφήτης ἐβόα·
ἀναπαύσομαι ἐν ἡμέρᾳ θλίψεώς μου
ὅτι ἐπὶ σοὶ τῷ σωτῆρι χαρήσομαι.

Ὠδὴ ε΄

Ὀρθρίζομεν ἐν πνεύματι
πρὸς σὲ τὸν Θεὸν ἡμῶν διὰ παντός·
τῆς γὰρ σῆς εὐσπλαγχνίας
ἡ ἔλλαμψις πάντας ἐφώτισε.

Ὠδὴ ς΄

Βυθός μοι τῶν παθῶν ἐπανέστη
καὶ ζάλη ἐναντίων ἀνέμων
ἀλλὰ προφθάσας κάμὲ
σῶσον, σωτήρ, ὡς ἔσωσας
τοῦ θηρὸς τὸν προφήτην.

Εἱρμὸς ἄλλος

Ἐβόησα ἐν θλίψει μου
πρὸς σὲ τὸν οἰκτίρμονα
εἰσάκουσόν με, Κύριε,
καὶ ῥῦσαι φθορᾶς.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

Ὠδὴ ζ'

Κάμινος καιομένη
οὐχ εὑρέθη δροσίζουσα
εἰμὴ ἡ Βαβυλῶνος·
ἄνανδρος καὶ Παρθένος
οὐκ ἐφάνη θηλάζουσα
εἰμὴ ἡ Θεοτόκος·
ἐκείνη μὲν παῖδας
διεφύλαξεν ἀφλέκτους
αὐτὴ δὲ τὸν κτίστην
περιέφερεν ἀγκάλαις·
ὃν ἀνυμνοῦντες λέγομεν
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Πάντα τὰ φυόμενα ἐν τῇ γῇ
καὶ πᾶσα κτίσις καὶ πνοὴ
ὑμνεῖτε ἀσιγήτως
καὶ ὑπερυψοῦτε τὸν Κύριον.

Ὠδὴ θ'

Σὲ τὴν ἐν χρόνῳ τὸν ἄχρονον Λόγον
σαρκὶ ἀσπόρως κυήσασαν,
Παρθένε Μαρία,
ἐν ὕμνοις κατὰ χρέος μεγαλύνομεν.

Εἱρμὸς ἄλλος

Σὲ τὴν ἀπειρόγαμον Θεοτόκον
ἐν τῇ μνήμῃ τῶν ἁγίων μεγαλύνομεν
ὡς τεκοῦσαν τὴν σωτηρίαν τῶν ψυ-
[χῶν ἡμῶν.

Εἱρμὸς ἄλλος

Ἐν Σιναίῳ τῷ ὄρει κατεῖδέ σε
ἐν τῇ βάτῳ Μωυσῆς
τὴν ἀφλέκτως τὸ πῦρ τῆς θεότητος
δεξαμένην ἐν γαστρί·
Λαυὶλ δέ σε εἶδεν
ὄρος ἀλατόμητον
ῥάβδον βλαστήσασαν
Ἡσαΐας κέκραγε
τὴν ἐκ ῥίζης Λαυίδ.

105

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΕΥΘΥΜΙΟΝ

Ποίημα Λαμιανοῦ μοναχοῦ

Α φ. 75α. Β φ. 99β

Ὠδὴ α'. Ἦχος γ'. Ὁ Εἱρμός.

Ἄσωμεν ἆσμα καινὸν
τῷ λυτρωτῇ καὶ Θεῷ ἡμῶν
οἱ διὰ σταυροῦ ρυσθέντες
τοῦ νοητοῦ Φαραὼ
καὶ οἰκειωθέντες τῇ στρατιᾷ
τῶν ἀθλων οὐσιῶν
ὅτι δεδόξασται.

Ὠδὴ δ'

Ὡς καθαρὸς ἐν καθαρῷ
καταδύσας πνεύματι
ὁ θεηγόρος Ἀββακοὺμ
προέφησεν οἰκονομίαν τὴν σὴν
τὴν ἐξ ἀπειράνδρου γυναικὸς
δόξα τῇ δυνάμει σου.

Ὠδὴ ς'

Ἐν βυθῷ πταισμάτων,
σωτήρ μου, ὑπάρχων ἐκβοῶ σοι·
ὡς τὸν προφήτην, Κύριε,
ἀνάγαγε ἐκ φθορᾶς τὴν ζωήν μου.

Ὠδὴ ζ'

Σέλας ἀπρόσιτον
ἐν μέσῳ πυρὸς θεώμενοι
οἱ αἰχμάλωτοι παῖδες
καθαρκτικῷ πνεύματι ἀνέμελπον·
ὁ Θεὸς τῶν πατέρων ἡμῶν εὐλογητὸς εἶ.

Ὠδὴ η'

Σωτηρίας θάλαμον
ἐν πεδίῳ Λεηρᾷ
ἐφευρόντες οἱ παῖδες
ἀγαλλιώμενοι φλογὶ
πρόσταγμα τυράννου ἐξεμυκτήρισαν
καὶ εἰκόνος χρυσῆς τὸ ὕψωμα·
διὸ εὐχαρίστως ἀνέμελπον
ἱερεῖς εὐλογεῖτε
ὑμνεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ'

Ὑμνοῦμέν σε, ἄχραντε, οἱ γηγενεῖς
ὡς λοχεύσασαν Χριστόν·
δοξάζομεν, Λέσποινα,
τὸν διὰ σοῦ ἐπιλάμψαντα ἡμῖν
ἄυλον φῶς ἀφθαρσίαν καὶ ζωὴν
τῆς ἀρχαίας μακαριότητος.

106

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΕΥΣΤΡΑΤΙΟΝ

Ποίημα Ἀνδρέου Κρήτης

Α φ. 76α. Β φ. 97β

Ὠδὴ α'. Ἦχος γ'. Ὁ Εἱρμός.

Θάλασσαν Ἐρυθρὰν
διέρρηξας ὡς Θεὸς
ἅρματα συνέτριψας
βυθίσας τὸν Φαραὼ
καὶ ἄσμασιν ἄδοντα
ἔσωσας λαὸν Ἰσραηλίτην.

Ὠδὴ β'

Πρόσχες μοι καὶ εἰσάκουσόν μου
ὁ κλίνας οὐρανοὺς
καὶ καταβὰς εἰς τὸ σῶσαι
γένος βροτῶν ὡς εὔσπλαγχνος.

Ὠδὴ γ'

Στήριξον συνέτισον τὴν καρδίαν μου
πρὸς ὑμνῳδίαν σου, Χριστέ,
ἵνα καυχώμενος κραυγάζω
ὡς ἡ προφῆτις Ἄννα
οὐκ ἔστι πλήν σου ἅγιος
μόνε πολυέλεε.

Ὠδὴ δ'

Ἄρρητον ἄφραστον θαῦμα
ἀκηκοὼς Ἀββακοὺμ κατεπλάγη
τὴν ἐκ Παρθένου καὶ ἁγνῆς
σὴν οἰκονομίαν
καὶ γεγηθὼς ἐκραύγαζε·
σὺ Θεός μου
σύ μου, Κύριε, ἰσχὺς καὶ δύναμις.

Ὠδὴ ε'

Τῷ ἀπροσίτῳ φωτί σου,
φωταγωγέ, φώτισον ἡμᾶς·
πρὸς σὲ γὰρ ὀρθρίζομεν
καὶ σὲ ἱκετεύομεν
τὴν σὴν εἰρήνην, Χριστέ, δώρησαι ἡμῖν.

Ὠδὴ ς'

Ἐκ κοιλίας ἅδου τῶν κακῶν μου
εἰσάκουσον φωνῆς μου
μὴ καταπιέτω με βυθὸς τῆς ἁμαρτίας·
ἄβυσσος γὰρ ἐκύκλωσεν
ἐσχάτη τὸν λογισμόν μου·
ἀλλ' ἀναβήτω ἐκ φθορᾶς
ἡ ζωή μου πρὸς σέ, Κύριε.

Ὠδὴ ζ'

Ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ
ἐν τῇ καμίνῳ ὑπῆρχον οἱ παῖδες
οὐκ ἐν τῷ πλήθει·
ἀλλ' ἐν τῇ τριάδι·
οὐκ ἐν τῷ λάμπειν
ἀλλ' ἐν τῷ ψάλλειν
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Τὸν ὑπ' ἀγγέλων ἀσιγήτως
ἐν ὑψίστοις δοξαζόμενον Θεὸν
οἱ οὐρανοὶ τῶν οὐρανῶν
γῆ καὶ ὄρη καὶ βουνοὶ καὶ βυθὸς
καὶ πᾶν γένος ἀνθρώπων
ὕμνοις αὐτὸν ὡς κτίστην
καὶ ποιητὴν εὐλογεῖτε.

Εἱρμὸς ἄλλος

Μουσικῶν ὀργάνων συμφωνούντων
κάμινος ἐξήπτετο
τυραννικῇ προστάξει·
τρισσοφαὴς δὲ χορὸς παίδων ὁ σοφὸς
τοῦ πυρὸς τὴν φλόγα κατεπάτησε
δροσοβόλῳ ἀγγέλῳ συμψάλλοντες
ὡς ποιητὴν τὰ ποιήματα
πάντα Θεὸν εὐλογεῖτε
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Ἐποίησεν, ἄχραντε,
μεγαλεῖα διὰ σοῦ ὁ Κύριος·
ἑκὼν γὰρ ἦλθεν ἐπὶ γῆς
καὶ σῇ γαστρὶ ὑπερφυῶς
σάρκα προσελάβετο
δι' εὐσπλαγχνίαν· ὃν οἱ ποιμένες
ἀγραυλοῦντες μεγαλύνουσιν.

107

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΠΛΑΤΩΝΑ

Ποίημα Ἀνδρέου Κρήτης

Α φ. 77α. Β φ. 90β

Ὠδὴ α'. Ἦχος γ'. Ὁ Εἱρμός.

Τῷ ὁδηγήσαντι Θεῷ
ἐν στύλῳ πυρὸς νεφέλης
τὸν Ἰσραήλ, ἐν ᾠδαῖς καὶ ὕμνοις
ἄσωμεν ᾠδὴν ἐπινίκιον.

Εἱρμὸς ἄλλος

Ἐν θαλάσσῃ Ἐρυθρᾷ
τὸν Φαραὼ ἐβύθισας, σωτήρ,
καὶ διέσωσας λαὸν Ἰσραηλίτην
τῇ ὑψηλῇ δεξιᾷ σου, ἀναμέλποντα
ᾠδὴν ἐπινίκιον.

Ὠδὴ β'

Ἴδετε ἴδετε ὅτι ἐγώ εἰμι Θεὸς
ὁ θανατῶν καὶ ζωογονῶν
καὶ πάντων κυριεύων.

Εἱρμὸς ἄλλος

Ῥήματός μου λόγον
ἀκουέτωσαν πάντες
οἱ τοὺς ἐμοὺς λόγους
ἀκορέστως δεχόμενοι
ὅτι πῦρ ἐκκέκαυται ἐκ τοῦ θυμοῦ μου
ἐν δίψῃ καύματος ἐν [γῇ] ἀνύδρῳ.

Ὠδὴ γ'

Στερέωσον, Κύριε, τὰς καρδίας ἡμῶν
καὶ φώτισον εἰς τὴν σὴν ὑμνῳδίαν
τοῦ δοξάζειν σε, σωτήρ, εἰς αἰῶνας
[αἰώνων.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

Ὠδὴ δ'

Ἀκήκοα, Κύριε, τὴν ἀκοήν σου καὶ ἐφο-
[βήθην
κατενόησα τὰ ἔργα σου
καὶ ἐδόξασά σε, φιλάνθρωπε.

Εἱρμὸς ἄλλος

Ἀκήκοε τὴν ἀκοὴν τῆς δυναστείας σου ὁ
[προφήτης
ἐξ ὄρους κατασκίου δασέος
εἰς βροτῶν σωτηρίαν
μέλλειν σε ἔρχεσθαι
καὶ φόβῳ ἐβόησε·
δόξα τῇ εὐσπλάγχνῳ
οἰκονομίᾳ σου, φιλάνθρωπε.

Ὠδὴ ε'

Τὸ φῶς σὺ τὸ ἀνέσπερον, Χριστέ,
καταύγασον ὁ Θεὸς
τὴν ταπεινήν μου ψυχὴν
καὶ ὁδήγησον εἰς τὸν φόβον σου
διότι φῶς τὰ προστάγματά σου.

Εἱρμὸς ἄλλος

Ὀρθρίζομεν ἐν πνεύματι πρὸς σὲ
τὸν Θεὸν ἡμῶν διαπαντός·
τῆς γὰρ σῆς εὐσπλαγχνίας ἡ ἔλλαμψις
πάντας ἐφώτισεν.

Ὠδὴ ϛ'

Κύμασι πταισμάτων
βυθιζομένη, ψυχή μου, ἀνάκραξον·
ὡς Ἰωνᾶν τὸν προφήτην
ἐκ τοῦ κήτους ἀνάγαγέ με, σωτήρ,
ἐκ βυθοῦ τῶν κακῶν
ὡς μόνος εὔσπλαγχνος.

Εἱρμὸς ἄλλος

Συσχεθεὶς τῷ βυθῷ τῶν πταισμάτων μου
βοῶ σοι ὡς Ἰωνᾶς
ἐκ φθορᾶς μου τὴν ζωὴν ἀνάγαγε
ὥσπερ ἐκεῖνον, Χριστέ, καὶ σῶσόν με.

Ὠδὴ ζ'

Ὁ τὴν φλόγα δροσίσας τῆς καμίνου
καὶ τοὺς παῖδας ἀφλέκτους διασώσας
εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας, Κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Ἐν ἀρχῇ ἦν ὁ Λόγος
καὶ ὁ Λόγος ὢν τοῦ πατρὸς
τὰ πάντα πεπλήρωκεν·
εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ'

Πῶς σὲ μακαρίσωμεν
τὴν ὁλόρριζον δόξαν
καὶ πηγὴν τῆς σωτηρίας
ὅτι χωρὶς Θεοῦ μόνου
ἀνωτέρα πάντων ὑπάρχεις
ὅτι ἐποίησέ σοι μεγαλεῖα ὁ δυνατός.

Εἱρμὸς ἄλλος

Παρθένε μήτηρ καὶ ἁγνὴ
ἡ τεκοῦσα τὸν Λόγον ὑπὲρ λόγον
οἱ πιστοὶ κατὰ χρέος
σὲ ἄσμασιν ἅπαντες
ᾠδαῖς καὶ ὕμνοις μεγαλύνομεν.

Εἱρμὸς ἄλλος

Τὴν μόνην Θεὸν
ἐν γαστρὶ χωρήσασαν
καὶ Παρθένον ἁγνὴν
μετὰ τόκον μείνασαν·
— Θεοῦ γὰρ ἦν ὁ τόκος —
διό σε, Θεοτόκε,
ἅπαντες συμφώνως μεγαλύνομεν.

108

Ποίημα Ἀνδρέου Κρήτης

Α φ. 78β. Β φ. 82β

Ὠδὴ α'. Ἦχος γ'. Ὁ Εἱρμός.

Θαυμαστὸς ἐνδόξως ποιῶν τέρατα
σὺ εἶ ὁ Χριστὸς
ὁ ἄβυσσον γεώσας
καὶ ἅρματα καλύψας
καὶ λαὸν διασώσας
ἄδοντά σοι ὡς βασιλεῖ καὶ Θεῷ.

Ὠδὴ β'

Ἴδετε ἴδετε λαός μου
ὅτι μόνος βασιλεύω
νεκρῶν καὶ ζώντων ὡς Θεὸς
καὶ ἀνάγω καὶ κατάγω εἰς γῆν
καὶ σώζω τοὺς βοῶντας
σὺ εἶ ὁ Θεὸς ὁ σώσας
τὸν Ἰσραὴλ ἐκ δουλείας

Εἱρμὸς ἄλλος

Ἴδετε ἴδετε
ὅτι βασιλεὺς μέγας ἐγώ εἰμι
λέγει Κύριος παντοκράτωρ
καὶ τὸ ὄνομά μου
ἐπιφανές ἐστιν ἐν τοῖς ἔθνεσι·
δῶμεν αὐτῷ μεγαλωσύνην.

Ὠδὴ γ'

Στείρα ψυχὴ καὶ ἄγονε
κτῆσαι καρπὸν εὐκλεῆ
εὐφραινομένη βόησον·
ἐστερεώθην διὰ σοῦ ὁ Θεὸς
οὐκ ἔστιν ἅγιος
οὐκ ἔστι δίκαιος
πλὴν σοῦ, Κύριε.

Εἱρμὸς ἄλλος

Στερέωσόν με, Κύριε,

μόνε πολυέλεε,
καὶ ἔκτεινόν μοι χεῖρα
βοηθείας ὡς φιλάνθρωπος.

Ὠδὴ δ'

Ἀκοὴν ἀκήκοα φρικτὴν
ὅτι Θεὸς ἐν σαρκὶ
ἐπέφανε τοῖς ἐν σκότει
καὶ ὤφθη ἐπὶ γῆς
καὶ τοῖς ἀνθρώποις συνανεστράφη·
δόξα τῇ δυνάμει αὐτοῦ.

Εἱρμὸς ἄλλος

Τὸ κατάσκιον ὄρος
ὁ Ἀββακοὺμ προεώρα
τὴν ἄχραντόν σου μήτραν, ἁγνή,
διὸ καὶ ἀνεκραύγαζεν·
ἀπὸ Θαιμὰν ἥξει ὁ Θεὸς
καὶ ὁ ἅγιος ἐξ ὄρους
κατασκίου δασέος.

Ὠδὴ ε'

Τῆς ψυχῆς μου τὴν ἀχλὺν
διασκεδάσας ἐν τῷ φωτί σου, Χριστέ,
δέξαι με, μόνε εὔσπλαγχνε,
ἐκ νυκτός σοι κραυγάζω
καὶ καταύγασόν μου τὴν διάνοιαν.

Ὠδὴ ϛ'

Ἐν κοιλίᾳ τοῦ κήτους
ὁ Ἰωνᾶς, ἀγαθέ,
προετύπου τὴν ταφήν σου καὶ τὴν ἀνά-
[στασιν·
διὸ καὶ ἐβόα
ἐκ βάθους ὁ Θεὸς
ἀνάγαγε δέομαι
ἐκ φθορᾶς τὴν ζωήν μου.

Ὠδὴ ζ'

Τὸν ἐκ πυρὸς τῆς καμίνου
τοὺς Ἑβραίους λυτρωσάμενον
καὶ τὴν φλόγα σβέσαντα
καὶ σώσαντα πίστει ψάλλοντας
σέ, Χριστέ, προσκυνοῦμεν
ὁ Θεὸς τῶν πατέρων
ὑμνοῦμέν σου καὶ τὸ ὄνομα.

Ὠδὴ η'

Τὸν ἐν σοφίᾳ κατ' ἀρχὰς
τὴν γῆν ἑδράσαντα ἐπὶ ὑδάτων πολλῶν
καὶ ὕδασι πηξάμενον τὰ ὑπερῷα αὐτοῦ
δημιουργὸν καὶ λυτρωτὴν ὑμνεῖτε παῖδες
ἱερεῖς εὐλογεῖτε
λαὸς ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Μετεβάλλετο φύσις φλέγουσα
εἰς ὕδωρ ποτὲ καὶ ἐδρόσιζεν
οὓς μέσον ἔφερεν
ὑμνορρήτορας παῖδας
κατέφλεγε δὲ τοὺς πόρρωθεν.
ἐκδιδάσκουσα πᾶσαν κτίσιν
εὐλογεῖν καὶ ὑμνεῖν
τὸν ὄντως ὄντα Θεὸν εἰς τοὺς αἰῶν

Εἱρμὸς ἄλλος

Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσρ
ὁ ἐγείρας κέρας σωτηρίας ἡμῖν
ἐν οἴκῳ Δαυὶδ τοῦ παιδὸς αὐτοῦ
διὰ σπλάγχνα ἐλέους
ἐν οἷς ἐπεσκέψατο ἡμᾶς
ἀνατολὴ ἐξ ὕψους
καὶ κατεύθυνεν ἡμᾶς
εἰς ὁδὸν εἰρήνης.

109

[ΑΝΑΣΤΑΣΙΜΟΣ]

Ποίημα Ἀνδρέου Κρήτης

Α φ. 80β. Β φ. 90α

Ὠδὴ α'. Ἦχος γ'. Ὁ Εἱρμός.

Τῷ ἐν στύλῳ πυρὸς καθοδηγήσαντι
ἐν τῇ ἐρήμῳ λαὸν Ἰσραηλίτην
ὡς Θεῷ ἐπινίκιον
ὕμνον ἀναπέμψωμεν
λαοὶ ὅτι δεδόξασται.

Ὠδὴ β'

Προσέχετε τοῖς τοῦ Θεοῦ μεγαλείοις
πάντες λαοὶ
καὶ δότε δόξαν
τῇ αὐτοῦ ἀγαθότητι.

Ὠδὴ γ'

Ὁ στερεώσας οὐρανοὺς
καὶ γῆν ἑδράσας ἐπὶ ὑδάτων πολλῶν
στερέωσον ἡμᾶς εἰς τὸν φόβον σου.

Ὠδὴ δ'

Τὴν ἀκοὴν ἀκήκοεν ὁ προφήτης τὴν σὴν
καὶ ἐν φόβῳ μυστικῶς
ἐβόα κραυγάζων·
δόξα τῇ ἀφράστῳ
οἰκονομίᾳ σου, φιλάνθρωπε.

Ὠδὴ ε'

(Λείπει)

Ὠδὴ ϛ'

Προφητικῶς βοῶμέν σοι, Κύριε,
Κύριε, ἀνάγαγε
ἐκ φθορᾶς τὴν ζωὴν ἡμῶν.

Ὠδὴ ζ'

Τὴν ἐν καμίνῳ φλόγα
κατέσβεσαν οἱ παῖδες
καὶ τὴν οὐράνιον δρόσον

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

ἐδέξαντο τῇ πίστει·
[εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν].

Ὠδὴ η΄

Οἱ οὐρανοὶ διηγοῦνται
ποίησιν τῶν χειρῶν σου·
φωστῆρες γὰρ φαίνουσι, φιλάνθρωπε,
τὴν δόξαν σου δηλοῦντες
ὑμνοῦσί σε τὰ πέρατα τῆς γῆς
ὅτι τὰ σύμπαντα δοῦλα σά εἰσί.

Ὠδὴ θ΄

Σὲ τὴν ἀειπάρθενον Θεοτόκον
ἐν τῇ μνήμῃ τῶν ἁγίων μεγαλύνομεν
ὡς τεκοῦσαν τὴν σωτηρίαν τῶν ψυχῶν
[ἡμῶν.

110

Ποίημα Γερμανοῦ πατριάρχου

Λ φ. 80β. Β φ. 81β

Ὠδὴ α΄. Ἦχος γ΄. Ὁ Εἱρμός.

Τῷ ρυσαμένῳ τὸν Ἰσραὴλ ἐκ δουλείας
καὶ Φαραὼ βυθίσαντι ἐν τῇ θαλάσσῃ
ἄσωμεν τῷ σωτῆρι Χριστῷ
ὅτι δεδόξαστται εἰς τοὺς αἰῶνας.

Ὠδὴ β΄

Πρόσεχε οὐρανὲ καὶ λαλήσω
καὶ ἀνυμνήσω Χριστὸν τὸν βασιλέα.

Ὠδὴ γ΄

Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ
ὑψώθη κέρας μου ἐν Θεῷ μου
ὅτι οὐκ ἔστιν ἅγιος πλὴν σοῦ, Κύριε.

Ὠδὴ δ΄

Εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην
κατενόησα τὰ ἔργα σου καὶ ἐδόξασά σε.

Ὠδὴ ε΄

Τὴν σὴν εἰρήνην δὸς ἡμῖν, υἱὲ τοῦ Θεοῦ,
ἐκτός σου γὰρ ἄλλον
Θεὸν οὐ γινώσκομεν
τὸν ἐν τοῖς ὑψίστοις
σὺν πατρὶ καὶ Πνεύματι
δοξολογούμενον.

Εἱρμὸς ἄλλος

Ὁρθρίζοντες ἀνυμνοῦμέν σε, Λόγε,
υἱὲ Θεοῦ μονογενές·
τὴν σὴν εἰρήνην δὸς ἡμῖν
καὶ ἐλέησον ἡμᾶς
τοὺς ἀνυμνοῦντάς σε
καὶ πιστῶς προσκυνοῦντας.

Ὠδὴ ς΄

Τοὺς εἰς τὰ τέλη τῶν αἰώνων
καταντήσαντας, φιλάνθρωπε,
καὶ τρικυμίας πειρασμῶν
ἀπολέσθαι κινδυνεύοντας
βοῶντας μὴ καρίδῃς
σῶσον, σώτηρ, ὡς ἔσωσας
τοῦ θηρὸς τὸν προφήτην.

Ὠδὴ ζ΄

Ὁ τὴν ἀρλόγα δροσίσας τῆς καμίνου
καὶ τοὺς παῖδας ἀρλέκτους διασώσας
εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας, Κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὠδὴ η΄

Τὸν ἐν φλογὶ τοῖς παισὶ τῶν Ἑβραίων
συγκαταβάντα θεϊκῇ τῇ δυνάμει
καὶ δρθέντα Κύριον
ἱερεῖς εὐλογεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ΄

Σὲ τὴν ἀθάνατον πηγὴν
τὴν δι' ἁγίων ἰάματα
τῶν ἀνθρώπων τῷ γένει παρέχουσαν,
ἁγνή, μεγαλύνομεν
ὅτι αὐξεῖς τὰς ψυχὰς ἡμῶν.

111

ΤΗ ΤΡΙΤΗ ΤΗΣ Ι΄ ΕΒΔΟΜΑΔΟΣ
ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

Ποίημα Γερμανοῦ πατριάρχου

Λ φ. 81β. Β φ. 82α

Ὠδὴ α΄. Ἦχος γ΄. Ὁ Εἱρμός.

Ἄσωμεν τῷ Κυρίῳ τῷ ποιήσαντι
θαυμάσια τέρατα·
ἐν Ἐρυθρᾷ θαλάσσῃ
πάντα γὰρ ἐκάλυψε
τοὺς ὑπεναντίους
καὶ ἔσωσε τὸν Ἰσραήλ·
αὐτῷ μόνῳ ἄσωμεν
ὅτι δεδόξαστται.

Ὠδὴ β΄

Ἴδετε ἴδετε
ὅτι ἐγώ εἰμι ὁ σωτὴρ τοῦ κόσμου
τὸ φῶς τὸ ἀληθινὸν
ἡ πηγὴ τῆς ζωῆς
ὁ υἱὸς τοῦ Θεοῦ.

Ὠδὴ γ΄

Στερέωσον, Κύριε, τὴν ἐκκλησίαν
ἣν ἐκτήσω τῷ τιμίῳ σου αἵματι.

Ὠδὴ δ΄

Τὴν ἀκοήν σου, Κύριε,
εἰσακήκοα καὶ ἐφοβήθην
τὰ ἔργα σου κατεγάσα καὶ ἐξέστην
ὅτι Θεὸς πρὸ αἰώνων ὑπάρχων
ἐκ Παρθένου ἐτέχθης
γενόμενος ἄνθρωπος.

Ὠδὴ ε΄

Πρὸς σὲ ὀρθρίζομεν, Χριστέ,
τὸν ὄρθρον τὸν ἀληθινὸν
τὸν ἐκ Παρθένου ἡμῖν βλαστείλαντα
καὶ θεογνωσίαν τοῖς ἀνθρώποις
δι' αὐτῆς καταλάμψαντα.

Εἱρμὸς ἄλλος

Ὁρθρίζει τὸ πνεῦμά μου
πρὸς σὲ τὸν ῥωτοδότην Θεόν·
σὺ γὰρ πέφυκας, Χριστέ,
ἁγιασμὸς καὶ εἰρήνη τῶν ψυχῶν ἡμῶν.

Ὠδὴ ς΄

Ἐβόησα ἐν στεναγμοῖς ἀσιγήτοις
πρὸς τὸν οἰκτίρμονα Θεὸν
καὶ ἐπήκουσέ μου
ἐξ ᾅδου κατωτάτου
καὶ ἀνήγαγεν ἐκ φθορᾶς τὴν ζωήν μου.

Εἱρμὸς ἄλλος

Ἐβόησά σοι
ἐν ἁμαρτίαις πεφορτισμένος
εἰσάκουσον τῆς δεήσεώς μου
καὶ ἱλάσθητί μοι, σωτὴρ τοῦ κόσμου.

Ὠδὴ ζ΄

Τρεῖς παῖδες ἐν καμίνῳ
τὴν Τριάδα τυπώσαντες
τοῦ πυρὸς τὴν ἀπειλὴν κατεπάτησαν
καὶ ὑμνοῦντες ἐβόων·
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η΄

Τὸν ἐξ ἀνάρχου τοῦ πατρὸς
γεννηθέντα πρὸ αἰώνων Θεὸν
καὶ ἐπ' ἐσχάτων ἐκ τῆς Θεοτόκου
σάρκα ἐνδυσάμενον
ὡς τέλειον ἄνθρωπον
καὶ Θεὸν ἀληθινὸν
ὑμνεῖτε εὐλογεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ΄

Σὲ τὴν ἀκατάρλεκτον βάτον
καὶ ἁγίαν Παρθένον
τὴν μητέρα τοῦ φωτὸς καὶ Θεοτόκον
τὴν ἐλπίδα πάντων ἡμῶν μεγαλύνομεν.

112

ΤΗ ΠΑΡΑΣΚΕΥΗ
ΤΗΣ Ε΄ ΕΒΔΟΜΑΔΟΣ

Ποίημα Γερμανοῦ πατριάρχου

Λ φ. 83α. Β φ. 82α

Ὠδὴ α΄. Ἦχος γ΄. Ὁ Εἱρμός.

Βοηθὸς καὶ σκεπαστής
ἐγένετό μοι εἰς σωτηρίαν
οὗτός μου Θεὸς καὶ δοξάσω αὐτόν.

Ὠδὴ β΄

Πρόσεχε γῆ καὶ οὐρανὲ
καὶ ἐνωτίζου τὰ ῥήματά μου·
λαλήσω γὰρ τοῖς ἐν γῇ
Θεοῦ θαυμάσια.

Εἱρμὸς ἄλλος

Πρόσχες μοι καὶ εἰσάκουσόν μου
ὁ κλίνας οὐρανοὺς καὶ καταβὰς
εἰς τὸ σῶσαι γένος βροτῶν ὡς εὖ·
[σπλαγχνος.

Ὠδὴ γ΄

Στηριγμὸν καὶ ἵλασμὸν
παράσχου ἡμῖν, υἱὲ τοῦ Θεοῦ,
καὶ σῶσον ἡμᾶς ὡς φιλάνθρωπος.

Ὠδὴ δ΄

Ἀκήκοα, Κύριε,
τὴν ἀκοήν σου καὶ ἐφοβήθην
κατενόησα τὰ ἔργα σου
καὶ ἐδόξασά σε, φιλάνθρωπε.

Ὠδὴ ε΄

Τὸ πνεῦμά μου διὰ παντὸς
σὲ δοξολογεῖ, Κύριε,
διότι φῶς τὰ προστάγματά σου ἐπὶ
[τῆς γῆς.

Ὠδὴ ς΄

Προφητικῶς βοῶμέν σοι, Κύριε
Κύριε, ἀνάγαγε
ἐκ φθορᾶς τὴν ζωὴν ἡμῶν.

Ὠδὴ ζ΄

Ὁ τῶν πατέρων καὶ ἡμῶν
εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας
Κύριε ὁ Θεὸς ὁ ὑπερένδοξος.

Ὠδὴ η΄

Τὸν προσκυνούμενον ὑπὸ ἁγίων ἀγγέλων
καὶ δοξαζόμενον ἀπαύστως
ἱερεῖς ὑμνεῖτε
λαὸς ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εἱρμὸς ἄλλος

Τὸν εὐεργέτην καὶ Θεὸν
καὶ λυτρωτὴν τοῦ παντὸς
καὶ τοῦ κόσμου ποιητὴν

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

ἱερεῖς καὶ δοῦλοι
ὑμνεῖτε τὸν Κύριον.
Ὠδὴ θ'
Κεχαριτωμένη χαῖρε
ὁ Κύριος μετὰ σοῦ
εὐλογημένη σὺ ἐν γυναιξὶ
καὶ σὲ μεγαλύνομεν.
Εἱρμὸς ἄλλος
Τὴν μητέρα τοῦ φωτὸς
καὶ μετὰ τόκον Παρθένον
καὶ τῶν ψυχῶν ἡμῶν σωτηρίας λιμένα
οἱ πιστοὶ ὁμοφρόνως
ἐν ὕμνοις μεγαλύνομεν.

113

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Ἰωάννου μοναχοῦ

Α φ. 84α. Β φ. 76α

Ὠδὴ α'. Ἦχος γ'. Ὁ Εἱρμός.

* Ἄσωμεν τῷ Κυρίῳ
τῷ τὴν ἄβατον πήξαντι
φύσιν ἐν Ἐρυθρᾷ θαλάσσῃ
καὶ λαὸν ὡς ἐν ξηρᾷ
δι' αὐτῆς ἄξαντι.
Εἱρμὸς ἄλλος
Τῷ θαυμαστῷ Θεῷ ἡμῶν
τῷ διελόντι θάλασσαν
Ἰσραηλίτῃ λαῷ
καὶ ἐν αὐτῇ ἀβρόχοις
ποσὶν ὁδηγήσαντι
ἄσωμεν ἄσμα καινόν·
ἐνδόξως γὰρ δεδόξασται.
Ὠδὴ β'
Πρόσχες τῇ φωνῇ τῆς δεήσεως ἡμῶν
ὁ τὴν θάλασσαν ῥάβδῳ
περιτειχίσας ὡς Θεὸς
καὶ τὸ σὸν ἔλεος κατάπεμψον ἡμῖν
ἵνα σε ὑμνῶμεν
τὴν Μωσέως ᾠδήν, φιλάνθρωπε.
Ὠδὴ γ'
Ὁ λόγῳ τοὺς οὐρανοὺς καμαρώσας
καὶ πᾶσαν τὴν γῆν τοῖς ὕδασι
γεφυρώσας, Κύριε,
εἰς τὸν φόβον σου στερέωσόν με.
Ὠδὴ δ'
Εἰσακήκοα τὴν ἀκοήν τῆς δυναστείας σου
ὅτι καὶ σὰρξ γενόμενος, Λόγε,
σὺ ἐξήλειψας τὸ χειρόγραφον
τῶν ἀνομιῶν ἡμῶν.
Ὠδὴ ε'
Ἐκ νυκτὸς ὀρθρίζοντες
ὕμνον σοι προσφέρομεν
τὴν εἰρήνην παράσχου ταῖς ψυχαῖς ἡμῶν,
Χριστέ, ὡς παντοδύναμος.
Ὠδὴ ς'
Τῆς σκοτεινῆς ἀβύσσου
τὸν τὴν ταφήν σου προγράψαντα
διέσωσας προφήτην
ἐκ τοῦ θηρὸς κραυγάζοντα·
ἐκ φθορᾶς με λύτρωσαι,
ζωοδότα φοβερέ.
Ὠδὴ ζ'
Δαυιτικοὶ παῖδες ἐκ Σιὼν
ἐν Βαβυλῶνι καταντήσαντες
φθαρτοῦ βασιλέως τὸ δόγμα ἠλόγησαν
καὶ ἐπὶ τῷ βασιλεῖ αὐτῶν Χριστῷ
ἐπαγάλλόμενοι ἔμελπον·
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.
Ὠδὴ η'
Μεμηνὼς ὁ τύραννος Θεοῦ ἠκαύχη
χρυσῇ εἰκόνι στηλιτεύεται
καὶ ὀργάνων μούσαις ἐκβακχεύεται
τριάδικῇ δὲ φωνῇ
σὺν τοῦ τετάρτου μορφῇ
ἐξελέγχεται οὕτω κραυγάζειν καὶ βοᾶ
τὸν δημιουργὸν ἡ κτίσις
καὶ ποιητὴν εὐλογείτω
ὑμνείτω δοξολογείτω
καὶ ὑπερυψούτω
αὐτὸν εἰς τοὺς αἰῶνας.
Ὠδὴ θ'
Ἀγαλλιῶμεν ἐπὶ σοὶ
τῇ Θεοδόχῳ Παρθένῳ
τῆς ἀληθείας τὸ σεμνὸν
ἐννοοῦντες ἀγνείας μυστήριον
καθαραῖς ταῖς ἐμφάσεσι
καὶ τὸν τεχθέντα ἐκ σοῦ,
Θεοτόκε, μεγαλύνομεν.

114

[ΑΝΑΣΤΑΣΙΜΟΣ]

Ποίημα Ἀνδρέου Κρήτης

Α φ. 85α. Β φ. 85β

Ὠδὴ α'. Ἦχος γ'. Ὁ Εἱρμός.

* Περιούσιον λαὸν
ἐν ἐρήμῳ διέσωσας
ἄσμα καινὸν ἐν χείλεσι
σημαίνοντας ἀναμέλποντι·
ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ β'
Ὡς ὄμβρος ἐπ' ἄγρωστιν
καὶ ὡσεὶ νιφετὸς ἐπὶ χόρτον
καταβήτω ἐπὶ γῆς τὰ ῥήματά μου.
Ὠδὴ γ'
Στερέωσον, σωτήρ, τὴν καρδίαν μου
ὡς μόνος ἐλεήμων
καὶ σῶσόν με ὡς φιλάνθρωπος.
Ὠδὴ δ'
Τὴν ἐξ ὄρους κατασκίου δασέος σου ἔλευσιν
κατανοήσας, Κύριε,
ὁ προφήτης σοι ἐβόα·
ἀναπαύσομαι ἐν ἡμέρᾳ θλίψεώς μου
ὅτι ἐπὶ σοὶ τῷ σωτῆρι χαιρήσομαι.
Ὠδὴ ε'
Φανὲν ἡμῖν ἀνάτειλον ἥλιον,
Χριστὲ ὁ Θεός,
καὶ λάμψον τὸ φῶς τῶν προσταγμάτων σου
ἐν ταῖς καρδίαις ἡμῶν·
σὺ γὰρ ὑπάρχεις βασιλεὺς τῆς εἰρήνης.
Ὠδὴ ς'
Ὁ παραδόξως τὸν προφήτην σου
ἐκ φθορᾶς, σωτήρ, ρυσάμενος
τὸν τὴν σὴν δηλοῦντα ἀνάστασιν
σῶσον ἡμᾶς, Χριστὲ ὁ Θεὸς ἡμῶν.
Ὠδὴ ζ'
Τὸν ἐκ πυρὸς τῆς καμίνου
τοὺς Ἑβραίους λυτρωσάμενον
καὶ τὴν φλόγα σβέσαντα
καὶ σώσαντα πίστει ψάλλοντας
σέ, Χριστέ, προσκυνοῦμεν
ὁ Θεὸς τῶν πατέρων
ὑμνοῦμέν σου καὶ τὸ ὄνομα.
Ὠδὴ η'
Ἱερεῖς καὶ δοῦλοι
καὶ πνεύματα δικαίων
ὑμνεῖτε τὸν Κύριον
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.
Εἱρμὸς ἄλλος
Πάντα τὰ φυόμενα ἐν τῇ γῇ
καὶ πᾶσα κτίσις καὶ πνοὴ
ὑμνεῖτε εὐλογεῖτε
καὶ ὑπερυψοῦτε τὸν Κύριον.
Ὠδὴ θ'
Σὲ τὴν τὸν ἀχώρητον ἐν οὐρανοῖς
χωρήσασαν ἐν μήτρᾳ
σὲ τὴν τὸν τροφέα τοῦ κόσμου
Χριστὸν θηλάσασαν Παρθένον
τὴν οὐρίνιον παστάδα
καὶ ἐπίγειον ἀμνάδα
ὕμνοις μεγαλύνομεν.

115

ΕΙΣ ΤΗΝ ΥΠΑΠΑΝΤΗΝ

Ἴαμβοι

Ποίημα Ἀναστασίου Κυέστορ

Α φ. 85β. Β φ. 102α

Ὠδὴ α'. Ἦχος γ'. Ὁ Εἱρμός.

* Ὁ πρὶν τεμὼν ἄτμητον ὑγρὰν ἐν
σώσας τε λαὸν Ἰσραηλίτην Λόγος
φανεὶς καθ' ἡμᾶς νῦν σαώζει τὴν κ
ἄσωμεν αὐτῷ ἆσμα καινὸν σὺν πόθῳ
ἐφημνίοις κροτοῦντες ὡς εὐεργέτῃ
Ὠδὴ β'
Ὦια καρδίας ἄνοιξον παγγενὲς βρό
καὶ ἄκουε Θεοῦ μεγαλουργίαν
πῶς τε τοῦ πρεσβύτου Συμεὼν ὁ
[Παρθ
υἱὸς ἀγκάλαις ἐνθρονίζεται ὡς βρ
τεσσαρακονθήμερον καὶ τῶν δεσμ
τοῦδε τοῦ σαρκίου ἀπολύει αὐτὸν
καὶ δῶμεν μεγαλωσύνην αὐτῷ.
Ὠδὴ γ'
Γέγηθεν Ἄννα τὸν Σαμουὴλ παι
ὁρῶσα βλαστὸν τῆς ἀκάρπου νηδύος·
νῦν δὲ προφῆτις Ἄννα τέρπεται βρέ
ὅτι βλέπει γηραιῷ ἠγκαλισμένον
στήριγμα πιστῶν τὸν πρὸ πάντων Κύρ
Ὠδὴ δ'
Ἐκστὰς προεῖδεν Ἀββακοὺμ μυστήρ
τὰ νῦν τελεσθὲν τοῦ Θεανθρώπου Λόγ
ἦλθε γὰρ αὐτὸς ἐκ Θαιμὰν ὃν Συμ
ρύστην ἀνυμνεῖ καὶ βοῶν ἀγάλλεται,
ἄναρχε, δόξα τῷ κράτει σου, Κύριε.
Ὠδὴ ε'
Νῦν Ἡσαΐα χαῖρε, νῦν μέγα κρότει
ἔσχε γὰρ νὸν Παρθένος Θεοῦ Λόγον
γέρων τε τοῦτον Συμεὼν ἐν ἀγκάλ
χαίρων ἰδοὺ τῷ πατρὶ καὶ Θεῷ φέρει
ρύοντα κόσμον νυκτὸς ἐκ καχεσπέρου.
Ὠδὴ ς'
Ἀπήμονα πρὶν ὁ προφήτην ἐγκάτων
ἄξας Ἰωνᾶν ἠιόνι ἐκ θαλαττίου
ῥύστης προσῆλθε μητρικαῖς ἐν ἀγκάλα
τὸν πρωτόπλαστον νήπιον δεδειγμένος
ἵνα προσάξῃ γαστρὸς ἐκ βροτοκτόνου.
Ὠδὴ ζ'
Ἡ τρισσότης ὡς εἶδε παίδων ἐκρότει
γήθουσαν μορφὴν ἀγγέλου μέσον φλογός
ἔχαιρε δὲ Συμεὼν τὸν Θεὸν Λόγον
νέον βλέπων φανέντα καὶ σκιρτῶν πόθῳ
ἔμελπε· Χριστὲ σῶτερ, εὐλογητὸς εἶ.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

Ὠδὴ η΄

Πάλαι κατεῖδε Μωυσῆς ἐν τῇ βάτῳ
ἄφλεκτον ὄντα τὸν τόκον τῆς Παρθένου·
ῥᾶον δὲ τοῦτον πρέσβυς ἐμραίνει βρέφος
Θεὸν γεραίρων εὐλογεῖτε νῦν βοῶν
λευχειμονοῦσα ἡ κτίσις τὸν Κύριον.

Ὠδὴ θ΄

Μετ' ἀγγέλων σκιρτῶμεν ἀνθρώπων γένος
ἄληκτον αἶνον σοὶ φέροντες ἀξίως·
ἰδοὺ γάρ, ὦ Λέσποινα, τὸν Θεὸν Λόγον
σαῖς ἀγκάλαις ὁρῶμεν ἔνθεον βρέφος
γέρας νέμοντα τοῖς πόθῳ ὑμνοῦσί σε.

116

ΑΝΑΣΤΑΣΙΜΟΣ

Λ φ. 87α

Ὠδὴ α΄. Ἦχος γ΄. Ὁ Εἱρμός.

Ἄσωμεν λαοὶ τῷ ἐκ δουλείας
τὴν κτίσιν πάλαι λυτρωσαμένῳ
καὶ τὸν πρωτόπλαστον Ἀδὰμ
τῆς ἀρᾶς τῆς πρώην ἐλευθερώσαντα
καὶ συνεγείραντα ἡμᾶς
τῇ τριημέρῳ ἀναστάσει αὐτοῦ·
ἐνδόξως γὰρ δεδόξασται.

Εἱρμὸς ἄλλος

Ὁ βασιλεύων ἐπὶ ὑδάτων πολλῶν
ἅρματα διέρρηξε
τοῦ Φαραὼ ἐν θαλάσσῃ Ἐρυθρᾷ·
ἄσωμεν ᾠδὴν ὡς Θεῷ

Ὠδὴ β΄

Προσέχετε ἅπαντες λαοὶ
τὰ τοῦ Θεοῦ μεγαλεῖα
καὶ ἴδετε ὅτι τὸ ἡμέτερον φορέσας
ἐκ Παρθένου ἐθέωσεν ἡμᾶς
τῇ αὐτοῦ ἀγαθότητι ὡς φιλάνθρωπος.

Ὠδὴ γ΄

Ἰσχὺς καὶ δόξα τῶν ἐλπιζόντων εἰς σὲ
ὑπάρχεις, παντοδύναμε,
τοῦ γὰρ ἐχθροῦ τὸ ὑψαύχενον
τῷ καλάμῳ τοῦ σταυροῦ κατέβαλες ἀσ-
[ράτως

καὶ ἐδωρήσω ἡμῖν
τὴν τριήμερόν σου ἔγερσιν.

Ὠδὴ δ΄

Πεπεδημένους ἐν ἀνδρείᾳ
ὁ ἐξάγων, παντοδύναμε,
κεραλὰς τῶν δυσμενῶν
ἐν ἐκστάσει διακόπτων
ἐξανέστης τριήμερος
δωρησάμενος ἡμῖν
ἀγαλλίασαν καὶ λύτρωσιν
τοῖς ἀπαύστως βοῶσι
δόξα τῇ δυνάμει σου.

Ὠδὴ ε΄

Τῆς ζοφερᾶς ἀχλύος
τῶν παθῶν ἐκλυτρωσάμενος
ἐδωρήσω ἡμῖν τὸ φῶς καὶ τὴν εἰρήνην σου
τοῖς ὀρθρίζουσιν ἀπαύστως
ἐπὶ τὰ προστάγματα τῶν σῶν ἐντολῶν
καὶ εὐσεβῶς προσκυνοῦσι
τὸν σταυρόν σου τὸν τίμιον.

Ὠδὴ ς΄

Ἐν τῷ κήτει πάλαι διαπετάσας τὰς χεῖρας
ὁ προφήτης Ἰωνᾶς
τὸν σώζειν δυνάμενον
ἐκ θανάτου καὶ φθορᾶς
ἐλθεῖν ἐδείκνυ
καὶ ζάλην κατευνάσαι
τῇ τριημέρῳ ἐγέρσει
τῆς δυναστείας αὐτοῦ.

Ὠδὴ ζ΄

Τὸ φλογωδὲς τοῦ πυρὸς
οὐχ ἥψατο τῶν παίδων·
ἀλλ' ἐν καμίνῳ βληθέντες
θεολογοῦντες ἐβόων·
εὐλογητὸς εἶ, βασιλεῦ τῶν αἰώνων
καὶ αἰνετὸς ὁ διὰ σταυροῦ καὶ ταφῆς σου
ἀναστὰς τριήμερος
καὶ συνεγείρας ἡμᾶς
ὁ τῶν πατέρων Θεός.

Ὠδὴ η΄

Πρόσταγμα τυραννικὸν
κατέπτυσαν οἱ παῖδες
ἐν τῇ καμίνῳ ποτέ·
καὶ βληθέντες ἐν αὐτῇ
τοῖς θεολόγοις στόμασιν
ἀνέμελπον τὸν ὕμνον
τῷ σταυρωθέντι καὶ ταφέντι
καὶ βροτοὺς θεώσαντι
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄

Ἐν τῷ σταυρῷ παρεστῶσα
ἡ ἀμνὰς ἡ ἄσπιλος
καὶ μήτηρ καὶ Παρθένος
τοῦ λυτρωτοῦ ὁλοφυρομένη ἐβόα
διακρυροροῦσα θερμῶς·
τί τοῦτο τὸ μέγα θαῦμα
ὃ τοῖς ὀφθαλμοῖς μου ὁρᾶται σήμερον
πῶς ἡ ζωὴ θανάτου γεύεται;
οἴμοι τέκνον πόθεινόν
τί τοῦτο τὸ παράδοξον
καὶ τὸ μέγα μυστήριον

ὃ εἰργάσω ἐπὶ γῆς
διὰ τὸ σῶσαι τὸν Ἀδὰμ
καὶ σὺν τούτῳ πάντας ἀπαύστως
τοὺς μεγαλύνοντας
τὰ ἑκούσιά σου πάθη
καὶ τὴν θείαν ἔγερσιν
καὶ τὴν ἀσπόρως σε κυήσασαν.

117

ΑΝΑΣΤΑΣΙΜΟΣ

Λ φ. 88β

Ὠδὴ α΄. Ἦχος γ΄. Ὁ Εἱρμός.

Τῷ ρυσαμένῳ δουλείας Φαραὼ
τοὺς υἱοὺς Ἰσραὴλ
καὶ ἐν θαλάσσῃ Ἐρυθρᾷ
ποσὶν ἀβρόχοις διαβιβάσαντι
ἄσωμεν ὅτι μόνος ὑπάρχει
ἐνδόξως ποιῶν θαυμάσια.

Ὠδὴ γ΄

Ὁ τὴν γῆν στερεώσας
καὶ οὐρανοὺς ἐν συνέσει πηξάμενος
στερέωσον, Κύριε,
τὴν σεσαλευμένην μου ψυχὴν
ἐν τῇ ἀγάπῃ τῇ σῇ
ὡς μόνος παντοδύναμος.

Ὠδὴ δ΄

Ἀκήκοεν ὁ Ἀββακοὺμ
τὴν παρουσίαν σου, Λόγε,
καὶ ἐκπλαγεὶς τῷ θαύματι
ἀνακέκραγε ἐν φόβῳ
δόξα τῇ κενώσει
καὶ τῇ ἀφράστῳ βουλῇ
καὶ συγκαταβάσει σου.

Ὠδὴ ε΄

Τοὺς ὀρθρίζοντας, Λόγε,
ἐπὶ τὰ προστάγματα τῶν θείων ἐντολῶν σου
φώτισον καὶ εἰρήνην δώρησαι
ὡς χορηγὸς τοῦ παντὸς
καὶ μόνος πολυέλεος.

Ὠδὴ ς΄

Πρὸς τὸν δυνάμενον σώζειν
ἐκ θανάτου καὶ φθορᾶς
ἐκ θλίψεως κακῶν μου ἐβόησα·
οἶδας, μακρόθυμε,
οἶδάς μου τὸ ἀσθενὲς
τὴν ζάλην καὶ τὰ κύματα
τῶν ἀρρήτων πειρασμῶν καταπράϋνον
ὅπως ἔλθῃ μου ἡ προσευχὴ
εἰς τὸ θεῖόν σου βῆμα
καὶ εἰς ναόν σου τὸν οὐράνιον.

Ὠδὴ ζ΄

Μὴ παραδώῃς εἰς τέλος τὴν κλ
[νομίαν
καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην
ὁ τῶν πατέρων Θεὸς καὶ ὑπερένδο

Ὠδὴ η΄

Εὐλόγησάν σε οἱ οὐρανοὶ τῶν οὐρα
καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρα
ἤνεσε τὸ ὄνομά σου
τῶν ἀγγέλων ὁ δῆμος
καὶ τῶν βροτῶν τὰ πλήθη
εὐλογοῦσιν ὑμνοῦσι
καὶ ὑπερυψοῦσι
καὶ δοξολογοῦσι
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄

Κατ' ἀξίαν οὐ σθένει
ἐκφῆμῆσαί σε, πανάμωμε,
νοῦς οὐδὲ οὐράνιος·
ἀλλὰ φίλον σοι πάντη
τὸ εἰς δύναμιν ἐφύμνιον,
ἄχραντε πανύμνητε,
διό σε μακαρίζομεν πάντες
ὑμνοῦμεν καὶ δοξάζομεν
πίστει τὸν ὑπὲρ νοῦν τόκον σου
καὶ ἀσιγήτοις ἄσμασι μεγαλύνομεν
τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

118

[ΑΝΑΣΤΑΣΙΜΟΣ]

Ποίημα Ἀνδρέου Κρήτης

Β φ. 87α

Ὠδὴ α΄. Ἦχος γ΄. Ὁ Εἱρμός.

Τῷ πλήθει τῆς δόξης σου
συνέτριψας τοὺς ὑπεναντίους
ἔδυσαν εἰς βυθὸν ὡσεὶ λίθος
ἔδυσαν ὡσεὶ μόλυβδος
ἐν ὕδατι σφοδρῶς·
τίς ὅμοιός σοι ἐν θεοῖς, Κύριε,
τίς ὅμοιός σοι δεδοξασμένος ἐν ἁγίο

Ὠδὴ β΄

Φόβῳ ῥήματος Θεοῦ
ἀκουέτω οὐρανὸς
προσέχειν δὲ τὴν γῆν ἐπαγγέλλο
ἰδέτω δὲ ἰδέτω πάντα τὰ ἔθνη
ὅτι Θεὸς πλὴν ἐμοῦ
οὐκ ἔστιν ἄλλος κτίστης
ποιητὴς καὶ δημιουργὸς
πάσης κτίσεως.

http://www.verypdf.com
Created by Image2PDF trial version to remove this mark, please registerthis software.

Ὠδὴ γ'

Ὁ στερεώσας οὐρανοὺς
τῷ νεύματι τῷ θείῳ σου,
μόνε φιλάνθρωπε,
στερέωσον τὴν καρδίαν μου
ἐπὶ σοὶ τοῦ βοᾷν σοι ἀπαύστως
ἅγιος εἶ, Κύριε.

Ὠδὴ δ'

Προφητικοῖς ὄμμασιν
Ἀββακοὺμ ὁ προφήτης
τὴν ἔλευσίν σου, Κύριε,
προορῶν μελῳδικῶς ἐβόα·
ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ
ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ
δόξα τῇ δυνάμει σου.

Ὠδὴ ε'

Φῶς ἐκ φωτὸς ὑπάρχων
τοῦ πατρὸς τὸ ἀπαύγασμα
παράσχου μοι, σωτήρ,
τὸ φῶς τῶν προσταγμάτων σου.

Ὠδὴ ϛ'

Ἐκ κοιλίας ἅδου τῶν κακῶν μου
εἰσάκουσον φωνῆς μου
μὴ καταπιέτω με
βυθὸς τῆς ἁμαρτίας·
ἄβυσσος γὰρ ἐκύκλωσεν
ἐσχάτη τὸν λογισμόν μου·
ἀλλ' ἀναβήτω ἐκ φθορᾶς
ἡ ζωή μου πρὸς σέ, Κύριε.

Ὠδὴ ζ'

Παῖδες Ἑβραίων ἐκ Σιὼν
ἐν τῇ γῇ τῶν Χαλδαίων
καταπατήσαντες τοῦ πυρὸς τὴν φλόγα
εἰς δρόσον μετέβαλον
καὶ ὑμνοῦντες ἐβόων·
ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'

Τὸν ὁραθέντα τοῖς παισὶν
ἐν τῇ καμίνῳ τοῦ πυρὸς
καὶ δροσοβόλον ποιήσαντα
τὴν φλόγα τοῦ πυρὸς
ἐνεργείᾳ θεϊκῇ
εὐλογεῖτε πάντα τὰ ἔργα
Κυρίου τὸν Κύριον.

Ὠδὴ θ'

Ἐπεσκέψατο ἡμᾶς
ἀνατολὴ ἐξ ὕψους
τοῖς ἐν σκότει καὶ σκιᾷ καθημένοις
τὸ ἀπρόσιτον φῶς
ὁ συναΐδιος Λόγος τοῦ πατρὸς
ἐκ τῆς Παρθένου καὶ ἁγνῆς
σαρκωθεὶς ὡς οἶδεν αὐτός·
διὸ σὺν τῇ τεκούσῃ
αὐτὸν μεγαλύνομεν.

119

Ποίημα Ἀνδρέου Κρήτης

Β φ. 88α

Ὠδὴ α'. Ἦχος γ'. Ὁ Εἱρμός.

Τόξον πολέμιον
καὶ ἅρματα Φαραὼ
καὶ τὴν δύναμιν αὐτῶν
ἐν Ἐρυθρᾷ κατεπόντισε θαλάσσῃ
ὁ ἀντάναιρῶν πολέμους
Χριστὸς ὁ Θεός·
αὐτῷ δῶμεν δόξαν
ὅτι ἐνδόξως δεδόξασται.

Ὠδὴ β'

Ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ Κυρίῳ
τὴν δὲ γῆν ἔδωκε τοῖς υἱοῖς τῶν ἀν-
[θρώπων
αὐτῷ κατὰ πάντα
καὶ διὰ πάντα εὐχαριστοῦντες
μεγαλωσύνην δώσωμεν.

Ὠδὴ γ'

Στήριξον συνέτισον στερέωσόν με
πρὸς συμπλοκὴν τοῦ πειράζοντος ἐχθροῦ
ἵνα καυχώμενος ἐν σοί,
Χριστέ, τροπώσωμαι τὸν ἀλάστορα.

Ὠδὴ δ'

Κατανοῶν ὁ προφήτης
τὰ ἔργα τῆς οἰκονομίας σου
ἐξιστάμενος φόβῳ ἐβόα·
ἐξ ὄρους κατασκίου
ἀπὸ Θαιμὰν ἥξει ὁ Θεὸς
δόξα τῇ δυνάμει αὐτοῦ.

Εἱρμὸς ἄλλος

Εἰσακήκοα, Κύριε,
τὰ θαυμάσια τῆς φρικτῆς οἰκονομίας σου
ὅτι ἐξ ὄρους παρθενικοῦ
προῆλθες ἀναλλοιώτως
καὶ ἐδόξασα, οἰκτίρμον,
τὴν ἀκατάληπτόν σου δύναμιν.

Ὠδὴ ε'

Φωταγωγὲ τῶν ἐν σκότει
καὶ εἰρήνης χορηγὲ
τὸ φῶς τὸ ἀνέσπερον
λάμψον δέομαι
καὶ ὁδήγησόν με ἐν τῇ τρίβῳ
τῶν θείων ἐντολῶν σου·
σὺ γὰρ εἶ ὁ φωτισμὸς τῶν ψυχῶν ἡμῶν.

Ὠδὴ ϛ'

Ὅτε ὁ προφήτης Ἰωνᾶς
ὑπὸ τοῦ κήτους ἐξεπέμπετο
εἰς πόλιν Νινευῒ
ἐκ βάθους καρδίας ἐβόα σοι
πρὸς ζωὴν ἀναγαγεῖν·
κἀγὼ δέομαι
δέξαι με κραυγάζοντα
ἀνάγαγε ἐκ βυθοῦ κατωτάτου
τὴν ζωήν μου, Κύριε.

Ὠδὴ ζ'

Ἐν Βαβυλῶνι οἱ παῖδες
μὴ πεισθέντες προσκυνῆσαι
εἰκόνι τῇ χρυσοτεύκτῳ
χαλδαϊκῇ καμίνῳ ἔβησαν ὁμοῦ
πίστει συμφώνως ψάλλοντες·
εὐλογητὸς εἶ, Κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Τῷ τὸν οὐρανὸν ὡσεὶ δέρριν ἐκτείναντι
ἐντὸς δὲ ἀγγέλους συνέχοντι
ὑμνεῖτε καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Σὲ τὴν κεχρυσωμένην στάμνον
καὶ ἔμψυχον νεφέλην
τὴν βρύουσαν τοῖς πιστοῖς
τὰ ἰάματα, Θεοτόκε,
ἀσιγήτοις ὕμνοις μεγαλύνομεν.

120

[ΑΝΑΣΤΑΣΙΜΟΣ]

Ποίημα Ἀνδρέου Κρήτης

Π φ. 89α

Ὠδὴ α'. Ἦχος γ'. Ὁ Εἱρμός.

Κράτος ἐν ἰσχύϊ σου, Χριστέ,
τοὺς ἀναπολεμοῦντας ἐκάλυψε κευθμὼν
εἰς χάος ἅδου τύραννον
ἔρρηξεν σὺν τριστάταις αὐτοῦ·
ὁ δὲ λαὸς τοῦ Ἰσραὴλ
ἀγαλλιώμενος μέλπει
ὡς φοβερὰ τὰ ἔργα τοῦ δυνατοῦ
ἐπὶ λαῷ αὐτοῦ πιστῷ.

Ὠδὴ β'

Πρόσχες μοι, Χριστὲ ὁ Θεός μου
ὁ καταβὰς ὡς εὔσπλαγχνος
δι' οἶκτον ταπεινώσεως
καὶ δώρησαί μοι προστρέχειν
τῇ τρίβῳ τῶν ἐντολῶν σου
ὡς μόνος ἀγαθὸς
ὑπάρχων καὶ φιλάνθρωπος.

Ὠδὴ γ'

Ἐξ ἀτόπων λογισμῶν
καὶ ποικίλων ἐννοιῶν
τὴν ψυχήν μου, ἀγαθέ,
σαλευομένην βοῶ·
στερέωσόν με
βεβαίωσόν με
ἐν σοὶ τῷ σωτῆρί μου
τοῦ ὑμνεῖν σε πάντοτε καὶ ψάλλ
οὐκ ἔστιν ἅγιος
πλήν σου, Κύριε.

Ὠδὴ δ'

Οὐρανοὺς ἐκάλυψεν ἡ ἀρετή σου, Χ
ὁ κτίστης τεχθεὶς
ἐκ τῆς Παρθένου μητρός·
Ἡσαΐας κράζει βοῶν
ἰδοὺ νεφέλη φωτὸς
ἀπάγουσα εἰς Αἴγυπτον
τὸν Χριστὸν ἡμῖν φέρει.

Ὠδὴ ε'

Ὄρθρον φαεινὸν ἡμῖν
ἐξανάτειλον, Χριστὲ ὁ Θεός,
καὶ τῷ φωτί σου καταύγασο
[καρδί
ὅτι σὺ ὑπάρχεις
ἡ εἰρήνη τῶν ψυχῶν ἡμῶν.

Ὠδὴ ϛ'

Περιεχύθη ὕδωρ ἕως ψυχῆς μ
ἄβυσσος ἁμαρτημάτων ἐκύκλωσέ
ἀλλά, Κύριε Κύριε,
ἐκ φθορᾶς με τῶν παθῶν λύ
ὥσπερ πρὶν τὸν Ἰωνᾶν
ἐκ τοῦ θηρὸς καὶ διάσωσόν μ

Ὠδὴ ζ'

Διεχεῖτο ἡ φλὸξ
τῆς ἐκκαείσης καμίνου
ποτὲ ἑπταπλασίως
προστάξει τοῦ τυράννου
ἐπὶ πήχεις τεσσαράκοντα ἐννέ
καὶ τοὺς κύκλῳ ἑστῶτας Χαλδαί
δυσμενεῖς κατέφλεξε·
τοὺς δὲ μέσον βληθέντας
εὐσεβεῖς νεανίας
διεφύλαξεν ἀκεραίους ψάλλοντας
ὁ Θεὸς τῶν πατέρων
ἡμῶν εὐλογητὸς εἶ.

Ὠδὴ η'

Μουσικῶν ὀργάνων συμφωνούν
κάμινος ἐξήπτετο
τυραννικῇ προστάξει·
τρισσοφαὴς δὲ χορὸς
παίδων ὁ σοφὸς
τοῦ πυρὸς τὴν φλόγα κατεπάτησ

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

δροσοβόλῳ ἀγγέλῳ συμψάλλοντες·
ὡς ποιητὴν τὰ ποιήματα πάντα
Θεὸν εὐλογεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Σὲ τὴν παναγίαν κιβωτὸν
ὡς μόνην δεξαμένην
Θεὸν προαιώνιον
καὶ ἄνθρωπον πρόσφατόν
ἀσιγήτως οἱ πιστοὶ
ὑμνοις μεγαλύνομεν.

121

[ΑΝΑΣΤΑΣΙΜΟΣ]

Ποίημα Ἀνδρέου Κρήτης

B φ. 91β

Ὠδὴ α'. Ἦχος γ'. Ὁ Εἱρμός.

* Διελθὼν πόντον ἐρυθρὸν
ὡς ἐν ἐρήμῳ ἰχμάδος ἄνευ
ὁ λαὸς τοῦ Ἰσραήλ·
Φαραὼ δὲ ἐν ὕδατι
ὑποβρύχιον ὁρῶν
ἄσμα καινὸν ἀνεβόα·
τῷ Θεῷ ἡμῶν ἄσωμεν
ὅτι δεδόξασται.

Ὠδὴ γ'

Ἄσειστον πέτραν
δώρησαι, Χριστέ, τῇ ἐκκλησίᾳ σου
ἐν ᾗ στηρίξας ὕψωσον
τὸ κέρας τῶν πιστευόντων εἰς σέ·
σὺ γὰρ πέλεις Θεὸς ἡμῶν
ἐκτός σου ἄλλον οὐκ οἴδαμεν.

Ὠδὴ δ'

Ἔθου ἀγάπησιν
κραταιὰν ἰσχύος
ἐξῆλθες εἰς σωτηρίαν λαοῦ σου
τοῦ σῶσαι τοὺς χριστούς σου
ὁ προφήτης Ἀββακοὺμ
προανεφώνει σαφῶς
κατανοῶν σου, Χριστέ,
τὴν ἐπ' ἐσχάτων ἔλευσιν
μεθ' οὗ σοι κραυγάζομεν
δόξα τῇ δυνάμει σου.

Ὠδὴ ε'

Ὁ φωτὶ ἅπασαν κατανυγάσας τὴν
[οἰκουμένην,
Χριστὲ ὁ Θεός,
φωτὶ τῶν σῶν προσταγμάτων
φώτισον ἡμῶν τὰς ψυχὰς
καὶ σῶσον ὡς φιλάνθρωπος.

Ὠδὴ ς'

Ἰωνᾶς τῶν σπλάγχνων
μολὼν τοῦ κήτους
ὁ προφήτης χεῖρας ποτὲ
ὀρεγνὺς ἐβόησεν·
ἀναβήτω ἐκ φθορᾶς
καὶ ἔλθοι ἡ προσευχή μου πρὸς σέ.

Ὠδὴ ζ'

Ἀρδευομένη κάμινος πυρὶ
νάρθῃ καὶ πίσσῃ
καὶ στυππείῳ καὶ κληματίδι
παῖδας ἐγκολπίους πάλαι
εὐσεβεῖς δεξαμένη
ἀφλέκτους διετήρησε
θεολογοῦντας καὶ λέγοντας·
ὁ τῶν πατέρων ἡμῶν Θεὸς
εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας.

Ὠδὴ η'

Ἐν τῇ φλογὶ τῇ ἀσουσίῳ
τρεῖς παῖδες ὑμνολόγοι
ὑπὲρ εὐσεβείας βληθέντες
ἀβλαβεῖς διέμειναν ᾄδοντες·
εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ'

Ἵπτηνται τὰ τῆς φύσεως
ἀδυνατεῖ τὰ ἐγκώμια πρὸς μέτρον
τῇ Θεοτόκῳ προσίζεσθαι·
λοχεία γὰρ παρθενικὴ
πατρὸς ἀνάρχου Λόγον
τὸν ἄναρχον ὤδινε
θεανδρικῶς πολιτευσάμενον
εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

122

[ΑΝΑΣΤΑΣΙΜΟΣ]

Ποίημα Ἀνδρέου Κρήτης

B φ. 92β

Ὠδὴ α'. Ἦχος γ'. Ὁ Εἱρμός.

* Τῷ καταδιελόντι Θεῷ
τὴν Ἐρυθρὰν εἰς διαιρέσεις θάλασσαν
καὶ τὸν Ἰσραὴλ διὰ μέσου αὐτῆς διαβιβά
[σαντα

ᾠδὴν καινὴν ἄσωμεν
ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ γ'

Ὑψωσόν μου τὸ κέρας, Χριστέ,
καταβεβλημένον ὑπὸ τῆς ἁμαρτίας

καὶ στερέωσον τὴν καρδίαν μου
μὴ τρέπεσθαι πρὸς κακίαν, φιλάνθρωπε.

Ὠδὴ δ'

Νικῶσαν ἅπαντα νοῦν
εἰσακηκοώς σου τὴν σάρκωσιν
καὶ φοβηθεὶς ἐδόξασα, Κύριε.

Ὠδὴ ε'

Καθεύδοντά με τῇ ραθυμίᾳ
ταῖς σαῖς ἀκτῖσι διύπνισον
ἐκ νυκτὸς ἀγνοίας καὶ λήθης
πρὸς ὑμνῳδίαν σου, Χριστὲ
τὸ φῶς τὸ ἀΐδιον.

Ὠδὴ ς'

Ἁμαρτιῶν ἀβύσσῳ με κυκλούμενον
μὴ ἀπώσῃ τῶν εὐσπλάγχνων
ὀφθαλμῶν σου, Κύριε,
ἀλλ' ἐκ τῆς φθορᾶς με ἀνάγαγε.

Ὠδὴ ζ'

Καμίνου φλόγα οὐκ ἔπτηξαν
οἱ θεόλεκτοι παῖδες ἐν Βαβυλῶνι·
ὅθεν καὶ ἐκραύγαζον βοῶντες
εὐλογητὸς εἶ, Κύριε, καὶ ὑπερένδοξος.

Ὠδὴ η'

Τὴν ἀθεώτατον πλάνην πατοῦντες
οἱ Ἰσραηλῖται παῖδες
ἐκ φλογὸς καιομένης ἐβόων·
ἱερεῖς καὶ λαοί
ὑμνεῖτε εὐλογεῖτε
τὸν μόνον Θεὸν ἡμῶν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Παρθένε μῆτερ καὶ ἁγνὴ
ἡ τεκοῦσα τὸν Λόγον ὑπὲρ λόγον
οἱ πιστοὶ κατὰ χρέος
σὲ ἄσμασιν ἅπαντες
ᾠδαῖς καὶ ὕμνοις μεγαλύνομεν.

123

Ποίημα Στεφάνου Ἁγιοπολίτου [τοῦ Σαββαΐτου]

φ. 93α

Ὠδὴ α'. Ἦχος γ'. Ὁ Εἱρμός.

* Πολεμίους κραταιοὺς
Κύριος συνέτριψεν
ἅρματα δὲ Φαραὼ
θυθῷ ἐκάλυψε·
καὶ ἐρρύσατο περιούσιον λαὸν
ὑμνοῦντα καὶ λέγοντα
τῷ Κυρίῳ ἄσωμεν
ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ γ'

Ὁ τῷ λόγῳ σου, Χριστέ,
οὐρανοὺς στερεώσας
καὶ τὴν γῆν ἑδράσας
ἐπὶ ὑδάτων πολλῶν
κλονούμενόν με στερέωσον ἐν τῇ τρίβῳ
τῶν ἐντολῶν σου ὡς φιλάνθρωπος.

Ὠδὴ δ'

Τέρατα φρικτὰ
λοχείας παρθενικῆς
ὁ Ἀββακοὺμ προορῶν
τῇ δυνάμει σου δόξα ἐκραύγαζε,
φιλάνθρωπε Κύριε,
ὅτι Θεὸς ὑπάρχων
γέγονας ἄνθρωπος.

Ὠδὴ ε'

Πρὸς σὲ τὸν φωτοδότην καὶ Κύριον
ἐκ νυκτὸς ὀρθρίζοντες
ὑμνοῦμέν σου τὴν δύναμιν
τὴν εἰρήνην αἰτοῦντες
ταῖς ψυχαῖς ἡμῶν
δωρήσασθαι ὡς φιλάνθρωπον.

Ὠδὴ ς'

Εἰς ἄβυσσον ταπεινώσεως ὄντες
ὡς Ἰωνᾶς σοι βοῶμεν, Χριστὲ ὁ Θεός.
ἀναβήτω ἐκ φθορᾶς
ἡ ζωὴ ἡμῶν πρὸς σέ, Κύριε.

Ὠδὴ ζ'

Ῥῆμα τυραννικὸν
οἱ θεοφόροι παῖδες μισήσαντες
καὶ πυρὸς φλογίζουσαν ὁρμὴν
ἑαυτοὺς εἰς δροσίζουσαν αὔραν
μετεποιοῦντο ᾄδοντες·
ὁ Θεὸς τῶν πατέρων ἡμῶν εὐλογητὸς εἶ.

Ὠδὴ θ'

Μήτηρ ἀπειρόγαμε
καὶ μόνη Θεοτόκε Παρθένε
ἡ δανείσασα σάρκα
τὸν ἀναβαλλόμενον φῶς ὡς ἱμάτιον
ὡς πάντων ὑπερτέραν γεραίρομεν
σὲ κατὰ χρέος ἅπαντες
καὶ μεγαλύνομεν.

124

ΣΤΑΥΡΟΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Λαμιανοῦ μοναχοῦ

B φ. 94α

Ὠδὴ α'. Ἦχος γ'. Ὁ Εἱρμός.

* Ὁ παραγαγὼν ἐν ἐρήμῳ
τὸν λαὸν πάλαι διὰ Μωσέως
ὡς θνητὸς ἐν τάφῳ τριημερεύσας
ἐπιλελησμένους γηγενεῖς
πρὸς φῶς ἀνεκαίνισε τῆς ἀναστάσεως·

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

αὐτῷ μόνῳ ἄσωμεν
ὅτι δεδόξασται.

Ὠδὴ γ'

Νέον Σινᾶ θεασάμενος
ὁ ἐκλεκτὸς περιούσιος λαὸς
τὸ ζωηφόρον μνῆμα Κυρίου
ἐκεῖθεν δεξώμεθα
ὡς νόμιον ζωὴν αἰώνιον
πιστῶς στερεούμενοι.

Ὠδὴ δ'

Οὐρανοὺς ὁ κατοικῶν
καὶ τὰ ταπεινὰ ἐφορῶν
σοφία Λόγος καὶ δύναμις,
παντεξούσιε Θεέ, εἰς χοῦν θανάτου
κατῆλθες σαρκοφόρος
τοὺς πεπεδημένους
τῇ σῇ δυνάμει ἀναστήσας
δόξα τῇ δυνάμει σου.

Ὠδὴ ε'

Ὁ σεραφικώτατος αὐλὸς
τοῦ τρισαγίου μέλους ὁ αἴτιος
ἡ πηγὴ τῆς χρηστότητος
ἐκ νεκάδων ἄϋλος
ὡς ἀστὴρ φαεινὸς
ἀνατείλας, Κύριε,
τοὺς κενεῶνας κατεφώτισας
τῆς γῆς ὁ ὑπέρθεος.

Ὠδὴ ς'

Λύω λῃστῶν ἐν μέσῳ
ἐν σταυρῷ προσηλωθεὶς
ἡ ἐνυπόστατος ἀλήθεια
καὶ τοῖς ὑπευθύνοις ἡ ἐπανόρθωσις
ὅπως τῷ κόσμῳ
ἀφθαρσίαν πηγάσῃ
ἐκ τῆς πλευρᾶς σου, Χριστέ.

Ὠδὴ ζ'

Μένος παναλάστορος
τῇ πληγῇ τοῦ πάθους σου,
σωτὴρ δυνατέ, ἀπενέκρωσας
καὶ ἡμῖν τοῖς μέλπουσιν
ἀπαθείας δρόσον
ἐν καμίνῳ τῆς ἀπάτης ἐπώμβρησας
ὁ Θεὸς τῶν πατέρων
ἡμῶν εὐλογητὸς εἶ.

Ὠδὴ η'

Ἄγει με, Χριστέ, τοῦ σταυροῦ σου [τὸ ξύλον
εἰς ἐπίγνωσιν ζωῆς
καὶ ὑμνῶ σου τὸ κράτος τῆς θεότητος.
ὅθεν σοι ἀναμέλπω
ὡς ἐκ Σιὼν οἱ ἀχμάλωτοι παῖδες
πίστει δροσιζόμενοι
εὐλογεῖτε τὰ ἔργα πάντα
τὸν ἐκ μὴ ὄντων τὸ πᾶν συστησάμενον.

Ὠδὴ θ'

Ὁρῶσά σε ἡ ἀνανδρος
Θεοτόκος ἐν ξύλῳ
ὁλοφυρμοῖς τρυχομένη ἐβόα·
ἆρα τίς ἐποίησε
τὸν τρωσφόρον, ὦ Χριστέ,
τὰς ἀκτῖνας εἰσδύναι
καὶ οὐρανὸν ἀποβάλλαι τὴν μορφήν;
οὐδεὶς ἐν γενεαῖς τῶν θνησκόντων
ἀλλ' ἥμην εἰς τοῦτο ἦλθες
ἵνα καθαίρῃς δούρατι καὶ τὴν ἀνάστασιν.

125

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Ἰλαρίωνος πατριάρχου

Λ φ. 95α

Ὠδὴ α'. Ἦχος γ'. Ὁ Εἱρμός.

Κευθμῶν θαλάττιος
σταυροτύπως τμηθείς
γῆν μὲν ἄβατον
ἰσραηλίτης λαὸς
βαίνει ἀνίκμους ποσὶ
σταυρῷ τειχιζόμενος·
τὸν Φαραὼ γὰρ καθορῶν
μέσον ὑποβρύχιον ὑγρᾶς
κραυγάζει Θεῷ
ἐν τυμπάνῳ καὶ χορῷ
ᾄσωμεν ᾆσμα καινὸν
ὅτι δεδόξασται.

Ὠδὴ γ'

Νεῦσον πρὸς ἡμᾶς
ὁ ἐν ὑψηλοῖς καθήμενος
ἐν δεξιᾷ τοῦ πατρὸς
καὶ ἐν πέτρᾳ πίστεως
σὲ κηρύττοντας Θεὸν
στερέωσον, Λόγε Θεοῦ,
ὁ ἅγιον ἅγιος·
σὺ γὰρ μόνος Κύριος
καὶ οὐκ ἔστι πλὴν σου
ἅγιος μόνε φιλάνθρωπε.

Ὠδὴ δ'

Μεταρσίῳ ἀρθαλμῷ
προφητικῶς ὁ Ἀββακοὺμ
σοῦ κατανοήσας τὴν ἔλευσιν
ἀπὸ Θαιμὰν ἐκραύγαζε

δασέος ὄρους, Χριστέ,
ἥξει Παρθένου
σαρκωθεὶς ὁ Θεός μου δύναμις.

Ὠδὴ ε'

Σὲ τὸ ὑπέρφωτον φῶς
λάμψαν ἐκ πατρὸς υἱϊκῶς
χρόνοις ἐσχάτοις δὲ μιχθὲν
φύσει ἀνθρωπότητος, Χριστέ,
κόσμῳ σέλας ἀπαστράψαν σῆς γνώσεως
ἐκ νυκτὸς ἀχλύος ὑμνοῦντες
πρὸς φῶς ὀρθρίζομεν.

Ὠδὴ ς'

Ἡ τοῦ βίου κυματώδης ζάλη περιεκύ- [κλωσέ με
ὡς ὕδωρ θαλάσσης Ἰωνᾶ
ἀλλ' ἐκεῖνος ποντογενοῦς ἁλίου θηρὸς
ὥσπερ πρὶν ἐπέπωτο ἀνέθορεν
ἐμὲ ἅρδην, Χριστέ,
ἐκλείπειν μέλλοντα
θᾶττον ἀνάστησον.

Ὠδὴ ζ'

Ὁ τοῖς πάθεσιν ἀλλοτρίᾳ ἐν γῇ γενόμενος
σοὶ ὡσῶ ἐν κλιανθμῷ
χειρῶν ὄργανα
ταῖς παρειαῖς κρεμάσας μου·
πῶς ἄσω σοι Σιὼν τὴν ᾠδὴν
ἐμαυτὸν γὰρ ἔχρανα
ἀλλὰ τριμερὲς τῆς ψυχῆς μου
ὡς οἱ παῖδες μέλπει σοι·
εὐλογητὸς εἶ τῶν πατέρων Κύριε
ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ὠδὴ η'.

Ὦ πῶς ἡ κάμινος τῶν ἡδονῶν μου
εἰς ὕψος ἀνερριπίσθη !
καὶ Χαλδαῖοι οἱ τῆς κακίας ἐργοδιῶκται
πάθεσιν ἐξέμηναν·
ἀλλὰ ταύτην, σῶτερ,
ὥσπερ ἐκείνους ἀνάλωσον
καμὲ δὲ αἴγλῃ
ὡς τρεῖς παῖδας φώτισον
εὐλογεῖτε βοῶντα
τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ'

Ἴδρυσας; Λόγε, σοῦ ἐν εἰκόνι
νοῶν ἡγεμονικὸν
λογικὸν ζῶον θέμενος ἄνθρωπον·
ᾧ ἐνωθεὶς μοι
διὰ μέσης ψυχῆς νοερᾶς ἐθεούργησας
ἐξ ἀχράντου Παρθένου σαρκωθείς·
διό σε Θεομήτορα Χριστὸν
τὴν τεκοῦσαν μεγαλύνομεν.

126

ΕΙΣ ΤΟΥΣ ΑΓΙΟΥΣ ΑΠΟΣΤΟΛ(

Ποίημα Γεωργίου Σικελιώτου

Β φ. 96α

Ὠδὴ α'. Ἦχος γ'. Ὁ Εἱρμός.

Φυγάδι λαῷ
ἐχερσοῦτο θάλασσα ἡ Ἐρυθρὰ
ἐν ᾗ διωκτῶν
κατεπόθη ἔνοπλος ἰσχὺς
καὶ Θεῷ ἀνεμέλπετο ᾠδή·
τῷ κραταιῷ ἐν πολέμοις ἄσωμεν
οἱ ἐκ δουλείας λυτρωθέντες αἰγυπτι
ὅτι δεδόξασται.

Ὠδὴ β'

Ἡ παντοτρόφος δωρεὰ τῶν κρειττ
τοὺς οὐρανοὺς τῷ λόγῳ στερεώσα
τοὺς μαθητὰς ἐνέπλησε γνώσεω
ἐκ στερεᾶς τοῦ Πνεύματος πέτρας
τὴν μεγαλοπρέπειαν
τοῦ διηγεῖσθαι τῆς δόξης αὐτοῦ
ὑφ' οὗ οἱ ἐξ ἐθνῶν ἐλλαμφθέντ
μεγαλωσύνην Κυρίῳ προσάξωμεν.

Ὠδὴ γ'

Ψυχαχωγῆσαν τῷ βλαστῷ
τὴν ἄπαιδα προφήτιδα
τελειοῖ τὸ ἅγιον Πνεῦμα·
ἁλιεῖς δὲ σοφίσαν
ῥήτορας ἐμφαίνει παγκοσμίους
ὡς ἀγαθὸς γνώσεων Κύριός ἐστιν
ἰσουργῶν πατρί τε καὶ υἱῷ.

Ὠδὴ δ'

Νοητικῶς τὴν πρόσκλησιν τῶν ἀποστό
ὁ Ἀββακοὺμ προσημαινόμενος ἐκ
[γα
ἐπεβίβασας εἰς θάλασσαν τοὺς ἵππους
τῆς κοσμικῆς πλημμύρας
ταράσσοντας ὕδατα
διαλογισμοὺς ἀγνοίας·
Κύριε, δόξα τῇ δυνάμει σου.

Ὠδὴ ε'

Ὁ φόβος σου, Κύριε,
συλληφθεὶς ἐν τῇ γαστρὶ τῶν ἀποστόλ
ἔτεκε σωτηρίας πνεῦμα
εἰς πᾶσαν τὴν γῆν
ὡς εἰς τὰ πέρατα τῆς οἰκουμένης
φῶς ζωὴ καὶ εἰρήνη ἐδείκνυτο·
ἡ γὰρ δρόσος ἡ παρὰ σοῦ
δι' αὐτῶν ἡμῖν πηγασθεῖσα
ἅμα ἐγένετο
τοῖς ἐκ νυκτός σοι ὀρθρίζουσιν.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

'Ωδὴ ς'

'Ωμοιώθην πεφυρμένῳ σάλῳ
τῇ ἀστάτῳ μου γνώμῃ
καὶ ἐν βουλαῖς κυκλοῦμαι
πονηρῶν ἐννοιῶν·
ἀλλὰ κοπάσας τῆς ψυχῆς μου
τὴν πολυτάραχον ζάλην
ἀνάγαγέ με ἐκ φθορᾶς
ὡς τὸν Ἰωνᾶν ὀρέγων μοι
χεῖρα βοηθείας.

'Ωδὴ ζ'

Σιγῇ τυράννων
τὸ παλίμφημον δόγμα
βοᾷ μειράκων
τὸ θεόφραστον στόμα
ὅτι πῦρ οὐκ ἔδεται ἡμᾶς
ἀλλ' ἐφύχωσε δρόσος·
εὐλογητὸς εἶ, Κύριε,
ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

'Ωδὴ η'

Λαμπροφεγγὶς παίδων τριὰς
ἐν τῇ φλογώδει καμίνῳ
ἐκστίλψασα τῇ πίστει
τυραννικὸν θράσος ὀλεῖ
ἐν τῇ ἀφλέκτῳ ἐκβάσει
τῆς ἄνω θεωρίας·
προφητικῶς γὰρ ἔψαλλον
πάντων τῶν ὄντων ἡ σύστασις
ὑμνεῖτε εὐλογεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

'Ωδὴ θ'

Ἱερουσαλὴμ τῆς ἀνωτάτω
βατήριος ἡμῖν ἡ εἴσοδος·
ἡ θεοδόχος γὰρ Σιὼν
τὸ ὄρος τὸ ἅγιον
ἡ ἄφλεκτος βάτος
τῷ ὑπερφυεῖ αὐτῆς τόκῳ
ἥνωσε θεότητι τὴν ἀνθρωπότητα·
ἣν ὡς Θεοτόκον
οἱ σεσωσμένοι
κατὰ χρέος μεγαλύνομεν.

127

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΒΑΣΙΛΕΙΟΝ

Ποίημα Ἀνδρέου Κρήτης

Β φ. 98β

'Ωδὴ α'. Ἦχος γ'. Ὁ Εἱρμός.

* Τῷ ἐν τῇ βάτῳ ὀφθέντι
τῷ Μωυσῇ ἐπὶ τοῦ ὄρους Σινᾶ
καὶ ἐπιδώσαντι αὐτῷ
τὰς ἐν γραφῇ καὶ πλαξὶ
θεοχαράκτους γραφὰς
ἄσωμεν ᾆσμα καινὸν
ὅτι δεδόξασται.

'Ωδὴ β'

Πρόσεχε οὐρανέ
καὶ ἐνωτίζου ἡ γῆ
ὅτι ὡς δρόσος τὰ ῥήματα
τῶν λαλούντων τὰ μεγαλεῖα τοῦ Θεοῦ.

'Ωδὴ γ'

Ἐστερεώθημεν ἐν τῷ μόνῳ ἁγίῳ
καὶ δικαίῳ Θεῷ ἡμῶν·
τῶν εὐσεβῶν γὰρ δογμάτων
ἴσωσε τὸ αὔχος ἐν τῇ ἀληθείᾳ.

'Ωδὴ δ'

Ἐτάκησαν οἱ βωμοὶ τῶν εἰδώλων
τῇ παρουσίᾳ σου, Χριστέ,
καὶ τὰ ἄρη διεῤῥύβησαν,
αἱ τῶν δαιμόνων φάλαγγες·
διό σοι κραυγάζομεν
δόξα τῇ δυνάμει σου, Κύριε.

'Ωδὴ ε'

Ἐωθινὴν ὑμνῳδίαν
διὰ παντός σοι προσφέρομεν, Χριστέ,
ὅτι πέπτωκε τῶν ζοφερομόρφων
δογμάτων ἡ ἀσέβεια·
τῷ σῷ γὰρ ἀπροσίτῳ φωτὶ
κατηύγασας, σωτήρ, τὴν ἐκκλησίαν σου.

'Ωδὴ ς'

Τὴν τριήμερόν σου ταφὴν
ἐν τῷ κήτει προτυπῶν
ἐκραύγαζεν Ἰωνᾶς
ἐκ κοιλίας ᾅδου βοῶν
ἀνάγαγέ μου τὴν ζωὴν
ἐκ φθορᾶς ὁ Θεὸς καὶ σῶσόν με.

'Ωδὴ ζ'

Ὁ βλέπων ἀβύσσους
καθήμενος ἐπὶ τῶν χερουβὶμ
εὐλογητὸς εἶ, Κύριε,
καὶ ὑπερύμνητος καὶ δεδοξασμένος
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

'Ωδὴ η'

Οἱ θεόλεκτοι παῖδες ἐν Βαβυλῶνι
μὴ σπείσαντες τῇ εἰκόνι τῇ χρυσῇ
δροσερῶς ἐλλαμπρύνθησαν
ἐν τῇ καμίνῳ ἔψαλλον·
πάντα τὰ ἔργα Κυρίου
εὐλογεῖτε τὸν Κύριον.

'Ωδὴ θ'

Μόνη γυναικῶν
Παρθένος μήτηρ γέγονας·
τεκοῦσα γὰρ τὸν ἄναρχον
καὶ ἀκατάληπτον

Θεὸν ἀνερμηνεύτως
ἐκ τῶν ἀχράντων σου λαγόνων, ἀει-[πάρθενε,
διέμεινας ἄφθορος·
ὅθεν ὡς ἀνωτέραν τῶν ποιημάτων
σὲ μεγαλύνομεν.

128

ΑΚΟΛΟΥΘΙΑ ΑΝΑΤΟΛΙΚΗ

Β φ. 103α

'Ωδὴ α'. Ἦχος γ'. Ὁ Εἱρμός.

* Ῥάβδος μωσαϊκὴ ἐπ' εὐθείας
μαστίξασα τὴν θάλασσαν
τῷ Ἰσραὴλ διέτεμε·
πάλιν ἡ αὐτὴ τὸν Φαραὼ θυθίσασα
ἥνωσε τὸ ὕδωρ εἰς πλησμονὴν
ἐπ' εὔρος κροτήσασα
ἵνα δείξῃ τὸν σταυρὸν
ἐν ᾧ σέσωσται ὁ περιούσιος λαὸς
ἄδων ᾠδὴν τῷ Θεῷ.

'Ωδὴ γ'

Ἐστειρωμένη μου ψυχὴ τί οὐκ ἐργάζῃ
ἀλλ' ἀεὶ ἀμελεῖς τῶν ἔργων τῶν ἀγαθῶν
ἀνάστα καρποφόρησον
καὶ βόησον πρὸς Κύριον·
ἐν σοὶ θαρροῦμεν, ἀγαθέ,
οὐκ ἔστιν ἅγιος οὐκ ἔστι δίκαιος
καὶ οὐκ ἔστιν ὅσιος
πλήν σου Κύριε.

'Ωδὴ ε'

Δέξαι με ὀρθρίζοντα,
πατρὸς συνάναρχε υἱέ,
ὁ ἐπ' ἐσχάτων κενωθεὶς ὑπὲρ ἡμῶν
καὶ τῆς τοῦ διαβόλου
τυραννίδος ἀπαλλάξας ἡμᾶς
καὶ νεκρώσας
τὴν ἁμαρτίαν τοῦ προπάτορος.

'Ωδὴ ς'

Καθελκομένη πολυστρόφοις τοῖς πάθεσι,
σωτήρ, ἡ ψυχή μου ὑποβιάζεται
ὑφάλοις χώροις καὶ δεινοῖς βαράθροις
ψαύει τῆς χθονός·
ἀλλ' ἀναβήτω ἐκ φθορᾶς,
ὡς Ἰωνᾶς ἁλίου θηρός,
σεσώστω πανσθενεῖ σου δεξιᾷ
καὶ διάσωσόν με.

'Ωδὴ ζ'

Σάλπιγγος ἐνηχούσης
σύριγγος καὶ κιθάρας
σαμβύκης τε καὶ ψαλτηρίου
καὶ συμφωνίας καὶ παντὸς γένους μουσικῶν
παῖδες εὐαγεῖς οὐκ ἐθέλχθησαν
ἀθεωτάτοις δόγμασιν·
ἀλλ' ἐν καμίνῳ βληθέντες
δροσιζόμενοι ὁμοφρόνως ἔψαλλον·
εὐλογητὸς εἶ, τῶν πατέρων Κύριε
ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

'Ωδὴ η'

Μετεβάλλετο φύσις φλέγουσα
εἰς ὕδωρ ποτὲ καὶ ἐδρόσιζεν
οὓς μέσον ἔφερε
ὑμνορρήτορας παῖδας
κατέφλεγε δὲ τοὺς πόρρωθεν
ἐκδιδάσκουσα πᾶσαν κτίσιν
εὐλογεῖν καὶ ὑμνεῖν
τὸν ὄντως ὄντα Θεὸν εἰς τοὺς αἰῶνας.

'Ωδὴ θ'

Σὲ τὸν ἀχώρητον ἐν οὐρανοῖς
χωρήσασαν ἐν μήτρᾳ
σὲ τὴν τροφέα τοῦ κόσμου
Χριστὸν θηλάσασαν Παρθένον
τὴν οὐράνιον πασπάδα
καὶ ἐπίγειον ἀμνάδα
ὕμνοις μεγαλύνομεν.

129

ΑΚΟΛΟΥΘΙΑ ΑΝΑΤΟΛΙΚΗ

Ποίημα Γεωργίου [Ἁγιοπολίτου]

Β φ. 105α

'Ωδὴ α'. Ἦχος γ'. Ὁ Εἱρμός.

* Φυγάδα πάλαι Ἰσραὴλ
διεβίβασας ἀβρόχως, Κύριε,
διαῤῥήξας τὸ ὕδωρ τὸ ἐρυθραῖον
ἄδοντα ᾠδὴν τὴν ἐξόδιον.

'Ωδὴ γ'

Περιπαρεῖσα πνεύματι Θεοῦ
ἱερομήτωρ Ἄννα τὴν ψυχὴν
τὸ θεῖον ἐλιτάνευε
κράτος τοῦ πλάσαντος
τὴν χοϊκὴν οὐσίαν
τοῦ πρωτοπλάστου Ἀδὰμ
ἀναβοῶσα σὺν ἐπιπνοίᾳ
οὐκ ἔστιν ἅγιος
πλήν σου, ἀναλλοίωτε.

'Ωδὴ δ'

Γεγηθὼς τῇ ψυχῇ
ὁ προφήτης Ἀββακοὺμ
σοὶ ἀνεβόα, Χριστέ,
ἦλθες ἔσωσας τὸν πάλαι πεσόντα

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

δόξα τῇ δυνάμει σου.

'Ωδὴ ε'

'Εν νυκτὶ τῶν κακῶν μου ὁ τάλας ἐγὼ
συνεχράνθην ἀφεγγῶς, ἀναλλοίωτε,
διό σοι κραυγάζω ὡς 'Ησαΐας
τὴν ψυχήν μου φώτισον
τοῖς προστάγμασί σου
ἵνα ὀρθρίζων ὑμνῶ σε,
Χριστὲ τὸ φῶς τὸ ἄδυτον.

'Ωδὴ ς'

'Ο τὸν προφήτην ἐν μυχοῖς θαλαττίοις
φλυδοῦντα διασώσας, Χριστέ,
τὴν ζωήν μου δέομαι
ἐκ φθορᾶς ἐγκλημάτων ἀναβίωσον.

'Ωδὴ ζ'

'Ιερουργούμενοι παῖδες
ἐν καμίνῳ Λεηρᾷ
ὡς θύματα ἄμωμα Χριστοῦ
τυράννου προστάγματα
ἔθεντο εἰς φλήναφον
καὶ τὸν ὕμνον ᾄδοντες ἔλεγον·
ὁ Θεὸς τῶν πατέρων
εὐλογητὸς εἶ καὶ ὑπερένδοξος.

'Ωδὴ η'

'Υμνεῖτε παῖδες
εὐλογεῖτε τὸν ἐν σοφίᾳ
τοὺς οὐρανοὺς ἐκτείναντα Θεὸν
καὶ τὸ πῦρ εἰς δρόσον μεταποιήσαντα
καὶ ὑπερυμνοῦτε
ἱερεῖς καὶ λευῖται
αὐτὸν εἰς τοὺς αἰῶνας.

'Ωδὴ θ'

'Εκ πασῶν τῶν γενεῶν
σὺ μόνη μήτηρ ἐχρημάτισας Θεοῦ
ὡς φερέσβιον δὲ ἄνασσαν
οἱ γηγενεῖς μακαριοῦμέν σε.

130

ΕΙΣ ΤΗΝ ΚΟΙΜΗΣΙΝ ΤΗΣ ΘΕΟΤΟΚΟΥ

Ποίημα Θεοδώρου τοῦ Σταυδίτου

Β φ. 105β

'Ωδὴ α'. 'Ηχος γ'. 'Ο Εἱρμός.

* Τῷ βυθίσαντι θαλάσσῃ μυστικῇ
τὸν νοητὸν Φαραὼ παντστρατιᾷ
καὶ ἀνάξαντι ἡμᾶς εἰς οὐρανοὺς
ὡς ἐπὶ ὄρους 'Ισραὴλ
ἄσωμεν ἆσμα καινὸν
ὅτι δεδόξασται.

'Ωδὴ β'

Οὐρανὸς καὶ ἡ γῆ κηρύττει
τῆς δημιουργίας σου τὸ ἀπόρρητον θαῦμα
ἐν ᾧ μεγαλοσύνην καὶ δόξαν
ἀναπέμπομεν λαοί
σοὶ τῷ Δεσπότῃ Θεῷ.

'Ωδὴ γ'

'Η ἀστεῖρα ἔτεκεν ἑπτὰ
τῆς ἀτελοῦς ἐν τέκνοις ἀντίθετος
ἡ ἐκκλησία σου, Χριστέ,
ἣν τῇ πέτρᾳ τῆς πίστεως ἐστερέωσας.

'Ωδὴ δ'

Κατάσχιον ὄρος
ὁ 'Αββακοὺμ τὴν Παρθένον κεκληκώς
τὸν δυσέρικτον τρόπον
τῆς ἐξ ἁδίλου παρουσίας
ἐν ᾗ ἀρρήτως σαρκωθεὶς
ἔσωσας τοὺς χριστούς σου,
'Ιησοῦ ὁ Θεός.

'Ωδὴ ε'

'Ο τὸ ἀρχέγονον σκότος
τῷ φωτὶ διαλύσας
τὸν γνόφον τῆς καρδίας μου
τῇ αἴγλῃ τῶν προσταγμάτων σου
μείωσον, Χριστέ,
ἵνα ὀρθρίζω σοι λαμπρῶς
τῷ ἀπροσίτῳ φωτί.

'Ωδὴ ς'

Εἰς βάθη καρδίας
θαλάσσης ἀνομημάτων
ἀπέρριμμαι κἀγώ·
διὸ ὡς 'Ιωνᾶν
ἀνάγαγέ με
κραυγάζω ἐκ φθορᾶς
ἵνα ἀποδώσω σοι
τὰς εὐχάς μου τῷ Κυρίῳ.

'Ωδὴ ζ'

Τῆς πυριπλέκτου καμίνου
δειχθείσης δροσοβόλου,
ὦ θαῦμα φρικτόν!
Χαλδαῖοι ἐρλέγοντο
παῖδες ἐμύχοντο
ἀνυμνοῦντες τὸν τῶν πατέρων Θεόν.

'Ωδὴ η'

Τὸν χρηματίσαντα ἐπὶ τοῦ ὄρους
Μωσῆ πρὶν συνόμιλον
ᾄσχοντες οἱ παῖδες ποτὲ
τῆς Τριάδος τὸ συναῤῥὲς
ἐρωτίζοντο πίστει κραυγάζοντες·
πάντα τὰ ἔργα Κυρίου
τὸν Κύριον ὑμνεῖτε εἰς τοὺς αἰῶνας.

'Ωδὴ θ'

'Ως ἐν ἡλίῳ εὔηφεν
ἐκ σοῦ τὴν σάρκα ὁ Χριστὸς
καὶ αὐτὸς ὡς νυμφίος ἐκπορευθεὶς
ἐκ νηδικῆς σου παστάδος
ἔλαμψε τῷ κόσμῳ ζωὴν
ὃν μέλποντες, ἁγνή, σὲ μεγαλύνομεν

131

Ποίημα 'Ανδρέου Κρήτης

Β φ. 106β

'Ωδὴ α'. 'Ηχος γ'. 'Ο Εἱρμός.

* 'Ασμα καινὸν
καὶ ᾠδὴν πνευματικὴν
ἄσωμεν λαοὶ
τῷ Φαραὼ θυθίσαντι
καὶ τὸν 'Ισραὴλ διασώσαντι.

'Ωδὴ β'

"Ιδετε ἴδετε
ὅτι ἐγώ εἰμι ὁ Θεὸς Λόγος
ὁ γεννηθεὶς ἐκ γυναικὸς
καὶ μὴ τραπεὶς ἀλλὰ μείνας
Θεὸς ἀναλλοίωτος.

'Ωδὴ δ'

'Εν ἐκστάσει συσχεθεὶς
'Αββακοὺμ ἐκραύγαζε·
δόξα, Χριστέ, τῇ συγκαταβάσει σου
ὅτι ἦλθες σῶσαι
τοὺς χριστούς σου ὡς εὔσπλαγχνος.

'Ωδὴ ε'

'Εκ νυκτὸς τὸ πνεῦμά μου
ὀρθρίζει καὶ δοξάζει σε
διότι φῶς τὰ προστάγματά σου, Χριστέ,
ἅπασι τοῖς δούλοις σου ἐγένετο.

'Ωδὴ ς'

'Ἐξ ἀμέτρων πταισμάτων μου
κραυγάζω θυθιζόμενος
ἐκ παιδῶν τῶν ἐν ἐμοί·
ἀλλὰ πρὸς σὲ [καταφεύγω]
τὴν ζωήν μου ἐκ φθορᾶς ἀνάγαγε
ὥσπερ τὸν 'Ιωνᾶν
ἐκ τοῦ κήτους ὁ Θεός.

'Ωδὴ ζ'

Καμίνου φλόγα οὐκ ἔπτηξαν
οἱ θεόλεκτοι παῖδες ἐν Βαβυλῶνι·
ὅθεν καὶ ἐκραύγαζον βοῶντες·
εὐλογητὸς εἶ, Κύριε, καὶ ὑπερένδοξος.

'Ωδὴ η'

Πάντα τὰ φυόμενα ἐν τῇ γῇ
καὶ πάντα τὰ ἐν αὐτῇ
ὑμνεῖ καὶ δοξάζει σε
τὸν δημιουργὸν καὶ ὑπερένδοξον
τὸν ἐν καμίνῳ τοὺς παῖδας διασ[ω]σάμενον
πίστει εὐλογοῦντάς σε τὸν Θεόν.

'Ωδὴ θ'

Σὲ τὴν ἐπὶ Μωυσέως
βάτον, Παρθένε, προορισθεῖσαν
ἐν πυρὶ καιομένην
καὶ μὴ φλεγομένην
ἀκαταπαύστως μεγαλύνομεν.

132

ΑΚΟΛΟΥΘΙΑ ΑΝΑΣΤΑΣΙΜΟΣ ΣΙΝΑΪΤΙΚΗ

Β φ. 104β

'Ωδὴ α'. 'Ηχος γ'. 'Ο Εἱρμός.

* "Ασωμεν τῷ Κυρίῳ τῷ ὑψίστῳ
δεδοξασμένος ἐστὶν ἐν αἰνέσει.

'Ωδὴ ε'

'Εκ νυκτὸς ὀρθρίζοντες,
Κύριε, ὑμνοῦμέν σε·
ὁδήγησον ἐν τῷ φωτὶ
τῶν προσταγμάτων σου τὰς ψυχὰς ἡμῶν

'Ωδὴ ζ'

'Ο Θεὸς τῶν πατέρων ἡμῶν
εὐλογητὸς εἶ
καὶ δεδοξασμένος εἰς τοὺς αἰῶνας
ὑπερύμνητόν σου τὸ ὄνομα.

'Ωδὴ η'

Σοβαρὸς Περσῶν βασιλεὺς
διάταγμα δοὺς
κάμινον ἐκκαῦσαι
καὶ τρεῖς παῖδας ἐν αὐτῇ
βληθῆναι προσέταξε·
σέλας ἄπλετον
ὑπερηκόντι[ζε] τὸ πῦρ·
τῆς γὰρ Θεοῦ συγκαταβάσεως
τοῦτο τὸ θαῦμα ἦν·
διὰ τοῦτο ὑμνεῖτε πᾶσα κτίσις
τὸν σὺν πατρὶ καὶ Πνεύματι
συμπροσκυνούμενον
εἰς πάντας τοὺς αἰῶνας.

'Ωδὴ θ'

Μεγαλύνομέν σε πᾶσαι αἱ γενεαί,
παναγία Παρθένε
ὅτι ἐποίησέ σοι
μεγαλεῖα ὁ δυνατός.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please register this software.

ΕΙΡΜΟΙ Δ' ΗΧΟΥ

133

ΑΝΑΣΤΑΣΙΜΟΣ
Ποίημα Ἰωάννου μοναχοῦ

Λ φ. 90α

Ὠδὴ α'. Ἦχος δ'. Ὁ Εἱρμός.

Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος
ἀβρόχοις ἴχνεσιν
ὁ παλαιὸς πεζεύσας Ἰσραὴλ
σταυροτύποις Μωσέως χερσὶ
τοῦ Ἀμαλὴκ τὴν δύναμιν
ἐν τῇ ἐρήμῳ ἐτροπώσατο.

Ὠδὴ β'

Λῶμεν μεγαλωσύνην
τῷ Θεῷ τῷ λυτρωτῇ ἡμῶν
ὅτι ἐτέχθη ἐκ τῆς Παρθένου
εἰς σωτηρίαν τοῦ γένους τῶν βροτῶν.

Ὠδὴ γ'

Εὐκραίνεται ἐπὶ σοὶ
ἡ ἐκκλησία σου, Χριστέ, κράζουσα·
σύ μου ἰσχύς, Κύριε
καὶ καταφυγὴ καὶ στερέωμα.

Ὠδὴ δ'

Ἐπαρθέντα σε ἰδοῦσα ἡ ἐκκλησία
ἐπὶ σταυροῦ τὸν ἥλιον
τῆς δικαιοσύνης
ἔστη ἐν τῇ τάξει αὐτῆς
εἰκότως κραυγάζουσα·
δόξα τῇ δυνάμει σου, Κύριε.

Ὠδὴ ε'

Σύ, Κύριέ μου, φῶς
εἰς τὸν κόσμον ἐλήλυθας
φῶς ἅγιον ἐπιστρέφον
ἐκ ζοφώδους ἀγνοίας
τοὺς πίστει ἀνυμνοῦντάς σε.

Ὠδὴ ς'

Θύσω σοι
μετὰ φωνῆς αἰνέσεως, Κύριε,
ἡ ἐκκλησία βοᾷ σοι
ἐκ δαιμόνων λύθρου κεκαθαρμένη
τῷ δι' οἰκτον
ἐκ τῆς πλευρᾶς σου ῥεύσαντι αἵματι.

Ὠδὴ ζ'

Ἐν τῇ καμίνῳ
Ἀβραμιαῖοι παῖδες τῇ περσικῇ
πόθῳ εὐσεβείας μᾶλλον ἢ τῇ φλ
πυρπολούμενοι ἐκραύγαζον·
εὐλογημένος εἶ
ἐν τῷ ναῷ τῆς δόξης σου, Κύριε.

Ὠδὴ η'

Χεῖρας ἐκπετάσας Δανιὴλ
λεόντων χάσματα
ἐν λάκκῳ ἔφραξε·
πυρὸς δὲ δύναμιν ἔσβεσαν
ἀρετὴν περιζωσάμενοι
οἱ εὐσεβείας ἐρασταὶ
παῖδες κραυγάζοντες·
εὐλογεῖτε
πάντα τὰ ἔργα Κυρίου τὸν Κύρ

Ὠδὴ θ'

Λίθος ἀχειρότμητος ὄρους
ἐξ ἁλιαέτου σου, Παρθένε,
ἀχωρογνώμων ἐτμήθη
Χριστόν, συνάψας τὰς διεστώσας φύ
δι' ἐπιγαλλόμενοι
σὲ Θεοτόκε, μεγαλύνομεν.

134

Ποίημα Γερμανοῦ πατριάρχου

Λ φ. 91α

Ὠδὴ α'. Ἦχος δ'. Ὁ Εἱρμός.

Ἄσωμεν τῷ Κυρίῳ
τῷ παραδόξως δυθίσαντι
τὸν Φαραὼ ἐν θαλάσσῃ
ᾠδὴν ἐπινίκιον
ὅτι δεδόξασται.

Ὠδὴ β'

Δότε λαοὶ
μεγαλωσύνην Χριστῷ τῷ Θεῷ ἡμῶν
τῷ ἐκ Παρθένου τεχθέντι
εἰς σωτηρίαν βροτῶν.

Ὠδὴ γ'

Ἅγιος εἶ, Κύριε ὁ Θεὸς ἡμῶν,
στερέωσον καὶ ἡμῶν τὰς καρδίας
ἀπαύστως ἐκβοᾶν σοι·
δίκαιος οὐκ ἔστιν πλήν σου, Κύριε.

Εἱρμὸς ἄλλος

Ἅγιος εἶ, Κύριε ὁ Θεὸς ἡμῶν,
στερέωσον τὰς καρδίας ἡμῶν
εἰς τὸ ὑμνεῖν καὶ δοξάζειν σε.

Ὠδὴ δ'

Εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην
κατενόησα τὰ ἔργα σου
καὶ ἐξέστην, Κύριε.

Ὠδὴ ε'

Τῷ νόμῳ τῶν ἐντολῶν σου,
μόνε φιλάνθρωπε,
φώτισον τὴν καρδίαν μου δέομαι,
Κύριε, καὶ ἐλέησόν με.

Εἱρμὸς ἄλλος

Ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας
αἰνοῦμέν σε, Κύριε ὁ Θεὸς ἡμῶν,
εἰσάκουσον τῆς φωνῆς ἡμῶν.

Ὠδὴ ς'

Τῷ κλύδωνι συνεχόμενος τῶν πταισμάτων
φιλανθρωπίας ἀξιούμενος οὐ γινώσκω
ὡς τὸν προφήτην Ἰωνᾶν
κἀμὲ διάσωσον, σῶτερ.

Ὠδὴ ζ'

Τῶν Χαλδαίων τὴν κάμινον
πάλαι ὁ ἄγγελος
καταβὰς ἐδρόσισεν
ἐν Βαβυλῶνι παισί·
διὰ τοῦτο ἔψαλλον·
ὁ τῶν πατέρων εὐλογητὸς εἶ, Κύριε.

Ὠδὴ η'

Τὸν ἐν σταυρῷ σαρκὶ προσηλωθέντα
καὶ ὑποδείξαντα ἡμῖν
ὅπλον εἰς σωτηρίαν
παῖδες ὑπερυψοῦτε

Χριστὸν τὸν Θεὸν ἡμῶν εἰς τοὺς αἰῶ

Εἱρμὸς ἄλλος

Τὸν ἐν φλογὶ συγκαταβάντα
τοῖς ὑμνολόγοις τῆς Σιὼν
μορφῇ ἀγγέλου
παῖδες ὑπερυψοῦτε
Χριστὸν τὸν Θεὸν ἡμῶν εἰς τοὺς αἰῶ

Ὠδὴ δ'

Σὲ τὴν τὸν ἀχώρητον Λόγον
ἐν γαστρὶ χωρήσασαν
καὶ μὴ στενοχωρήσασαν
τὴν τῶν οὐρανῶν πλατυτέραν
καὶ τῶν χερουβὶμ ἐνδοξοτέραν,
Θεοτόκε ἄχραντε,
ὕμνοις μεγαλύνομεν.

135

ΑΝΑΣΤΑΣΙΜΟΣ
Ποίημα Ἰωάννου μοναχοῦ

Λ φ. 92β. Β φ. 109α

Ὠδὴ α'. Ἦχος δ'. Ὁ Εἱρμός.

Τριστάτας κραταιοὺς
ὁ τεχθεὶς ἐκ Παρθένου
ἀπαθείας ἐν θυθῷ
ψυχῆς τὸ τριμερὲς
καταπόντισον δέομαι
ὅπως σοι ὡς ἐν τυμπάνῳ
τῇ νεκρώσει τοῦ σώματος
ἐπινίκιον ἄσω μελῴδημα.

Ὠδὴ γ'

Ἀφ' ὕψους κατῆλθες
βουλήσει ἐπὶ γῆς
ὁ ὑπεράνω πάσης ἀρχῆς
καὶ ταπεινὴν ἀνύψωσας
ἐξ ᾅδου κατωτάτου
φύσιν βροτείαν·
οὐ γὰρ ἔστιν ἅγιος
πλήν σου, φιλάνθρωπε.

Ὠδὴ δ'

Ὁ καθήμενος ἐν δόξῃ
ἐπὶ θρόνου θεότητος
ἐν νεφέλῃ κούφῃ
ἦλθεν Ἰησοῦς ὁ ὑπέρθεος
τῇ ἀκηράτῳ Παρθένῳ
καὶ διέσωσε
τοὺς κραυγάζοντας
δόξα, Χριστέ, τῇ δυνάμει σου.

Ὠδὴ ε'

Νῦν ἀναστήσομαι
προφητικῶς ἔφη ὁ Θεὸς
νῦν δοξασθήσομαι

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

νῶν ὑμνοθήσομαι
τὸν πεσόντα προσλαβών
ἐκ τῆς Παρθένου
καὶ πρὸς φῶς τὸ θαυμαστὸν
ἀνυψῶν τῆς ἐμῆς θεότητος.
Ὠδὴ ϛ΄
Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης
καὶ κατεπόντισέ με
κατακλυσμὸς πολλῶν ἁμαρτημάτων
ἀλλ' ὡς Θεὸς ἐκ φθορᾶς ἀνάγαγε
τὴν ζωήν μου, πολυέλεε.
Εἱρμὸς ἄλλος
Ἔφυ τῆς σῆς, Δέσποτα,
ἐξεικόνισμα ἀῤῥάστου
εἰς ᾅδην ὁ Ἰωνᾶς σκηνώσεως·
τριήμερος γὰρ
ἐν τῷ βυθῷ τοῦ κήτους ἐβόα·
εὐεργέτα Κύριε
δόξα τῇ σῇ εὐσπλαγχνίᾳ.
Ὠδὴ ζ΄
Νέοι τρεῖς ἐν Βαβυλῶνι
πρόσταγμα τυραννικὸν
εἰς φλόγαρον θέμενοι
ἐν μέσῳ πυρὸς ἀνεβόων·
εὐλογητὸς εἶ, Κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.
Ὠδὴ η΄
Λυτρωτὰ τοῦ παντὸς παντοδύναμε,
τοὺς ἐν μέσῳ φλογὸς εὐσεβήσαντας
συγκαταβὰς ἐδρόσισας
καὶ ἐδίδαξας ᾄλλειν·
πάντα τὰ ἔργα
εὐλογεῖτε ὑμνεῖτε τὸν Κύριον.
Ὠδὴ θ΄
Κρυπτὸν θεῖον ἄχραντον
ἐν σοὶ τελεῖται
ἐμφανὲς μυστήριον,
Παρθένε ἄχραντε,
καὶ γὰρ Θεὸς
ἐκ σοῦ σεσωμάτωται
δι' εὐσπλαγχνίαν· διὸ
σὲ ὡς Θεοτόκον μεγαλύνομεν.

136

ΕΙΣ ΤΟΥΣ ΑΓΙΟΥΣ ΑΠΟΣΤΟΛΟΥΣ [1]

Ποίημα Ἰωάννου μοναχοῦ

Λ φ. 93α

Ὠδὴ α΄. Ἦχος δ΄. Ὁ Εἱρμός.
Οὐκ ἔστι σοι ὅμοιος,
δεδοξασμένε Κύριε,
ἐν χειρὶ γὰρ κραταιᾷ
ἐλυτρώσω τὸν λαὸν
ὃν ἐκτήσω, φιλάνθρωπε.
Ὠδὴ γ΄
Οὐκ ἐν σοφίᾳ
καὶ δυνάμει καὶ πλούτῳ καυχώμεθα
ἀλλ' ἐν σῇ τῇ ταπεινώσει
ἐνυποστάτῳ σοφίᾳ Θεοῦ
οὐ γὰρ ἔστιν ἅγιος
πλὴν σοῦ, φιλάνθρωπε.
Ὠδὴ δ΄
Οὗτος ὁ Θεὸς ἡμῶν
ὁ ἐκ Παρθένου σαρκωθείς
καὶ τὴν φύσιν θεώσας
ὃν ὑμνοῦντες βοῶμεν
δόξα τῇ δυνάμει σου, Κύριε.
Ὠδὴ ε΄
Ὁ κτησάμενος ἡμᾶς
περιούσιον λαὸν
τῷ αἵματί σου, Κύριε,
τὴν σὴν εἰρήνην δὸς ἡμῖν
ἐν ὁμονοίᾳ φυλάττων τὴν ποίμνην σου.
Ὠδὴ ϛ΄
Ἐν κήτει, Χριστέ, τριημερεύσας
Ἰωνᾶς προέγραψε
σὲ τὸν ἀθάνατον
ὡς νεκρὸν ἑκούσιος
ἐν τῇ καρδίᾳ τῆς γῆς τριημερεύσαντα.
Ὠδὴ ζ΄
Ὁ ἐν ἀρχῇ ἄναρχος Λόγος
σὺν πατρὶ καὶ τῷ Πνεύματι
υἱὸς μονογενὴς
εὐλογητὸς εἶ καὶ ὑπερυμνούμενος
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.
Ὠδὴ η΄
Ὁ τὰ σύμπαντα φέρων
τῇ ἀπορρήτῳ σου δυνάμει, Χριστέ,
τοὺς ὁσίους σοῦ παῖδας
ἐν τῇ φλογὶ ἐδρόσισας κράζοντας·
εὐλογεῖτε τὰ ἔργα τὸν Κύριον.
Ὠδὴ θ΄
Μετὰ τόκον σε, ἁγνή,
καὶ πρὸ τοῦ τόκου
καὶ ἐν τόκῳ, ἄχραντε,
πᾶσα ἡ κτίσις καταγγέλλουσι
ὡς Θεοτόκον ἀληθῆ μεγαλύνομεν.
Εἱρμὸς ἄλλος
Σὲ τὴν ὑπερένδοξον νύμφην
καὶ παρθενίαν Θεοτόκον
τὴν τὸν Χριστὸν τεκοῦσαν
τῶν ὁρατῶν τε πάντων καὶ ἀοράτων
ἐν ὕμνοις μεγαλύνομεν.

(1) Καὶ ὁ ἐν τοῖς ἐντύποις Κανὼν Εὐθυμίου τοῦ μεγάλου (Ἰανουαρ. κ΄) φέρει ἀκροστιχίδα καὶ τοῦ Εἱρμοῦ τούτου συμπεριλαμβανομένου « Ὄλεθρος πέφηνας γηγενῶν Εὐθύμιε ».

137

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Ἰωάννου μοναχοῦ

Λ φ. 94α. Β φ. 110α

Ὠδὴ α΄. Ἦχος δ΄. Ὁ Εἱρμός.
Ἄσωμεν ᾆσμα καινὸν
τῷ βασιλεῖ τῶν αἰώνων
ὅτι δεδόξασται.
Ὠδὴ γ΄
Τὸ στερέωμα τῶν ἐπὶ σοὶ πεποιθότων
Χριστὲ ὁ Θεὸς
ἐν τῇ πίστει τῇ ὀρθοδόξῳ σου
στήριξον ἡμᾶς ὡς φιλάνθρωπος.
Ὠδὴ δ΄
Εἰσακήκοα τὴν ἀκοήν σου, Κύριε,
ὅτι ὤφθης ἐπὶ γῆς
καὶ ἐδόξασα τὴν δύναμίν σου.
Ὠδὴ ε΄
Ἐκ νυκτὸς τὴν ὠδὴν ἀναπέμπομέν σοι
διότι φῶς καὶ εἰρήνη τὰ προστάγματά σου.
Ὠδὴ ϛ΄
Ὡς τὸν προφήτην ἐκ βυθοῦ
καὶ φθορᾶς ἀνήγαγες
τὴν ζωήν μου, ἀγαθέ,
πταισμάτων ῥῦσαι τῇ εὐσπλαγχνίᾳ σου.
Ὠδὴ ζ΄
Ἧς διαθήκης σου μνησθείς, Χριστὲ ὁ Θεός,
τοὺς παῖδας ἐρύσω ἐκ φλογὸς
δι' ἀγγέλου συγκαταβάσεως,
μόνε ἀληθῶς ὑπερένδοξε.
Ὠδὴ η΄
Τὸν ἐν μορφῇ ἀγγέλου ὁραθέντα
καὶ ἐν καμίνῳ πυρὸς τοῖς ὑμνολόγοις
Χριστὸν τὸν Θεὸν ὑμνεῖτε παῖδες
Ἱερεῖς εὐλογεῖτε
λαὸς ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.
Ὠδὴ θ΄
Σὲ τὴν ἀπειρόγαμον Θεοτόκον
τὴν οὐράνιον παστάδα
τὴν τεκοῦσαν τὸν ἀρχηγὸν τῆς σωτηρί-
[ας ἡμῶν
ὕμνοις μεγαλύνομεν.

138

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Ἰωάννου μοναχοῦ

Λ φ. 94β. Β φ. 111β

Ὠδὴ α΄. Ἦχος δ΄. Ὁ Εἱρμός.
Ἄσωμεν λαοὶ
τῷ θαυμαστῶς τερατουργήσαντι
ἐν Ἐρυθρᾷ θαλάσσῃ
Χριστῷ τῷ Θεῷ
ὅτι τὸν πάλαι Ἰσραὴλ
ἀνολίσθοις ἴχνεσι
πεζοπορεῖν τὴν ἄβατον πεποίηκε
καὶ τὸν τῆς κακίας
ἐργοδότην Φαραὼ
ἐν βυθῷ κατεπόντισεν.
Ὠδὴ γ΄
Ὅτι στείρα ἔτεκεν
ἡ ἐξ ἐθνῶν ἐκκλησία
καὶ ἡ πολλὴ ἐν τέκνοις
ἠσθένησε συναγωγὴ
τῷ θαυμαστῷ Θεῷ ἡμῶν βοήσωμεν
ἅγιος εἶ, Κύριε.
Ὠδὴ δ΄
Δι' ἀγάπησιν, οἰκτίρμον,
τῆς σῆς εἰκόνος
ἐπὶ σταυροῦ σου ἔστης
καὶ ἐτάκησαν ἔθνη·
σὺ γὰρ εἶ, φιλάνθρωπε,
ἰσχύς μου καὶ ὑμνησις.
Ὠδὴ ε΄
Ἀσεβεῖς οὐκ ὄψονται
τὴν δόξαν σου, Χριστέ,
ἀλλ' ἡμεῖς σε, μονογενές,
πατρικῆς ἀπαύγασμα
δόξης θεότητος
ἐκ νυκτὸς ὀρθριζοντες
ἀνυμνοῦμέν σε, φιλάνθρωπε.
Ὠδὴ ϛ΄
Ὥσπερ τὸν προφήτην Ἰωνᾶν
ἀνήγαγες ἐκ τοῦ κήτους
ὁ Θεὸς τῷ σῷ προστάγματι
ἐκ βυθοῦ με τῶν πταισμάτων λύτρωσαι
καὶ σῶσον δέομαι ἐκ φθορᾶς
τὴν ζωήν μου ὡς φιλάνθρωπος.
Ὠδὴ ζ΄
Χαλδαϊκῆς καμίνου
οἱ παῖδες κατεφρόνησαν
διὰ τὸ ὄνομά σου, σωτήρ,
καὶ σκιρτῶντες ἐκραύγαζον
εὐλογητὸς εἶ, Κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.
Ὠδὴ η΄
Ἆσμα καινὸν ᾄσωμεν λαοὶ
τῷ καταβάντι ἐπὶ γῆς τοῦ σῶσαι ἡμᾶς·
βουλήσει γὰρ ἐν σταυρῷ
προσηλώθη ὁ Κύριος
γνωρίσαι τοῖς ἔθνεσιν
ὅτι διὰ τὸν Ἀδὰμ
δούλου σχῆμα ἐνεδύσατο
ὁ ἐν ὑψίστοις οἰκῶν εἰς τοὺς αἰῶνας.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

Ὠδὴ θ'

Σὲ τὸν κατὰ τὴν τάξιν
τοῦ Μελχισεδὲκ ἱερέα γενόμενον
καὶ ἀποπομπέα τὸν αἴροντα
τὰς ἁμαρτίας ἡμῶν
Χριστὸν τὸν Θεὸν
ἐν ᾠδαῖς πνευματικαῖς μεγαλύνομεν.

139

ΕΙΣ ΤΟΝ ΜΑΡΤΥΡΑ ΣΑΒΒΑΤΙΟΝ [1]

Ποίημα Ἰωάννου μοναχοῦ καὶ Στεφάνου μοναχοῦ

Α φ. 95β. Β φ. 112α

Ὠδὴ α'. Ἦχος δ'. Ὁ Εἱρμός.

Κευθμῶνες αἰώνιοι
ἀνεκαλύπτοντο θείῳ προστάγματι
καὶ κύτος θαλάσσης
πεζὸν ὁδίτην διέσωσε
λαὸν περιούσιον Θεοῦ
τοῦ συντρίβοντος πολέμους
ἐν ὑψηλῷ τῷ βραχίονι

Εἱρμὸς ἄλλος

Ἐν πυθμένι ναμάτων ἐρυθρῶν ἔδυσαν
Αἰγυπτίων τριστάται καὶ ἀναβάται
Ἰσραὴλ δὲ διῆλθεν
ἀνολίσθοις ἴχνεσι
τῆς ἀβύσσου τὸ τέρμα καὶ ἀνεβόα·
οὐκ ἔστι σοι ὅμοιος,
δεδοξασμένε Κύριε,
ποιῶν τέρατα
ἐν ὑψηλῷ βραχίονι.

Ὠδὴ γ'

Τὴν στειρωθεῖσάν μου ψυχὴν
ἐξ ἔργων ἀγαθῶν,
υἱὲ τοῦ Θεοῦ,
στήριξον ἐν τῇ πέτρᾳ τῆς πίστεως
καὶ τῶν ἐντολῶν σου
ὅτι στερέωμα καὶ καταφυγή μου
ὑπάρχεις, φιλάνθρωπε.

Ὠδὴ δ'

Τὸ φρικτὸν τῆς ἐλεύσεώς σου μυστήριον
ὁ Ἀββακοὺμ κατανοῶν
ὡς φοβερὸν ὑπάρχει καὶ ἀκουόμενον
ἐξεστηκὼς ἐκραύγαζε
δόξα τῇ δυνάμει σου, Κύριε.

Ὠδὴ ε'

Τὴν φιλαμάρτητον καὶ φιλήδονον γ
[μην
σύ, τὰ φῶς μου Κύριε, εἰρήνευσον
δουλώσας σάρκα τῷ πνεύματί μο
ἐκ νυκτὸς γὰρ ὀρθρίσας
προσφέρω αἴνεσιν τῇ σῇ ἀγαθότ
ἀνάτειλόν μοι τὸ φῶς
τῶν ἐντολῶν σου ὡς μόνος εὔσπλαγχ

Ὠδὴ ϛ'

Τῷ βάθει τῆς καρδίας μου
ὡς ἐν πελάγει κλύδωνι λογισμῶν
τὸ πέλαγος χειμάζει με·
διὸ βοῶ σοι·
ὡς Ἰωνᾶν ἀνάγαγε ἐκ φθορᾶς, Κ
τὴν ζωήν μου ὡς μόνος εὔσπλαγχνος

Εἱρμὸς ἄλλος

Ἀπαύγασμα δόξης ἀνάρχου
καὶ χαρακτὴρ τοῦ ἀοράτου πατρὸς
ἑκὼν ἐτέθης ἐν τάφῳ σαρκὶ
ὡς Ἰωνᾶς ἐν κήτει τριημερεύσας
ἐν τῇ τῆς γῆς καρδίᾳ
τῆς φθορᾶς ἡμᾶς ρυσάμενος.

Ὠδὴ ζ'

Αἰχμαλώτους ἐν φλογὶ παῖδας δρο
ὁ νεκρῶν αἰχμαλώτων σκυλεύσας
τῷ σφῶν δὲ πυρὶ τοὺς Χαλδαίο
ἐκτρίβεις ὁ φύλακας
καὶ νῦν διασείσας φόβῳ, ἄναρχ
ὁ τῶν πατέρων Κύριος
μόνος εὐλογητὸς εἶ.

Ὠδὴ η'

Ὡς θάλαμον κάμινον
ὡς παστάδα πυρὸς
τὴν φλόγα ὑπελθόντες
οἱ θεοφόροι ἐβόων
ἐν μέσῳ τῆς φλογὸς
δροσιζόμενοι οἱ παῖδες·
τὰ ἔργα Κυρίου
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Εὖα μὲν τῷ τῆς παρακοῆς νοσ
τὴν κατάραν εἰσῳκίσατο·
σὺ δέ, Παρθένε Θεοτόκε,
τῷ τῆς κυοφορίας βλαστήματι
τῷ κόσμῳ τὴν εὐλογίαν ἐξήνθ
ὅθεν σε πάντες μεγαλύνομεν.

(1) Ἀκολουθία τοῦ ἁγίου Σαββατίου· ποίημα Ἰωάννου μοναχοῦ κατὰ τὸν Λαυριωτικὸν Κώδ. Β 32. « Ἀκολουθία ἐν τῷ μεγάλῳ Σαββάτῳ τῶν νηστειῶν· ποίημα Ἰωάννου μοναχοῦ καὶ Στεφάνου μοναχοῦ » κατὰ τὸν Παρισινὸν Κώδικα 220 Coislin.

140

ΕΙΣ ΤΗΝ ΠΕΝΤΗΚΟΣΤΗΝ

Ποίημα Ἰωάννου μοναχοῦ [τοῦ Ἀρκλᾶ] [1]

Ἴαμβοι

φ. 97α. Β φ. 113α

Ὠδὴ α'. Ἦχος δ'. Ὁ Εἱρμός.

Θείῳ καλυφθεὶς ὁ βραδύγλωσσος γνόφῳ
ἐρητόρευσε τὸν θεόγραφον νόμον·
ἰλὺν γὰρ ἐκτινάξας ὄμματος νόου
ὁρᾷ τὸν ὄντα καὶ μυεῖται Πνεύματος
γνῶσιν γεραίρων ἐνθέοις τοῖς ἄσμασιν.

Ὠδὴ β' [2]

Γνώτωσαν ἔθνη καὶ λαοὶ ὅτι Θεὸς
ἐγώ εἰμι λέγει Κύριος ὁ χρίσας
πάλαι προφήτας καὶ ἱερεῖς τελειώσας
καὶ νῦν ἐν γλώσσαις πυρίναις τοὺς
[ἀγραμμάτους
σοφίσας καὶ θεολόγους ἁλιεῖς
ἀδείξας θαυμαστοὺς διὰ τοῦ Πνεύματος.

Ὠδὴ γ'

Ἔρρηξε γαστρὸς ἠτεκνωμένης πέδας
ὕβριν τε δυσκάθεκτον εὐτεκνουμένης
μόνη προσευχὴ τῆς προφήτιδος πάλαι
Ἄννης φερούσης πνεῦμα συντετριμ-
[μένον
τὸν δυνάστην καὶ Θεὸν τῶν γνώσεων.

Ὠδὴ δ'

Ἄναξ ἀνάκτων οἷος ἐξ οἵου μόνος
Λόγος προελθὼν πατρὸς ἐξ ἀναιτίου
ἰσοσθενές σου πνεῦμα τοῖς ἀποστόλοις
νημερτὲς ἐξέπεμψας ὡς εὐεργέτης
ἄδουσι· δόξα τῷ κράτει σου, Κύριε.

Ὠδὴ ε'

Αὐτήριον κάθαρσιν ἀμπλακημάτων
πυρίπνοον δέξασθε Πνεύματος δρόσον
ὦ τέκνα φωτόμορφα τῆς ἐκκλησίας·
νῦν ἐκ Σιὼν γὰρ ἐξελήλυθε νόμος
γλωσσοπυρσόμορφος Πνεύματος χάρις.

Ὠδὴ ϛ'

Ἱλασμὸς ἡμῖν, Χριστέ, καὶ σωτηρία
ὁ Δεσπότης ἔλαμψας ἐκ τῆς Παρθένου
ἵν' ὡς προφήτην θηρὸς ἐκ θαλαττίου
στέρνων Ἰωνᾶν τῆς φθορᾶς διαρπάσῃς
ὅλον τὸν Ἀδὰμ παγγενῆ πεπτωκότα.

(1) Ἰωάννου μοναχοῦ ἐν τῷ Λαυριωτικῷ Β 32, ἐν δὲ τῷ Παρισινῷ 220 Coislin ἀνω-

(2) Ἡ ᾠδὴ αὕτη εὕρηται ἐν τῷ Λαυριωτικῷ Β 32.

Ὠδὴ ζ'

Σύμφωνον ἐθρόησεν ὀργάνων μέλος
σέβειν τὸ χρυσότευκτον ἄψυχον βρέτας
ἡ τοῦ Παρακλήτου δὲ φωσφόρος χάρις
σεβασμιάζει τοῦ βοᾶν· Τριὰς μόνη
ἰσοσθενὴς ἄναρχος, εὐλογητὸς εἶ.

Ὠδὴ η'

Λύει τὰ δεσμὰ καὶ δροσίζει τὴν φλόγα
ὁ τρισοφεγγὴς τῆς θεαρχίας τύπος
ὑμνοῦσι παῖδες, εὐλογεῖ δὲ τὸν μόνον
σωτῆρα καὶ παντουργὸν ὡς εὐεργέτην
ἡ δημιουργηθεῖσα σύμπασα κτίσις.

Ὠδὴ θ'

Χαίροις ἄνασσα μητροπάρθενον κλέος·
ἅπαν γὰρ εὐδίνητον εὔλαλον στόμα
ῥητορεῦον οὐ σθένει σε μέλπειν ἀξίως·
ἰλιγγιᾷ δὲ νοῦς ἅπαν σου τὸν τόκον
νοεῖν· ὅθεν σε συμφώνως δοξάζομεν.

141

ΕΙΣ ΤΗΝ ΚΟΙΜΗΣΙΝ ΤΗΣ ΘΕΟΤΟΚΟΥ

Ποίημα Ἰωάννου μοναχοῦ

Α φ. 98β. Β φ. 115β

Ὠδὴ α'. Ἦχος δ'. Ὁ Εἱρμός.

Ἀνοίξω τὸ στόμα μου
καὶ πληρωθήσεται Πνεύματος
καὶ λόγον ἐρεύξομαι
τῇ βασιλίδι μητρὶ
καὶ ὀφθήσομαι
φαιδρῶς πανηγυρίζων
καὶ ἄσω γηθόμενος
ταύτης τὰ θαύματα.

Ὠδὴ β'

Δῶμεν λαοὶ
μεγαλωσύνην Χριστῷ τῷ Θεῷ ἡμῶν
τῆς Θεοτόκου σήμερον
ἑορτάζοντες τὴν Κοίμησιν
καὶ δῶμεν δόξαν αἰνέσεως
αὐτῇ ὡς βασιλίδι
καὶ κυρίᾳ τοῦ παντός.

Εἱρμὸς ἄλλος

Πνευματικῶς ἡμᾶς πιστοὶ
συνεκάλεσε σήμερον
ἡ ἁγία Θεοτόκος
ἐν τῇ πανθαυμάστῳ Κοιμήσει αὐτῆς·
δεῦτε οὖν μεγαλωσύνην δῶμεν αὐτῇ
μετὰ τῶν χερουβὶμ καὶ σεραφὶμ
τρόμῳ δοξάζοντες
τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

Ὠδὴ γ'

Τοὺς σοὺς ὑμνολόγους, Θεοτόκε,
ἡ ζῶσα καὶ ἄφθονος πηγή,
θίασον συγκροτήσαντας
πνευματικῶς στερέωσον
καὶ ἐν τῇ θείᾳ δόξῃ σου
στεφάνων δόξης ἀξίωσον.

Ὠδὴ δ'

Τὴν ἀνεξιχνίαστον θείαν βουλὴν
τῆς ἐκ τῆς Παρθένου σαρκώσεως
σοῦ τοῦ ὑψίστου
ὁ προφήτης Ἀββακοὺμ
κατανοῶν ἐκραύγαζε·
δόξα τῇ δυνάμει σου, Κύριε.

Ὠδὴ ε'

Ἐξέστη τὰ σύμπαντα
ἐπὶ τῇ θείᾳ μνήμῃ σου·
σὺ γάρ, ἀπειρόγαμε Παρθένε,
γῆθεν μετέστης
ὥσπερ ζωῆς κιβωτὸς
πρὸς τὴν ἐπουράνιον μονὴν
πᾶσι τοῖς ὑμνοῦσί σε
τὴν εἰρήνην βραβεύουσα.

Ὠδὴ ϛ'

Τὴν θείαν ταύτην καὶ πάντιμον
τελοῦντες ἑορτὴν οἱ θεόφρονες
τῆς Θεομήτορος
δεῦτε τὰς χεῖρας κροτήσωμεν
τὸν ἐξ αὐτῆς τεχθέντα
Θεὸν δοξάζοντες.

Ὠδὴ ζ'

Οὐκ ἐλάτρευσαν
τῇ κτίσει οἱ θεόφρονες
παρὰ τὸν κτίσαντα·
ἀλλὰ πυρὸς ἀπειλὴν
ἀνδρείως πατήσαντες
ἔχαιρον ψάλλοντες·
ὑπερύμνητε
ὁ τῶν πατέρων Κύριος
καὶ Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ
ὁ τόκος τῆς Θεοτόκου διεσώσατο
τότε μὲν τυπούμενος
νῦν δὲ ἐνεργούμενος
τὴν οἰκουμένην ἅπασαν
ἤγειρε ψάλλουσαν
τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

Εἱρμὸς ἄλλος

Ἄκουε, κόρη Παρθένε ἁγνή,
εἰπάτω δὴ ὁ Γαβριὴλ
βουλὴν ὑψίστου ἀρχαίαν ἀληθινήν
γενοῦ πρὸς ὑποδοχὴν ἑτοίμη Θεοῦ·
διὰ σοῦ γὰρ ὁ ἀχώρητος
βροτοῖς συναναστρέφεται·
διὸ καὶ χαίρων βοῶ·
εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'

Ἅπας γηγενὴς
σκιρτάτω τῷ Πνεύματι
λαμπαδουχούμενος
πανηγυριζέτω δὲ
ἀΰλων νόων φύσις γεραίρουσα
τὴν ἱερὰν μετάστασιν
τῆς Θεομήτορος
καὶ βοάτω·
χαίροις, παμμακάριστι
Θεοτόκε ἁγνὴ ἀειπάρθενε.

Εἱρμὸς ἄλλος

Ὡς ἐμψύχῳ Θεοῦ κιβωτῷ
ψαυέτω μηδαμῶς χεὶρ ἀμυήτων·
χείλη δὲ πιστῶν τῇ Θεοτόκῳ ἀσιγήτω
φωνὴν τοῦ ἀγγέλου ἀναμέλποντα
ἐν ἀγαλλιάσει βοάτω·
χαῖρε κεχαριτωμένη
ὁ Κύριος μετὰ σοῦ.

142

ΕΙΣ ΤΟΥΣ ΑΓΙΟΥΣ ΑΠΟΣΤΟΛΟΥ ΚΑΙ ΕΙΣ ΤΑ ΒΑΙΑ

Ποίημα Κοσμᾶ μοναχοῦ

Α φ. 100α

Ὠδὴ α'. Ἦχος δ'. Ὁ Εἱρμός.

Ὤφθησαν αἱ πηγαὶ τῆς ἀβύσσου
νοτίδος ἄμοιροι
καὶ ἀνεκαλύφθη θαλάσσης
κυμαινούσης τὰ θεμέλια
τῇ καταιγίδι νεύματι
ταύτης γὰρ ἐπετίμησας
περιούσιον λαὸν δὲ ἔσωσας
ἄδοντα
ἐπινίκιον ὕμνον σοι, Κύριε.

Ὠδὴ γ'

Νάουσαν ἀκρότομον
προστάγματι σῷ
στερεὰν ἐθήλασε πέτραν
Ἰσραηλίτης λαὸς
ἡ δὲ πέτρα σύ, Χριστέ,
ὑπάρχεις καὶ ζωὴ

ἐν ἡ ἐστερεώθη ἡ ἐκκλησία κράζουσα·
ὡσαννὰ
εὐλογημένος εἶ ὁ ἐρχόμενος.

Ὠδὴ δ'

Χριστὸς ὁ ἐρχόμενος
ἐμφανῶς Θεὸς ἡμῶν
ἥξει καὶ οὐ χρονιεῖ
ἐξ ὄρους κατασκίου δασέος
κόρης, τικτούσης ἀπειράνδρου
προφήτης πάλαι φησί·
διὸ πάντες βοῶμεν
δόξα τῇ δυνάμει σου, Κύριε.

Ὠδὴ ε'

Τὴν Σιὼν ἐπ' ὄρους ἀνάβηθι
ὁ εὐαγγελιζόμενος
καὶ τὴν Ἱερουσαλὴμ ὁ κηρύσσων
ἐν ἰσχύϊ ὕψωσον φωνήν·
δεδοξασμένα ἐλαλήθη περὶ σοῦ
ἡ πόλις τοῦ Θεοῦ
εἰρήνη ἐπὶ τὸν Ἰσραὴλ
καὶ σωτήριον ἔθνεσιν.

Ὠδὴ ϛ'

Ἐβόησαν
ἐν εὐφροσύνῃ δικαίων τὰ πνεύματα
νῦν τῷ κόσμῳ
διαθήκη καινὴ διατίθεται
καὶ ραντίσματι
καινουργείσθω λαὸς θείου αἵματος.

Ὠδὴ ζ'

Ὁ διασώσας ἐν πυρὶ
τοὺς Ἀβραμιαίους σου παῖδας
καὶ τοὺς Χαλδαίους ἀνελὼν
οἷς ἀδίκως δικαίους ἐνήδρευσαν,
ὑπερύμνητε Κύριε
ὁ Θεὸς ὁ τῶν πατέρων,
εὐλογητὸς εἶ.

Ὠδὴ η'

Εὐφράνθητι Ἱερουσαλὴμ
καὶ πανηγυρίσατε οἱ ἀγαπῶντες Σιών·
ὁ βασιλεύων γὰρ εἰς τοὺς αἰῶνας
Κύριος τῶν δυνάμεων ἦλθεν·
εὐλαβείσθω πᾶσα ἡ γῆ
ἐκ προσώπου αὐτοῦ
καὶ βοάτω·
πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ὠδὴ θ'

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν
συστήσασθε ἑορτὴν
καὶ ἀγαλλόμενοι
δεῦτε μεγαλύνωμεν Χριστὸν
μετὰ βαΐων καὶ κλάδων
ὕμνοις κραυγάζοντες·
εὐλογημένος ὁ ἐρχόμενος
ἐν ὀνόματι Κυρίου
σωτῆρος ἡμῶν.

143

ΑΝΑΣΤΑΣΙΜΟΣ [1]

Ποίημα Κοσμᾶ μοναχοῦ

Α φ. 101α. Β φ. 117α

Ὠδὴ α'. Ἦχος δ'. Ὁ Εἱρμός.

Ὑπὸ νεφέλης φωτεινῆς
καὶ στύλου πυρὸς καθοδηγούμενος
καὶ διελθὼν θάλασσαν
διὰ ξηρᾶς καὶ πόντον
πεζοπορῶν ὡς ἐν ἐρήμῳ
ὁ ἐκλεκτός σου Ἰσραήλ, Χριστέ,
ἐπινίκιον ὕμνον ἔλεγεν·
ἄσωμεν τῷ Κυρίῳ
ὅτι δεδόξασται.

Ὠδὴ γ'

Στήριγμα πιστῶν καὶ καύχημα
καὶ ἀφθαρσίας πηγὴ
καὶ τῶν ἀγαθῶν αἰτήσεων δότα, Χριστέ,
ἐν τῇ ἀγάπῃ τῇ σῇ στερέωσόν με.

Ὠδὴ δ'

Μέγα καὶ θεοπρεπές,
σῶτερ, εἰσακήκοα
ὅτι ἀθάνατος ὢν Θεὸς
ὡμοιώθης θνητοῖς ἀνθρώποις
καὶ ἔμεινας ὃ ἦς
καὶ διὰ τοῦτό σου δοξάζω τὴν δύναμιν

Ὠδὴ ε'

Τὸν φωτισμόν σου, Κύριε,
κατάπεμψον ἡμῖν
καὶ τῆς ἀχλύος ἡμᾶς τῶν πταισμάτων
λῦσον, ἀγαθέ,
τὴν σὴν εἰρήνην οὐρανόθεν δωρούμενος.

Ὠδὴ ϛ'

Ὁ τῆς σῆς ἐν Ἰωνᾷ
ταφῆς τὸν τύπον προδιαγράψας σαφῶς
καὶ τοῦτον ἀλώβητον ἑλκύσας τοῦ θηρὸς
κἀμέ, σωτήρ, τῆς ἁμαρτίας
τοῦ βυθοῦ ἀνάγαγε
καὶ πρὸς ζωῆς φῶς
δέομαί σου καθοδήγησον.

Ὠδὴ ζ'

Τὸν ἐν καμίνῳ τοὺς παῖδας
ἀφλέκτους τηρήσαντα
καὶ τὸ πῦρ κατασβέσαντα
ὑμνήσωμεν λέγοντες·

---

(1) Κανὼν ἀναστάσιμος οὗ ἡ ἀκροστιχίς : « Ὕμνος Κοσμᾶ τέταρτος δόξα τῷ Θεῷ ἀμήν ».

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

εὐλογητὸς εἶ, Κύριε,
ὁ Θεὸς τῶν πατέρων,
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ η'

Ὦ τοῦ παραδόξου θαύματος !
τὴν τρισάριθμον τῶν ὁσίων
ὁμήγυριν παίδων
τὸ πῦρ ἠδέσθη ἐν Βαβυλῶνι·
οὗτοι γὰρ εὐσεβείας λογισμῷ
λατρεῦσαι κτίσει οὐχ εἵλοντο
παρὰ σὲ τὸν κτίστην Θεόν·
ἀλλ' ἐβόων· τὰ ἔργα Κυρίου
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Ἀνωτέρα τῶν ὑπερκοσμίων νόων
καὶ τῶν πολυμόρφων χερουβὶμ
ὑψηλοτέρα, ἄχραντε μῆτερ Θεοῦ,
τὸν κτίστην συνέλαβες·
αὕτη γὰρ τῶν ἐν κτίσει δεσπόζεις ἁπάντων·
ὅθεν ἐν ὕμνοις, Θεοτόκε,
οἱ πιστοί σε μεγαλύνομεν.

144

ΕΙΣ ΤΗΝ ΜΕΤΑΜΟΡΦΩΣΙΝ
Ποίημα Κοσμᾶ μοναχοῦ [1]

Α φ. 102α. Β φ. 114α

Ὠδὴ α'. Ἦχος δ'. Ὁ Εἱρμός.

Χοροὶ Ἰσραὴλ
ἀνίκμοις ποσὶ
πόντον Ἐρυθρὸν
καὶ ὑγρὸν βυθὸν διελάσαντες
ἀναβάτας τριστάτας
δυσμενεῖς ὁρῶντες
ἐν αὐτῷ ὑποβρυχίους
ἐν ἀγαλλιάσει ἔμελπον·
ἄσωμεν τῷ Θεῷ ἡμῶν
ὅτι δεδόξασται.

Ὠδὴ γ'

Τόξον δυνατῶν ἠσθένησε
καὶ οἱ ἀσθενοῦντες.
περιεζώσαντο δύναμιν·
διὰ τοῦτο ἐστερεώθη
ἐν Κυρίῳ ἡ καρδία μου.

Ὠδὴ δ'

Εἰσακήκοα τὴν ἔνδοξον
οἰκονομίαν σου, Χριστὲ ὁ Θεός,
ὅτι ἐτέχθης ἐκ τῆς Παρθένου
ἵνα τῆς πλάνης ῥύσῃ τοὺς κραυγάζοντας
δόξα τῇ δυνάμει σου, Κύριε.

Ὠδὴ ε'

Ὁ τοῦ φωτὸς διατμήξας
τὸ πρωτόγονον χάος
ὡς ἐν φωτὶ τὰ ἔργα ὑμνεῖ σε, Χριστέ,
τὸν δημιουργόν·
ἐν τῷ φωτί σου
τὰς ὁδοὺς ἡμῶν εὔθυνον.

Ὠδὴ ϛ'

Ἐν τῷ θλίβεσθαί με
ἐβόησα πρὸς Κύριον
καὶ ἐπήκουσέ μου
ὁ Θεὸς τῆς σωτηρίας μου.

Ὠδὴ ζ'

Ἀβραμιαῖοι ποτὲ
ἐν Βαβυλῶνι παῖδες
τῷ θείῳ πυρπολούμενοι ζήλῳ
τυράννου καὶ φλογὸς ἀπειλὴν
ἀνδρείως κατεπάτησαν
καὶ μέσον πυρὸς ἐμβληθέντες
δροσιζόμενοι ἔψαλλον·
εὐλογεῖτε πάντα τὰ ἔργα
Κυρίου τὸν Κύριον.

Ὠδὴ η'

Γηθόμενοι τυραννικὴν μετ' ἀπόφασιν [παῖδες
ὡς ἂν μὴ θεοῖς βεβήλοις λατρεύοντες πᾶσι
ἀλλ' ἢ τῷ ζῶντι Θεῷ,
πυρὸς κατετόλμησαν·
ὑπ' ἀγγέλου δὲ δροσιζόμενοι
ὕμνον ἔμελπον·
τὰ ἔργα Κυρίου τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Ὁ τόκος σου ἄφθορος ἐδείχθη
Θεὸς ἐκ λαγόνων σου προῆλθε
σαρκοφόρος ὡς ὤφθη ἐπὶ γῆς
καὶ τοῖς ἀνθρώποις συνανεστράφη·
σέ, Θεοτόκε,
διὸ πάντες μεγαλύνομεν.

Εἱρμὸς ἄλλος

Γηγενῶν ἐκφυεῖσα
καὶ τὸν κτίστην τεκοῦσα
τὸ ἡμέτερον χαίροις καύχημα,
Θεοτόκε ἁγνή,
σὲ ὡς δεσπόζουσαν
τῶν ποιημάτων μεγαλύνομεν.

(1) Ὁ Λαυριωτικὸς Κῶδ. Β 32 ἀναγράφει τὸν Κανόνα εἰς τὸ ὄνομα τοῦ μοναχοῦ Ἰωάννου, ἀλλὰ οἱ Παρισινοὶ Κώδικες 341 σ. 353, 1564 φ. 52, 1573 φ. 256, 13 φ. 305 ἐπιγράφουσιν εἰς τὸ ὄνομα τοῦ Κοσμᾶ εἰς ὃν ἀσφαλῶς καὶ ἀναμφισβητήτως ἀνήκουσιν αἱ α', ζ', η' καὶ θ' ᾠδαί.

145

[ΑΝΑΣΤΑΣΙΜΟΣ]

Ποίημα Ἰωάννου μοναχοῦ τοῦ Δαμασκηνοῦ

Α φ. 103α. Β φ. 110α

Ὠδὴ α'. Ἦχος δ'. Ὁ Εἱρμός.

Τῷ ἀνυψώσαντι ἡμᾶς
ἐκ τῶν πυλῶν τοῦ θανάτου
ἄσωμεν τῷ Χριστῷ
ὅτι δεδόξασται εἰς τοὺς αἰῶνας.

Εἱρμὸς ἄλλος

Ὡς Ἰσραὴλ μωσαϊκῶς
χορεύσωμεν πιστοί·
ἄσωμεν τῷ Κυρίῳ
τῷ συντρίψαντι πολέμους
ἐν βραχίονι αὐτοῦ.

Ὠδὴ γ'

Κύριε, ὁ ἀναδείξας ἡμῖν
τὴν ἡγιασμένην σκηνὴν
καὶ σὴν μητέρα, αὐτῆς
ταῖς ἱκεσίαις στερέωσον ἡμᾶς
τοὺς ὑμνοῦντάς σε.

Ὠδὴ δ'

Ἔκλινας, Χριστέ, τῇ καταβάσει σου
οὐρανοὺς ἐν συνέσει
καὶ ὤφθης σεσαρκωμένος ἐπὶ γῆς·
διὸ πάντες βοῶμεν
τῇ δυνάμει σου δόξα, φιλάνθρωπε.

Ὠδὴ ε'

Ὀρθρίζοντες βοῶμέν σοι
τῷ ποιητῇ τῶν ἁπάντων,
Χριστὲ ὁ Θεός,
σῶσον ἡμᾶς ἡ ἐλπὶς ἡμῶν, Κύριε.

Ὠδὴ ϛ'

Ὡς Ἰωνᾶν τὸν προφήτην
ἐλυτρώσω τοῦ κήτους, Χριστὲ ὁ Θεός,
κἀμὲ τοῦ βυθοῦ τῶν πταισμάτων ἀνάγαγε
καὶ σῶσόν με, φιλάνθρωπε.

Εἱρμὸς ἄλλος

Ἐκ κοιλίας ἅδου κραυγῆς μου
ἤκουσας φωνῆς μου
καὶ ἀνήγαγες ἐκ φθορᾶς
τοῦ κλύδωνος τῶν πταισμάτων
τὴν ζωήν μου, Κύριε πολυέλεε.

Εἱρμὸς ἄλλος

Νῦν ἐκ θαλάσσης κινδύνων
τὸν λαόν σου λύτρωσαι
ὡς ἐκ τοῦ κήτους Ἰωνᾶν
ὁ τὰ πάντα ἰσχύων
μόνῳ τῷ βούλεσθαι.

Ὠδὴ ζ'

Ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας.

Εἱρμὸς ἄλλος

Ὁ τῶν πατέρων Θεὸς
μὴ καταισχύνῃς ἡμᾶς
ἀλλὰ δώρησαι ἡμῖν
ἐν παρρησίᾳ βοᾷν σοι·
εὐλογητὸς εἶ, Κύριε.

Ὠδὴ η'

Ὁ τοὺς Χαλδαίους ποτὲ
ἀναλώσας ἐν καμίνῳ
καὶ τοὺς παῖδας ἐν αὐτῇ
ὡς ἐν θαλάμῳ φυλάξας
εὐλογητὸς εἶ, Κύριε.

Εἱρμὸς ἄλλος

Κατεπάτησαν δόγμα παράνομον
τοῦ τυράννου οἱ παῖδες
καὶ τὴν κάμινον μετέβαλον
τῇ Τριάδι εἰκονίζοντες
θεοφάντορας ὕμνους
ἀναμέλποντες εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'

Μωυσῆς ἐν τῷ ὄρει
ἄφλεκτον τὴν βάτον ἑώρακε
Ἰωσὴφ ἐν σπηλαίῳ
ἄφθορον τὸν τόκον ἐθεάσατο,
ἀνύμφευτε μήτηρ,
ἀλόχευτε κόρη,
ὕμνοις σε, Θεοτόκε, μεγαλύνομεν.

Εἱρμὸς ἄλλος

Τὴν ἀπειράνδρως σαρκὶ
καὶ ὑπὲρ φύσιν μητέρα
τὸν Θεὸν Λόγον κυήσασαν
φύσει θυγατέρα τοῦ Ἀδὰμ
ὑπάρχουσαν μεθισταμένην
δεῦτε κατοπτεύσωμεν
πρὸς τὴν ἀγήρω ζωήν.

146

Ποίημα Γερμανοῦ πατριάρχου

Α φ. 104β. Β φ. 120α

Ὠδὴ α'. Ἦχος δ'. Ὁ Εἱρμός.

Ἄσομαί σοι, Κύριε ὁ Θεός μου,
ὅτι ἐξήγαγες λαὸν
δουλείας Αἰγύπτου
ἐκάλυψας δὲ ἅρματα
Φαραὼ καὶ τὴν δύναμιν.

Ὠδὴ β'

Λῶμεν μεγαλωσύνην τῷ Θεῷ
τῷ λυτρωτῇ ἡμῶν

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

ὅτι ἐτέχθη ἐκ τῆς Παρθένου
εἰς σωτηρίαν τοῦ γένους τῶν βροτῶν.

Ὠδὴ γ′

Ἐν Κυρίῳ Θεῷ μου
ἐστερεώθη ἡ καρδία μου·
διὸ οἱ ἀσθενοῦντες
περιεζώσαντο δύναμιν.

Ὠδὴ δ′

Τῆς σῆς ἐπὶ γῆς
παρουσίας, Χριστὲ ὁ Θεός,
προμηνύων ὁ προφήτης τὴν ἔλευσιν
μετὰ χαρᾶς ἐκραύγαζε·
δόξα τῇ δυνάμει σου, Κύριε.

Εἱρμὸς ἄλλος

Τοὺς οὐρανοὺς ἡ ἀρετή σου κατεκάλυψε
καὶ ἡ γῆ ἐπληρώθη τῆς σῆς δόξης. |Χριστέ,
διὸ ἀπαύστως κράζομεν
δόξα τῇ δυνάμει σου, Κύριε.

Ὠδὴ ε′

Ὁ ἀνατείλας τὸ φῶς
καὶ φωτίσας τὸν ὄρθρον
καὶ δείξας τὴν ἡμέραν
δόξα σοι δόξα σοι,
Ἰησοῦ υἱὲ τοῦ Θεοῦ.

Ὠδὴ ς′

Ὁ τὸν προφήτην
ἐν τῇ κοιλίᾳ τοῦ κήτους διαφυλάξας,
ἅγιε Κύριε, βοήθησόν μοι.

Ὠδὴ ζ′

Ὁ ἐν τῷ ὄρει Μωσῇ συλλαλήσας
καὶ τύπον τῆς Παρθένου τὴν βάτον δείξας
εὐλογητὸς εἶ, Κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὠδὴ η′

Τὸν βασιλέα Χριστὸν
ὃν ὡμολόγησαν οἱ αἰχμάλωτοι παῖδες
ἐν τῇ καμίνῳ λέγοντες μεγάλῃ τῇ φωνῇ·
πάντα τὰ ἔργα ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ′

Μεγαλύνομεν πάντες
τὴν φιλανθρωπίαν σου,
Κύριε σωτὴρ ἡμῶν,
ἡ δόξα τῶν δούλων σου
καὶ στέφανος τῶν πιστῶν
ὁ μεγαλύνας τὴν μνήμην τῆς τεκούσης σε.

Εἱρμὸς ἄλλος

Τὸν ἄσπορον τόκον σου,
Θεοτόκε ἄχραντε,
Χριστὸν τὸν Θεὸν ἡμῶν
ἐν ὕμνοις ἀσιγήτοις μεγαλύνομεν.

147

Ποίημα Ἀνδρέου Κρήτης τοῦ Ἱεροσολυμίτου

A φ. 105β

Ὠδὴ α′. Ἦχος δ′. Ὁ Εἱρμός.

Ἅρματα Φαραὼ
καὶ τὴν δύναμιν αὐτῶν
ἔρριψεν εἰς θάλασσαν
ὁ κραταιὸς ἐν πολέμοις·
ἄσωμεν αὐτῷ ᾆσμα καινὸν
ὅτι ἐνδόξως δεδόξασται.

Ὠδὴ β′

Ἴδετε ἴδετε
ὅτι ἐγώ εἰμι ὁ Θεὸς Λόγος
ὁ ἐν τοῖς σπλάγχνοις τῆς μητρὸς
ἀπεριγράπτως εἰσδὺς
μὴ χωρισθεὶς τοῦ πατρός·
ὡς Θεὸς γὰρ συμπληρῶ
σὺν τοῖς ἄνω τὰ κάτω
καὶ παρέχω τὸ μέγα ἔλεος

Ὠδὴ γ′

Ὁ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα
στερέωσόν με, Κύριε,
ἵνα ὑμνῶ σε εἰλικρινῶς
καὶ πρῶτο τὸ θέλημά σου
ὅτι οὐκ ἔστιν ἅγιος
ὡς ὁ Θεὸς ἡμῶν.

Ὠδὴ δ′

Ἀκοὴν ἀκήκοα, φησὶν ὁ Ἀββακούμ,
ὅτι Θεὸς ἐξ ὄρους
ἐκ γαστρὸς παρθενικῆς
προῆλθεν ἀρρήστως
καὶ ἐκστὰς ἐκραύγαζε·
δόξα τῇ δυνάμει σου, Κύριε.

Εἱρμὸς ἄλλος

Ἐν μέσῳ δύο ληστῶν
ἐγνώσθης ἐν τῷ σταυρῷ,
Χριστὲ ὁ Θεός,
καὶ ἐπήρθη ὁ ἥλιος φόβῳ
καὶ ἡ σελήνη ἔστη ἐν τῇ τάξει αὐτῆς·
δόξα τῇ δυνάμει σου.

Ὠδὴ ε′

Ζῆλος λήψεται λαὸν ἀπαίδευτον
τοὺς παρανόμους Ἑβραίους
καὶ πῦρ ἔδεται τοὺς ὑπεναντίους
ὅτι σὲ τὸν σταυρωθέντα
πλάνον ὠνόμασαν.

Εἱρμὸς ἄλλος

Τὸ φῶς τὸ ἀληθινὸν
τὸ φωτίζον πάντα ἄνθρωπον
λάμψον εἰς ἡμᾶς
τῇ αἴγλῃ τῶν ἐντολῶν σου
καὶ ἀπέλασον ἡμῶν
τὴν νύκτα τῶν παθῶν
ὅτι ἐκτὸς ἄλλον
Θεὸν οὐκ οἴδαμεν.

Ὠδὴ ς′

Μὴ καταποντισάτω με καταιγὶς ὕδατος
μηδὲ καταπιέτω με βυθός·
ἀπέρριμμαι γὰρ εἰς βάθη
καρδίας θαλάσσης τῶν κακῶν μου·
διὸ κραυγάζω ὡς Ἰωνᾶς
ἀναβήτω ἐκ φθορᾶς τῶν κακῶν
ἡ ζωή μου πρὸς σὲ ὁ Θεός.

Ὠδὴ ζ′

Πῦρ φλέγον ἐν καμίνῳ ἐξετινάσσετο
παῖδες ἐδροσίζοντο
καὶ ὑμνοῦντες ἔλεγον·
εὐλογητὸς εἶ ὁ μόνος ὑπάρχων
Θεὸς τῶν πατέρων ἡμῶν.

Ὠδὴ η′

Τὰ σύμπαντα, Δέσποτα,
τῇ σῇ σοφίᾳ συνεστήσω
γῆς δὲ πάλιν ἥδρασας
ὡς οἶδας τὸν πυθμένα
τῇ βάσει πηξάμενος
ἐπὶ ὑδάτων ἀπείρων·
διὸ πάντες βοῶμεν ἀναμέλποντες
εὐλογεῖτε τὰ ἔργα Κυρίου
ἀπαύστως τὸν Κύριον.

Ὠδὴ θ′

Ὑμνοῦμέν σε, ἄχραντε
Παρθενομῆτορ ἔνδοξε,
ὅτι ἀνεβλάστησας τὸν οὐράνιον στάχυν
Χριστὸν τὸν Θεὸν
ὑπὲρ πᾶσαν ἔννοιαν
ἐκ σοῦ ἄρτος γέγονε
ζωηφόρος τοῖς πιστοῖς·
διό σοι κραυγάζομεν
χαῖρε, ἄμωμε, ἡ μείνασα
παρθένος μετὰ τόκον, ἁγνή.

148

Ποίημα Ἀνδρέου [Κρήτης] Ἱεροσολυμίτου

A φ. 107α. B φ. 120β

Ὠδὴ α′. Ἦχος δ′. Ὁ Εἱρμός.

Ἄσωμεν ᾠδὴν ἐπινίκιον
τῷ μόνῳ Θεῷ
τῷ ποιήσαντι παράδοξα·
πάλαι γὰρ τὸν Φαραὼ
πανστρατὶ ἐν θαλάσσῃ ἐβύθισεν.

Ὠδὴ β′

Ἔσχισας πέλαγος τὸ ἐρυθραῖον ὁ Θ
τὸν Φαραὼ βυθίσας ἐν αὐτῷ
διαβιβάσας Μωυσέα ἀβρόχως ἐν ἐρ
καὶ ἐπομβρήσας τὸ μάννα εἰς βρῶ
τῷ λαῷ τοῦ Ἰσραὴλ ὡς δυνατός.

Εἱρμὸς ἄλλος

Ἴδετε ἴδετε ὅτι ἐγώ εἰμι Θεὸς
ὁ θανατῶν καὶ ζωογονῶν
ὁ δωρησάμενος ὕδωρ ἐκ πέτρας ἀκροτό
καὶ ἐπομβρήσας τὸ μάννα εἰς βρῶ
τῷ λαῷ τοῦ Ἰσραὴλ ὡς δυνατός.

Ὠδὴ γ′

Ἐστερεώθη ἡ καρδία μου ἐν Κ
τῷ διδόντι εὐχὴν τῷ εὐχομένῳ
ὅτι τόξον δυνατῶν ἠσθένησε
καὶ οἱ ἀσθενοῦντες περιεζώσαντο δύν

Ὠδὴ δ′

Εἰσακήκοα τὴν ἀκοὴν τῆς οἰκονο
ὅτι ἐκ Παρθένου ἐτέχθης
τὴν τεκοῦσαν μὴ φλέξας
καὶ ἐδόξασα, σῶτερ,
τὴν συγκατάβασίν σου.

Ὠδὴ ε′

Ἐκ νυκτὸς ὀρθρίζοντες πάντες ἀσιγή
σὲ τὸ ἀπρόσιτον ἱκετεύομεν φῶς
ὁ Θεὸς ὡς οἰκτίρμων
τὴν σὴν εἰρήνην, Χριστέ, δώρησαι ἡ

Ὠδὴ ς′

Κλύδων με πταισμάτων περιέχει
σωτήρ, καὶ βυθίζειν πειρᾶται, ἀγαθ
ἀλλ' ὥσπερ τὸ πρὶν τὸν Ἰωνᾶν
ἀνήγαγες ἐκ φθορᾶς
κἀμὲ δέομαι, Κύριε,
προφθάσας διάσωσον.

Ὠδὴ ζ′

Εὐλογητὸς εἶ ὁ Θεὸς
ἐν τῇ καμίνῳ οἱ παῖδες ὑμνολογοῦν
ἀγγέλου ἦχουν βοῶντος πρὸς αὐ
ἴδε εἰσηκούσθη ἡ δέησις ὑμῶν.

Ὠδὴ η′

Τὸν ἐκτείναντα Θεὸν
τὸν οὐρανὸν ὡσεὶ δέρριν
καὶ θεμελιοῦντα τὴν γῆν
ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς
ἱερεῖς καὶ δοῦλοι Κυρίου
τὸν Κύριον εὐλογεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ′

Σὲ ὡς χωρίον ἄχραντον τοῦ Λ
καὶ δοχεῖον τοῦ Πνεύματος
καὶ τῆς εὐδοκίας τοῦ πατρὸς ἐργαστή

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

— ἐν σοὶ γὰρ τὸ συναλλαγμα
τῆς σωτηρίας ἡμῶν ἐξείργασται —
ἀσματικῶς, Παρθένε
ἁγνή, μεγαλύνομεν.
Εἱρμὸς ἄλλος
Τὴν πυρένδροσον πάλαι
κάμινον τῶν Χαλδαίων
καὶ πυράρλεκτον βάτον τὴν ἐν Σινᾷ
Θεοτόκον σε πάντες
ὕμνοις μεγαλύνομεν.

149

Ποίημα Ἀνδρέου Κρήτης

Λ φ. 108β. Β φ. 122α

Ὠδὴ α'. Ἦχος δ'. Ὁ Εἱρμός.
Τῷ ὁδηγήσαντι πάλαι
τὸν Ἰσραὴλ φεύγοντα
ἐκ τῆς δουλείας Φαραὼ
καὶ ἐν θαλάσσῃ σώσαντι
καὶ ἐν ἐρήμῳ θρέψαντι
ἄσωμεν ὡς λυτρωτῇ ἡμῶν Θεῷ
ὅτι δεδόξασται.
Ὠδὴ β'
Ἴδετε ἴδετε
ὅτι ἐγώ εἰμι Θεὸς
ὁ ἐν θαλάσσῃ σώσας
καὶ ἐν ἐρήμῳ θρέψας
λαὸν Ἰσραηλίτην
καὶ δουλείας καὶ φθορᾶς
ἐλευθερώσας Φαραώ.
Ὠδὴ γ'
Μὴ καυχάσθω ὁ καυχώμενος
ἀλλ' ἢ ἐν τούτῳ· ἐν τῷ συνεῖναι
ὅτι οὐκ ἔστιν ἅγιος ὡς ὁ Θεὸς ἡμῶν
ὁ ὑψῶν τὸ κέρας ἡμῶν
καὶ διδοὺς ἰσχὺν τοῖς βασιλεῦσιν ἡμῶν.
Ὠδὴ δ'
Ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ
ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ
ἐν τῷ ταραχθῆναι τὴν ψυχήν μου
ἐν ὀργῇ ἐλέους μνησθήσῃ, Κύριε,
δόξα τῇ δυνάμει σου.
Ὠδὴ ε'
Ἀνάτειλόν μοι, Κύριε,
τὸ φῶς τῶν προσταγμάτων σου
ὅτι πρὸς σέ, Χριστέ, τὸ πνεῦμά μου
ὀρθρίζει καὶ ὑμνεῖ σε·
σὺ γὰρ Θεὸς ἡμῶν
καὶ πρὸς σὲ καταφεύγω,
βασιλεῦ τῆς εἰρήνης.
Ὠδὴ ς'
Ἐν πελάγει τοῦ βίου
ταῖς πράξεσί μου
κατῆλθον εἰς ᾅδην·
ἀλλ' ὡς ἐκ κήτους Ἰωνᾶς
οὕτω βοῶ σοι·
ἐκ βυθοῦ τῶν κακῶν μου
ἀνάγαγε δέομαι,
υἱὲ τοῦ Θεοῦ καὶ Λόγε.
Ὠδὴ ζ'
Μὴ παραδώσῃς ἡμᾶς εἰς τέλος
διὰ τὸ ὄνομά σου
καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην σου
καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου
ἀφ' ἡμῶν, Κύριε
ὁ Θεὸς τῶν πατέρων ἡμῶν
ὁ ὑπερύμνητος εἰς τοὺς αἰῶνας.
Ὠδὴ η'
Ἐν φλογὶ πυρὸς παρίστανται
χερουβὶμ σεραφίμ, Κύριε,
καὶ πᾶσα κτίσις
ὕμνον ᾄδει σοι τερπνόν.
ὑμνεῖτε εὐλογεῖτε
καὶ ὑπερυψοῦτε
Χριστὸν τὸν μόνον δημιουργὸν
εἰς πάντας τοὺς αἰῶνας.
Ὠδὴ θ'
Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατὸς
καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ
καὶ τὸ ἔλεος αὐτοῦ
εἰς γενεὰν καὶ γενεὰν
τοῖς φοβουμένοις αὐτόν.
Εἱρμὸς ἄλλος
Ἐποίησε κράτος
ἐν βραχίονι αὐτοῦ·
καθεῖλε γὰρ δυνάστας ἀπὸ θρόνων
καὶ ὕψωσε ταπεινοὺς
ὁ Θεὸς τοῦ Ἰσραὴλ
ἐν οἷς ἐπεσκέψατο ἡμᾶς
ἀνατολὴ ἐξ ὕψους
καὶ κατεύθυνεν ἡμᾶς
εἰς ὁδὸν εἰρήνης.

150

Ποίημα Ἀνδρέου Κρήτης τοῦ Ἱεροσολυμίτου

Λ φ. 109β

Ὠδὴ α'. Ἦχος δ'. Ὁ Εἱρμός.
Ὁ πατάξας Αἴγυπτον
καὶ Φαραὼ τὸν τύραννον
βυθίσας ἐν θαλάσσῃ
λαὸν διέσωσας δοκίμιας
μωσαϊκῶς ᾄδοντα
ᾠδὴν ἐπινίκιον
ὅτι δεδόξασται.

Ὠδὴ β'
Οὐρανὸν καὶ γῆν
μάρτυρας συγκαλεῖται
ὁ θεόπτης Μωυσῆς
διὰ τὸν ἀγνώμονα λαόν·
ἀκουέτω ὁ νέος Ἰσραὴλ
καὶ ἐπιγνώτω
ὅτι Θεὸς ἀληθινὰ τὰ ἔργα αὐτοῦ
καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ κρίσεις
καὶ διὰ τοῦτο δῶμεν
αὐτῷ μεγαλωσύνην
ὡς βασιλεῖ καὶ Θεῷ.
Ὠδὴ γ'
Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ
ὑψώθη κέρας μου ἐν Θεῷ μου
ὅτι οὐκ ἔστι πλήν σου,
Κύριε, ἅγιος.
Ὠδὴ δ'
Εἰσακήκοα, Κύριε,
τὴν ἀκοήν σου καὶ ἐφοβήθην
κατενόησα τὰ ἔργα σου καὶ ἐξέστην
δόξα, Κύριε, τῇ δυνάμει σου.
Εἱρμὸς ἄλλος
Εἰσακήκοα ὁ Θεὸς
τὴν ἀκοήν σου καὶ ἐφοβήθην
κατενόησα τὰ ἔργα σου
καὶ ἐξέστην, Κύριε,
ὅτι τῆς σῆς αἰνέσεως πλήρης ἡ γῆ.
Ὠδὴ ε'
Ὄρθρον φαεινὸν ἡμῖν
ἐξανάτειλον ὡς ἀγαθὸς
καὶ ὁδήγησον ἡμᾶς
εἰς τὸν φόβον σου, Δέσποτα Κύριε.
Ὠδὴ ς'
Ζάλῃ με λογισμῶν καταλιβοῦσα
εἰς βυθὸν κατήγαγεν
ἀμέτρων ἁμαρτημάτων·
ἀλλὰ σύ, κυβερνῆτα ἀγαθέ,
προφθάσας κυβέρνησον
ὡς τὸν προφήτην καὶ σῶσόν με.
Ὠδὴ ζ'
Τῇ εἰκόνι τῇ χρυσῇ
μὴ προσκυνήσαντες παῖδες
Ἀβραμιαῖοι ἐδοκιμάζοντο
ὡς χρυσὸς ἐν χωνευτηρίῳ·
ἐν καμίνῳ γὰρ πυρὸς
ὡς ἐν θαλάμῳ φωτεινῷ
ἐχόρευον βοῶντες·
εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.
Ὠδὴ η'
Γῆ καὶ πάντα τὰ ἐν αὐτῇ
θάλασσα καὶ πᾶσαι αἱ πηγαὶ
οἱ οὐρανοὶ τῶν οὐρανῶν
φῶς καὶ σκότος ψῦχος καὶ καῦσος
υἱοὶ τῶν ἀνθρώπων
ἱερεῖς εὐλογεῖτε τὸν Κύριον
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.
Εἱρμὸς ἄλλος
Πάντα τὰ ἔργα τοῦ Θεοῦ
καὶ πᾶσα κτίσις εὐλογεῖτε τὸν Κύριον
ὅσιοι καὶ ταπεινοὶ τῇ καρδίᾳ
ὑμνεῖτε καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.
Ὠδὴ θ'
Σὲ τὴν ὑπὲρ πᾶσαν ἔννοιαν,
μητροπάρθενε κόρη ἀνύμφευτε,
τὸν σωτῆρα καὶ Θεὸν
ἀφράστῳ λόγῳ κυήσασαν
κατὰ χρέος οἱ πιστοὶ ἅπαντες
εὐσεβῶς μεγαλύνομεν.

151

ΕΙΣ ΤΗΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ ΘΕΚΛΑΝ

Ποίημα Ἀνδρέου Κρήτης

Λ φ. 111α. Β φ. 128α

Ὠδὴ α'. Ἦχος δ'. Ὁ Εἱρμός.
Παρθένος μάρτυς πολύαθλος
Παρθένον μητέρα πολυύμνητον
σήμερον ἐν τῷ αὐτῆς νυμφῶνι
ἐπιδημοῦσαν ξεναγεῖ·
νυμφοστόλοι πάντες χορεύσωμεν πάτρια
εὐσεβῶς τὴν βασιλίδα μεγαλύνοντες.
Εἱρμὸς ἄλλος
Βασιλικὴν ἀλουργίδα
καὶ χρυσοῦν ὄχημα
καὶ λιθοκόλλητον στέφανον
περικείμενος ὁ Φαραὼ
ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ κατεποντίζετο·
ὁ δὲ ἀκτήμων Μωυσῆς
ῥάβδον μόνην περιφερόμενος
ὡς χλοηρὸν πεδίον
τὴν ἄβατον πεποίηκε
καὶ τὸν λαὸν διὰ ξηρᾶς
διήγαγε μέλποντα·
τῷ Κυρίῳ ἄσωμεν
ἐνδόξως γὰρ δεδόξασται.
Ὠδὴ β'
Ἴδετε ἴδετε
ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν
ὁ ῥάβδον ἐπιδώσας

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

τῷ θεράποντί μου Μωσῇ
διατμῆξαι θάλασσαν
καὶ διαβιβάσαι τὸν ἐκλεκτόν μου Ἰσραὴλ
ἀβρόχοις ἴχνεσι
τοῦ ὁδηγῆσαι αὐτὸν
εἰς γῆν ἐπαγγελίας
τῇ ἀνεικάστῳ ἐξουσίᾳ μου.

Εἱρμὸς ἄλλος

Δῶμεν μεγαλωσύνην τῷ Θεῷ ἡμῶν
τῷ σαρκωθέντι ἐκ τῆς Παρθένου
ἵνα ἐκ πλάνης
σώσῃ ἡμᾶς τοὺς κραυγάζοντας
ἀληθινὰ τὰ ἔργα σου, Κύριε.

Ὠδὴ γ'

Ὕψωσόν μου τὸ κέρας
ὁ Θεὸς ὁ κτίστης μου
ὁ ἀνάγων καὶ κατάγων εἰς ᾅδην·
ἔγειρόν με πεσόντα
τὸν ποτὲ κατάκριτον
τῇ χειρί σου ὅτι σύ μου εἶ Θεὸς
ὁ ἐγείρων ἀπὸ γῆς πτωχὸν
καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα
καὶ καλῶν ὡς ὄντα τὰ μὴ ὄντα
καὶ κρίνων τὰ ἄκρα τῆς γῆς
ὅτι οὐκ ἔστιν ἅγιος
οὐκ ἔστι δίκαιος πλὴν σου, Κύριε.

Ὠδὴ δ'

Ὁ προφήτης Ἀββακοὺμ
ὡς ἐκ μεγάλης βροντῆς
τὰς ἀκοὰς ἐκπλαγείς
ἐκ Θαιμὰν ἥξειν σε προανεφώνει
σῶσαι λαὸν πιστῶς κραυγάζοντα
δόξα τῇ δυνάμει σου, Κύριε,
δόξα τῇ ἰσχύϊ σου, ἅγιε,
δόξα τῇ ἀνεικάστῳ ἐξουσίᾳ σου.

Ὠδὴ ε'

Τὸ ἐπιπροσθοῦν μοι
τῆς ἁμαρτίας νέφος
κατακαλύπτει μου
τῆς ψυχῆς τὸ νοερὸν
καὶ πρὸς τὴν λάμψιν
τῶν θείων ἐντολῶν σου
ἀμαυροῖ μου τὸν νοῦν·
ἀλλ' ὡς ὑπάρχων ἥλιος
δικαιοσύνης, Χριστέ,
ἐν τοῖς προστάγμασι
τῶν ἐντολῶν σου βεβαίωσόν με
ἵνα ὀρθρίζῃ τὸ πνεῦμα ἐκ νυκτὸς
καὶ δοξολογῇ σε ἐν εἰρήνῃ
τὸν βασιλέα τῆς εἰρήνης.

Ὠδὴ ς'

Ὑλὴ τῶν ἔργων μου
τῶν δεινῶν ἐπανέστη
καὶ εἰς χάος ἄπειρόν με ἄγει·
ἀλλ' ἐκτείνας, Κύριε,
τὴν κραταιάν σου παλάμην
ἀνάγαγε καὶ σῶσόν με.

Ὠδὴ ζ'

Χοροστατῶν ἐν μέσῳ καμίνου πυρὸς
Λόγος ἰσάγγελος
τοῖς περὶ τὸν Ἀζαρίαν
τοῦ ὕμνου ἐξῆρχεν·
ὁ παντοκράτωρ Θεὸς
τοῦ Ἰσραὴλ εὐλογητὸς εἶ.

Ὠδὴ η'

Τὸν ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι τὰ πάντα
παραγαγόντα Θεὸν
καὶ τὸ πρωτόκτιστον κάλλος δημιουργήσαντα
ἐν φλογὶ νεαρᾷ
ὑμνοῦντες ἐβάλλομεν·
εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Εἱρμὸς ἄλλος

Τὸ θεομάχον πρόσταγμα
ἔλυσαν τοῦ τυράννου οἱ παῖδες
καὶ βληθέντες ἐν καμίνῳ
ἀσιγήτως ὕμνον Θεῷ
τῷ ἀξίως δεδοξασμένῳ
ἀνέμελπον εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'

Σὲ τὸν θεῖον ἱστὸν
ἐν ᾧ ἀῤῥήτως ἐξηνθρώπησε
Θεοῦ τὸ παναγιον σῶμα
ἐξ οὗ ὁ ἁπλοῦς καὶ ἀφανὴς
διπλοῦς καὶ ἐμφανὴς
Ἰησοῦς ἐγνωρίσθη
ἵνα λύσῃ τοὺς ἐν βάρει
πταισμάτων κατεχομένους
τὴν Θεοτόκον πάντες
τὴν ἐλπίδα ἡμῶν μεγαλύνομεν.

152

Ποίημα Ἀνδρέου Κρήτης

Λ φ. 113α. Β ῥ. 129β

Ὠδὴ α'. Ἦχος δ'. Ὁ Εἱρμός.

Τὸ ἄσημα τὸ νοητὸν
ᾧ ἀνημέλπεται Θεὸς
Μωσῆς ἐν τῇ θαλάσσῃ πάλαι προέγραψε·
τρηὸν γὰρ τὴν θάλασσαν
τῇ ῥάβδῳ διεσώζετο·
λοιπὸν Φαραὼνίτης λαὸς
σὺν ἵπποις καὶ τριστάταις κατεποντίζετο·
καὶ Φαραὼ διάγων
φύγωμεν ἐκραύγαζεν
ἀπὸ προσώπου αὐτοῦ·
ὁ γὰρ Κύριος πολεμεῖ ὑπὲρ αὐτοῦ·
Μωσῆς δὲ ἀνεβόα·
ἄσωμεν ἅπαντες
ᾠδὴν ἐπινίκιον
ὅτι δεδόξασται.

Ὠδὴ β'

Ἴδετε ἴδετε
ὅτι ἐγώ εἰμι Θεὸς
ὁ ἐν ἐρήμῳ φυγάδα πάλαι
λαὸν κορέσας τῆς τοῦ μάννα τροφῆς
καὶ ἀναγαγὼν αὐτοὺς
εἰς ὄρος ἁγιάσματος
τῇ ἐξουσίᾳ καὶ τῇ ἰσχύϊ τῇ ἐμῇ.

Ὠδὴ γ'

Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ
ὅτι ἀνέτειλας ἐκ γῆς τίμιον ξύλον
ἐν ᾧ ἐπάγη ὁ σωτὴρ ἡμῶν.

Εἱρμὸς ἄλλος

Μίμησαι ψυχή μου εἰς ἀρετὴν
τῆς Ἄννης καὶ σὺ τὴν ᾠδὴν
καὶ βόησον πίστει κραυγάζουσα·
ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ
τῷ ἐγείραντι κέρας
λαῷ τῷ ἐκλεκτῷ αὐτοῦ.

Εἱρμὸς ἄλλος

Μὴ καυχάσθω ὁ καυχώμενος
ἐν τῇ αὐτοῦ δυναστείᾳ, ὡς γέγραπται·
ἀλλὰ τῇ πίστει τῇ ἀμωμήτῳ
Χριστῷ συνεισέλθωμεν·
ἀκλινῶς δοξάζοντες
ὡς κηρύττουσιν αἱ τῶν πατέρων φωναί.

Ὠδὴ δ'

Τὸ παράδοξον, Κύριε, κατενόησα
τῆς μυστικῆς σου οἰκονομίας θαῦμα
ὅτι Θεὸς ἀπερίγραπτος ὑπάρχων
τοῖς βροτοῖς συνανεστράφης
καὶ ἐδόξασα φόβῳ
τὴν ἀκατάληπτόν σου δύναμιν.

Ὠδὴ ε'

Ἐκ νυκτὸς ὀρθρίζοντες
ἀνυμνοῦμέν σε, Χριστὲ ὁ Θεός,
ὅτι ἐρρύσω πάντας
τοὺς δοξάζοντας τὰ πάθη σου
τῆς πλάνης ὡς φιλάνθρωπος.

Ὠδὴ ς'

Ἄβυσσος ἐσχάτη
ἁμαρτημάτων ἐκύκλωσέ με
καὶ ζάλη ἀπογνώσεως
ἀλλ' ὡς ποτὲ τὸν Ἰωνᾶν
ἐκ τοῦ θηρὸς διέσωσας
καμέ, σωτήρ, ἀνάγαγε
εἰς τὸ ὑμνεῖν τὴν σὴν ἀγαθότητα.

Ὠδὴ ζ'

Ὁ τοὺς παῖδας ἐν τῇ καμίνῳ
τοῦ πυρὸς ρυσάμενος, Κύριε,
καὶ ἡμᾶς διάσωσον
πίστει κραυγάζοντας·
ὁ τῶν πατέρων Κύριος εὐλογητὸς εἶ

Εἱρμὸς ἄλλος

Ὁ τοὺς Χαλδαίους ποτὲ
ἀναλώσας ἐν καμίνῳ
καὶ τοὺς παῖδας ἐν αὐτῇ
ὡς ἐν θαλάμῳ φυλάξας
εὐλογητὸς εἶ, Κύριε.

Ὠδὴ η'

Σὲ τὸν περιβάλλοντα τὸν οὐρανὸν [νεφέλαις
καὶ ἑτοιμάζοντα τῇ γῇ ὑετόν, Χριστέ,
ἀνυμνοῦμεν καὶ δοξολογοῦμεν
ὡς ὑπερένδοξον Θεὸν
εἰς τοὺς αἰῶνας ἅπαντας.

Εἱρμὸς ἄλλος

Πάντα τὰ ἔργα τοῦ Θεοῦ
καὶ πᾶσα κτίσις εὐλογεῖτε τὸν Κύριον·
ὅτι τοῖς ἀνθρώποις ἐκ τῆς γῆς
ἀνέτειλε τὸ φῶς
καὶ τὴν οἰκουμένην πᾶσαν ἐφώτισε
καὶ ζωὴν αἰώνιον τῷ κόσμῳ ἐδωρήσατο·
ὑμνεῖτε λαοί
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Φωτοφόρον νεφέλην σε
προκατεῖδε Μωυσῆς·
ὁ ἐν προφήταις μέγας
Δανιὴλ δὲ ἀλατόμητον ὄρος
καὶ ἐκ σοῦ λίθον
ἄνευ χειρὸς τμηθέντα,
πάναγνε· διὸ πάντες μεγαλύνομεν.

Εἱρμὸς ἄλλος

Προκατιδὼν ὁ προφήτης
τοῦ ξένου τρόπου τὸ μυστήριον
ἡ πύλη αὕτη ἔλεγε
κεκλεισμένη ἔσται
οὐδεὶς οὐ μὴ διέλθῃ δι' αὐτῆς
εἰμὴ Κύριος ὁ Θεὸς Ἰσραὴλ
καὶ πάλιν μένει κεκλεισμένη·
διότι ἐν πάσῃ γενεᾷ
καὶ γενεᾷ μεγαλυνθήσεται.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

153

ΕΙΣ ΤΗΝ ΓΕΝΝΗΣΙΝ ΤΟΥ ΠΡΟΔΡΟΜΟΥ

Ποίημα Θεοδώρου τοῦ Στουδίτου

Α φ. 114β. Β φ. 153β

Ὠδὴ α'. Ἦχος δ'. Ὁ Εἱρμός.

* Ἠπειρωθεῖσα θάλασσα πάλαι
τῷ Μωσῇ πεζοβαδὴς ἐδείκνυτο
ἐν ᾗ βλέπων Ἰσραὴλ Φαραὼ
πανστρατὶ βυθισθέντα ἀνέμελπεν·
ἄσωμεν τῷ Κυρίῳ
ἆσμα καινὸν ὅτι δεδόξασται.

Ὠδὴ β'

Ἴδετε ἴδετε πάντες ἔργα δυνάμεώς μου
τὴν τοῦ παντὸς παραγωγὴν λέγει ὁ ὢν
καὶ πιστῶς βοήσατε
οὐκ ἔστι Θεὸς ἄλλος πλήν σου, Κύριε.

Ὠδὴ γ'

Ὅτι οὐκ ἔστιν ἅγιος ὡς ὁ Κύριος
ὁ μιᾷ θεότητι τρισυποστάτως
δοξολογούμενος Θεός·
διὰ τοῦτο ἐστερεώθη ἡ καρδία μου.

Ὠδὴ δ'

Μετέωρος τῇ θεωρίᾳ
γενόμενος ὁ Ἀββακοὺμ
προεώρα τῷ Πνεύματι
τὴν πρὸς ἡμᾶς σου, Λόγε, ἐπιδημίαν
τὰ ἔργα σου ἐξέστησάν με κράζων
ἐν τῷ μέλλειν σαρκοῦσθαί σε
ἀρρήτως, Κύριε.

Ὠδὴ ε'

Τὸ ζοφερὸν διάλυσον τῆς ἁμαρτίας μου
ἐν τῷ ἀνατέλλειν μοι
ὄρθρον φαεινὸν ἐν τῇ καρδίᾳ μου
τῶν ἐντολῶν σου, Κύριε,
τὸ ἀπρόσιτον φῶς.

Εἱρμὸς ἄλλος

Τῷ φωτιστικῷ λύχνῳ σου καταύγασον ἡμᾶς
καὶ ἀπέλασον τὸν ζόφον τῶν πταισμάτων [ἡμῶν,
Βαπτιστὰ τοῦ Χριστοῦ,
πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὠδὴ ϛ'

Ρευστὴ εὐδιάχυτος φύσις
Ἰωνᾶν δεξαμένη οὐκ ἐλυμήνατο
οὐδὲ θηρὸς ἡ κατάποσις διέφθειρεν
ὃν ἀπήμεσε τριέσπερον
ἀσινῆ κραυγάζοντα·
Κύριε, διάσωσόν με.

Εἱρμὸς ἄλλος

Τῶν πταισμάτων τῇ ζάλῃ βυθιζόμενος
ὡς ἐν κοιλίᾳ τοῦ κήτους συνεχόμενος
σὺν τῷ προφήτῃ κράζω σοι·
ἀνάγαγε ἐκ φθορᾶς τὴν ζωήν,
Κύριε, καὶ διάσωσόν με.

Ὠδὴ ζ'

Πῦρ φλέγον ἐν καμίνῳ
κατέσβεσαν οἱ παῖδες
τῇ δρόσῳ τοῦ Πνεύματος
καὶ ὑμνοῦντες ἔλεγον·
ὁ τῶν πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Εἱρμὸς ἕτερος

Φερέσβιοι παῖδες οἱ τρεῖς
τῇ συγκαταβάσει τοῦ ἀγγέλου
ἐν τῇ καμίνῳ δροσιζόμενοι ἐκραύγαζον·
ὕψιστε σῶτερ, εὐλογητὸς εἶ.

Ὠδὴ η'

Τὸν ἐν καμίνῳ τοῦ πυρὸς
ἐν Βαβυλῶνι τοὺς παῖδας
τῶν Ἑβραίων διασώσαντα Θεὸν
ἱερεῖς εὐλογεῖτε
λαὸς ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Σὲ τὴν θεότευκτον σκηνὴν
ἐν ᾗ ὁ Λόγος μὴ στενοχωρούμενος
σαρκικῶς ἐνώκησε, Παρθένε,
πάντες ὡς μητέρα Θεοῦ μεγαλύνομεν.

Εἱρμὸς ἄλλος

Ἐν γενεαῖς γενεῶν
μακαρία ὑπῆρξας, Θεόνυμφε,
ὅτι ἔτεκες υἱὸν τὸν τοῦ κόσμου λυτρωτὴν
διὰ τοῦτό σε μακαρίζομεν
σὺν τῷ Προδρόμῳ βροτοὶ καὶ μεγαλύνομεν.

154

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΙΩΑΝΝΗΝ ΤΟΝ ΧΡΥΣΟΣΤΟΜΟΝ

Ποίημα Γεωργίου Σικελιώτου

Α φ. 116α. Β φ. 147β

Ὠδὴ α'. Ἦχος δ'. Ὁ Εἱρμός.

* Χῶρος εἰς ἅπαξ εἶδεν ἥλιον
ἀβυσσοκόλπιος
ποσὶν ἀβρόχοις
Ἰσραηλιτῶν πεζοπορούμενος·
θείῳ νεύματι γὰρ νάματα
ἑκατέρωθεν διεστῶτα
λαὸν διεσώσατο
ἐπινικίως βοῶντα τῷ λυτρωτῇ
ἐνδόξως δεδόξασται·
ἅλμῃ γὰρ ποντώσας

ὑπέροπλον σθένος κατέκλυσεν.

Ὠδὴ β'

Ἴδετε ἴδετε υἱοὶ τῶν γηγενῶν
ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν
ὁ τῷ αἵματί μου τῷ τιμίῳ
ἐξαγοράσας ὑμᾶς
ἐκ τῆς τοῦ νόμου κατάρας
καὶ κτησάμενος ὑμᾶς
περιούσιον λαὸν τῇ εὐσπλαγχνίᾳ μου.

Εἱρμὸς ἄλλος

Ἴδετε ἴδετε λαοὶ
ὅτι φοβερὸς βασιλεὺς
μέγας ἐγώ εἰμι
καὶ τὸ ὄνομά μου εἰς γενεὰν
καὶ γενεὰν τοῖς φοβουμένοις με.

Ὠδὴ γ'

Ὁ τὰς καρδίας ἐρευνῶν
καὶ τοὺς νεφροὺς ἐμβατεύων
πρὸς γνῶσιν θεότητος,
Λόγε Θεοῦ ἀτρεκὲς
πενομένων πλουτιστά,
ἀπὸ κοπρίας παθῶν με
θᾶττον ἀνάστησον
στηρίζων ἐν πνεύματι τῆς σῆς αἰνέσεως
ἐν τῇ πέτρᾳ με, σῶτερ, τῆς πίστεως.

Ὠδὴ δ'

Ἤχῳ εὐλάλῳ
προδιαγνοὺς Ἀββακοὺμ
ἀραρότου Λόγου τὴν σάρκωσιν
κέκραγεν ἀναφανδόν·
ἀκοὴν ἀκήκοα θείας βουλήσεως·
Θεὸς γὰρ ἀτρέπτως τοῖς βροτοῖς ὁμιλήσει
ἐξ ὄρους ἐρχόμενος
παρθενικῆς ἐκ γαστρὸς
καὶ κόσμον λυτρούμενος
τῆς ἀρχεγόνου ἀρᾶς.

Ὠδὴ ε'

Νυκτομαχῶν τῶν παθῶν
τῇ ἰλύϊ πρὸς σὲ ὀρθρίζω
τὸν μόνον εὔσπλαγχνον
τῆς ψυχῆς μου τὴν ἀχλὺν καταλάμψαι
καὶ σειρὰς διατμῆξαι τῶν ὀφλημάτων μου
ὅπως τῷ σῷ συναϊδίῳ Πνεύματι
καταγλαϊζόμενος δικαιοσύνης ὁδὸν
ἀκήρατον εὕροιμι τῶν προσταγμάτων [σου.

Ὠδὴ ϛ'

Μυστικὸς ὑποφήτης
τῆς τριημέρου ταφῆς
ὁ Ἰωνᾶς ἀναδέδεικται
ὀλοφωΐῳ γαστρὶ
θηρὸς τριημερεύσας
ἄτερ φθορᾶς
καὶ παθῶν ἐξαλύξαι δεσμὰ
κράζει πιστῶς·
μετὰ φωνῆς αἰνέσεως, Κύριε,
δέξαι με ἐξ ἅδου κατωτάτου,
σῶτερ, καὶ σῶσόν με.

Εἱρμὸς ἄλλος

Χειμαζόμενόν με, οἰκτίρμον,
σάλῳ τῶν πταισμάτων μου δέομα
ἀνακάλεσόν με
καὶ διάσωσον, Κύριε,
ὡς Ἰωνᾶν ἐκ τοῦ θηρὸς τοῦ ν

Ὠδὴ ζ'

Σοβαρὸν βασιλέως Περσῶν διά
βρομίῳ πυρὶ καθοπλισθὲν
ἀνθωπλίσατο παίδων ὁ τριφεγ
θίασος ἐν καμίνῳ
πυρὸς ἀφλέκτως βοῶν·
ὁ αἰνετὸς καὶ Θεὸς τῶν πατέρων
εὐλογητὸς εἶ.

Ὠδὴ η'

Ἡ πολυθρύλλητος φλὸξ
τῶν αἰχμαλώτων τοῖς ἁγνοῖς
ἐνωθεῖσα σώμασι
δροσοβόλος ἀναδέδεικται
τυραννικῆς δυσφημίας
ἀντίθεον ἄγαλμα παραδειγματίσα
τῇ θεϊκῇ συγκαταβάσει
τῶν νεανιῶν ψαλλόντων
τὰ κτιστὰ τὸν κτίσαντα
Θεὸν εὐλογεῖτε
ὡς δημιουργὸν τῶν ἁπάντων
ἀπαύστως εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Ἀκατάληπτος ὁ τρόπος τῆς λοχεία
ἀνερμήνευτος ὁ πλοῦτος τῆς ἁγνεία
μετὰ τόκον παρθενεύεις γὰρ μόνη γυν
ὡς τεκοῦσα τὸν ἑαυτῆς ποιητὴν
κέρας σωτήριον τοῖς πιστοῖς
ἀνυψώσαντα τὸν τίμιον σταυρό
ἐν ᾧ σωθέντες διὰ σοῦ,
Θεοτόκε, σὲ κυρίως μεγαλύνομ

155

ΕΙΣ ΤΗΝ ΥΨΩΣΙΝ ΤΟΥ ΤΙΜΙΟΥ ΣΤΑΥΡΟΥ

Ποίημα Κυπριανοῦ μοναχοῦ

Α φ. 118α. Β φ. 131α

Ὠδὴ α'. Ἦχος δ'. Ὁ Εἱρμός.

* Σταυροῦ τὸ ξύλον προσκυνῶν
ἁγιάζομαι σήμερον, Κύριε·
δι' αὐτοῦ γὰρ ηὑράμην

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

πρὸς οὐράνιον μονὴν
ἀπόρθητον ἄνοδον·
διεξοδικῶς δὲ ὑμνῶ σου
ὡς Μωσῆς ἐν αἰνέσει τὴν δυναστείαν
ἅδων σοι ᾠδὴν κραταιάν.

Ὠδὴ β'

Μεγαλωσύνην αἰνέσεως
δῶμεν Χριστῷ τῷ Θεῷ
τῷ ἐκ δουλείας Αἰγύπτου
λυτρωσαμένῳ Ἰσραηλίτην λαὸν
καὶ κορέσαντι ὕδωρ αὐτῷ
διψῶντι ποτὲ
τῇ παναγάθῳ αὐτοῦ
καὶ φιλανθρώπῳ ἐξουσίᾳ.

Εἱρμὸς ἄλλος

Ζῶ ἐγὼ εἰς τὸν αἰῶνα, λέγει Κύριος
ὁ θανάτου καὶ ζωῆς ἔχων ἐξουσίαν
ἀνάγων καὶ κατάγων εἰς ἅδην
καὶ πᾶσι δωρούμενος
τὸ μέγα καὶ πλούσιον ἔλεος.

Εἱρμὸς ἄλλος

Ἴδετε ἴδετε πάντα τὰ πέρατα τῆς γῆς
τὸ σωτήριον ξύλον τοῦ Θεοῦ ἡμῶν
εἰς προσκύνησιν πιστοὶ προκείμενον
καὶ θαυμάσαντες τὴν τούτου δυναστείαν
δῶμεν δόξαν ἐν αἰνέσει αὐτῷ
καὶ ἐκπλαγέντες τὰ θαυμάσια
δῶμεν μεγαλωσύνην
Κυρίῳ τῷ Θεῷ ἡμῶν.

Ὠδὴ γ'

Ῥύσιον ἡμῖν πεφανέρωται
θεῖον σὸν αἷμα, σωτήρ,
τὸ καθηλωθὲν δὲ ἐν ξύλῳ
πανάχραντον σῶμά σου
ἀπαρχὴ σωτήριος
τῆς ἐν Ἅδῃ ἀφθάρτου διαγωγῆς
ἑδραιοῖς δονουμένην
τοῦ Ἀδὰμ τὴν οὐσίαν
πρὸς πίστεως ἔρεισμα.

Ὠδὴ δ'

Ὁ καθήμενος ἐπὶ ὤμων ἀχράντων δυνάμεων
ἐξέγειρόν σου τὴν δυναστείαν
καὶ τῇ πίστει με τείχισον
δορυούμενος προφοραῖν γλώττῃ μου, σῶτερ.
τοῦ δοξάζειν ἀπαύστως τὸ θεῖον ξύλον
ὕπερθεν ὑψούμενον.

Ὠδὴ ε'

Ὁ φωτίσας τὰ πρὶν ἐσκοτισμένα, Χριστέ.
καὶ ἀνατείλας ἥλιον θεογνωσίας ἐν τῷ κόσμῳ
διὰ σταυροῦ καὶ ταφῆς σου, ἀθάνατε,
τῆς ψυχῆς μου τὴν ἀχλὺν διασκέδασον
ἵνα ὀρθρίζων δοξάζω σε.

Ὠδὴ ς'

Ὁδὸν θαλάσσης ὁ προφήτης
διῆλθεν ποντοπορούμενος
καταποθεὶς δὲ εἰς βάθη
ἀβύσσου ἐβόα
πρὸς σέ, ἀναλλοίωτε,
ὁ διὰ πάθους σταυροῦ σου
ἐγείρας τὸ κέρας τῶν σῶν ἐκλεκτῶν
ἀναίαγαί με ἐκ βυθοῦ
κατωτάτου, μόνε φιλάνθρωπε.

Ὠδὴ ζ'

Ναμάτων θείων ἀρυσάμενοι παῖδες
πνεύματος δρόσον ἐπιχέας ὁ Λόγος
τοῦ ἀοράτου πατρὸς μυστικῶς ἐξικνεῖτο
τοῦ ξύλου τὸ κραταίωμα
δι' οὗ πηγάζει τὸ φῶς
εὐσεβῶν διανοίαις ὁ ὑπερένδοξος.

Ὠδὴ η'

Γηγενῶν ἐξ ἀσπόρου
τριαδικῇ συμφωνίᾳ [1]
ἑνούμενοι παῖδες Θεοῦ
τὴν ὑψηλοτάτην φλόγα
εἰς δρόσον μετέβαλον
μελῳδοῦντες ὑμνοῦντες
Πνεύματι στερρόμενοι
εὐλογεῖτε ἱερεῖς
καὶ πνεύματα δικαίων
τὸν διὰ σταυροῦ σωτηρίαν
τῷ κόσμῳ βραβεύοντα.

Ὠδὴ θ'

Ὡς Θεοῦ σε κιβωτὸν
προφητῶν ἀνεκήρυττε θίασος
καὶ παλάτιόν καὶ θρόνον
καὶ παράδεισον, Θεοτόκε,
ἐν ᾧ πεφυτούργηται
τὸ τῆς ζωῆς ἡμῶν ξύλον
Χριστὸς ὁ Θεὸς
τὴν κατάραν τοῦ Ἀδὰμ
ἀναστέλλων τῷ πάθει
ὃν μεγαλύνομεν.

Εἱρμὸς ἄλλος

Ἰησοῦν τὸν τῆς ζωῆς ἀρχηγὸν
καὶ σωτῆρα καὶ τόκον σου, ἄχραντε,
ἐπὶ ξύλου βλέπουσα κρεμάμενον
σὺν διάκρυσιν ἐβόας, ἀγαθή,
πρὸς τοὺς παρανόμους·
τοῦ Μωσέως ἡ ῥῆσις
σήμερον πεπλήρωται ἡ λέγουσα·
ὄψεσθε τὴν ζωὴν τῶν ἁπάντων
κρεμαμένην ἀπέναντι τῶν ὀφθαλμῶν ὑμῶν
καὶ οὐ μὴ πιστεύσητε·

(1) Οἱ Κώδ. τριάδικῆς συμφωνίας.

ἡμεῖς δὲ πιστεύοντες
προσκυνοῦντές σε μεγαλύνομεν.

156

ΕΙΣ ΤΗΝ ΥΠΑΠΑΝΤΗΝ

Ποίημα Γεωργίου Νικομηδείας

Α φ. 120α. Β φ. 149α

Ὠδὴ α'. Ἦχος δ'. Ὁ Εἱρμός.

Ὁ παράδοξα ποιήσας τέρατα
Κύριος ἐν χειρὶ Μωσαϊκῇ
χερσὶ πρεσβύτου σήμερον
ἀγκαλίζεται ὡς βρέφος ἐν ναῷ
αὐτῷ πιστῶς ἐκβοήσωμεν λαοί
ᾠδὴν ἐπινίκιον
ὅτι δεδόξασται.

Ὠδὴ γ'

Ἄννα ἡ πρὶν ἄγονος καὶ στείρα
ἐπαγγελίας ἔσχε καρπὸν τὸν Σαμουήλ·
νῦν δὲ προφῆτις Ἄννα
τῷ ναῷ ἐπιστᾶσα
ἀνθωμολογεῖτο τῷ δι' ἡμᾶς
νηπιάσαντι Θεῷ
καὶ πρεσβυτικαῖς ἀγκάλαις εἰσδεδεγμένῳ. [1]

Ὠδὴ δ'

Ὃν ὁ προφήτης Ἀββακοὺμ
προβλεπτικοῖς ὄμμασι
κατανοῶν ἐκήρυττε Θεὸν
ὁ πρεσβύτης σήμερον
ἐν τῷ ναῷ εἰσδέχεται βοῶν·
νῦν ἀπολύεις τὸν δοῦλόν σου
ἐν εἰρήνῃ κατὰ τὸ ῥῆμά σου.

Ὠδὴ ε'

Ἄνθρακα πυρὸς
τῇ λαβίδι δέχεται
ὁ Ἡσαΐας ποτὲ
τὰ χείλη καθηγιάμενος·
νῦν δὲ Παρθένος ἐν τῷ ναῷ
φέρουσα Θεὸν
σωματωθέντα δι' ἡμᾶς
ταῖς χερσὶν ὡς λαβίδι
τῷ πρεσβύτῃ ἐπιδίδωσιν
εἰρήνης τὸν αἴτιον
καὶ τοῦ φωτὸς χορηγόν.

Ὠδὴ ς'

Ἰωνᾶς ὁ προφήτης
ἐν τῇ κοιλίᾳ τοῦ κήτους
ἐκ θλίψεως ἐβόησεν·
ἡ κεφαλή μου ἔδυ
εἰς σχισμὰς ὀρέων, Κύριε,
ὁ δὲ πρεσβύτης Συμεὼν
ὑποδεξάμενός σε
χαρμονικῶς ἐκραύγαζε·
νῦν ἀπολύεις τὸν δοῦλόν σου
κατὰ τὸ ῥῆμά σου.

Ὠδὴ ζ'

Τοῦ Ἀβραὰμ οἱ ἀπόγονοι
Βαβυλώνιον φλόγα κατεπάτησαν
προτυποῦντες ἐν αὐτῇ
τῆς Παρθένου τὸ θαῦμα
ὃν Συμεὼν δεξάμενος
ἠγαλλιάσατο βοῶν·
νῦν ἀπολύεις τὸν δοῦλόν σου
ὁ τῶν πατέρων Θεός.

Ὠδὴ η'

Τὸν ἐπὶ θρόνου χερουβὶμ
ἐποχούμενον Θεὸν
καὶ ἑρορῶντα ταπεινὰ
ὁ Συμεὼν ὡς βρέφος
ταῖς ἀγκάλαις φέρει ἐν τῷ ναῷ
ὃν εὐλογοῦσι
τὰ ποιήματα πάντα εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Σοῦ τὴν πάναγνον καὶ ἄφθορον
μήτραν, Παρθένε Θεοτόκε,
ὁ Θεοῦ Θεὸς Λόγος
ἁγιάσας σῶαν ἐφύλαξεν
ἐξ αὐτῆς προελθών·
καὶ τεσσαρακονθήμερον βρέφος ὁραθεὶς
τῷ ναῷ προσάγεται ὡς νόμου ποιητὴς
καὶ τοῦ νόμου δοτήρ·
ὃν μεγαλύνομεν.

(1) Οἱ Κώδ. εἰσδεγμένῳ.

157

ΕΙΣ ΤΟΥΣ ΑΣΩΜΑΤΟΥΣ

Ποίημα Κυπριανοῦ μοναχοῦ

Α φ. 121α. Β φ. 140α

Ὠδὴ α'. Ἦχος δ'. Ὁ Εἱρμός.

Τῷ τερατουργήσαντι
ὑψηλῷ βραχίονι Θεῷ
ἐν θαλάσσῃ Ἐρυθρᾷ
τῇ ἀγγελικῇ προοδοποιήσει
καὶ σώσαντι τὸν Ἰσραὴλ
ἐν τῷ τέρματι τῆς ἀβύσσου
καὶ τῶν ἱππιλατῶν
συνδήσαντι τοὺς ἄξονας
καὶ ἄρδην τούτους ὑποβρυχίσαντι
τὸν ἐπινίκιον ἵμνον ἄσωμεν αὐτῷ
ὅτι δεδόξασται.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

Ὠδὴ β'

Ὁ λαὸς προσέχετε
τῇ συγκαταβάσει τοῦ Θεοῦ
κλίνατε τὸ οὖς ὑμῶν
εἰς τὰ ῥήματα αὐτοῦ
ὅτι αὐτὸς κατῆλθε
τοῦ ἀνακαλέσασθαι τὸ βρότειον γένος
ἐκ τῆς ἄδου ἐν μέσῳ
τῆς παμφίγου γαστρὸς τοῦ ἅδου
καὶ συγκροτεῖ Ἀδὰμ
τῷ θεοπάτορι Δαυίδ.

Εἱρμὸς ἄλλος

Ἴδετε ἴδετε τὰ μεγαλεῖά μου
ὅτι ἐθνῶν ὄρια ἔστησα
κατὰ ἀριθμὸν ἀγγέλων
ὡς οὐρανοῦ καὶ γῆς
καὶ τῶν ὅλων ποιητὴς
ἐκ πάσης ὄψως πνοῆς
δοξάζηταί μου τὸ ὄνομα.

Ὠδὴ γ'

Ὕψιστε σωτὴρ τῶν δυνάμεων
τὴν σαλευομένην ψυχήν μου
στερέωσον εἰς τὸ θέλημά σου
ἵνα καγὼ δοξάζω σου
σὺν ἀσωμάτοις τὴν θείαν εὐπρέπειαν.

Εἱρμὸς ἄλλος

Ὁ τὴν γῆν κρεμάσας ἐν ὕδασι
καὶ οὐρανοὺς ἐν συνέσει
μετεωρίσας, Κύριε,
τοὺς καθαρῶς ἀνυμνοῦντάς σε στερέωσον.

Ὠδὴ δ'

Σὲ τὸν ἀνατείλαντα ἐξ ἀπειράνδρου μητρὸς
ὁ προφήτης Ἀββακοὺμ
προϊδὼν ἀνεβόα·
ἐπ' ἐσχάτων τῶν χρόνων
τοῦ σῶσαι τοὺς χριστούς σου ἐλήλυθας
δόξα τῇ δυνάμει σου, Κύριε.

Ὠδὴ ε'

Ἱερᾶς χρηστότητος
ὁ Ἡσαΐας λαμπόμενος
τὸν ἐπὶ θρόνου χερουβὶμ ἐθεάσατο
καὶ ἀγγέλων ὁρῶν στρατεύματα
κύκλῳ ἑστῶτα σπουδῇ ἀνεβόα·
ῥήσει τοῦ Πνεύματος
ἐκ νυκτὸς ἀνέτειλε
πάλαι τῆς φθορᾶς
εἰς τὰ πέρατα κόσμου
ἄδυτος ἥλιος.

Ὠδὴ ς'

Τὸν ἐναλίων θρῆνον, Χριστέ,
Ἰωνᾶ ἐκμιμούμενος κράζω σοι·
τὴν ζωήν μου ἐξ ἅδου
πταισμάτων ἀνάγαγε
ἵνα ἐν τῷ ναῷ τῆς δόξης σου
μετὰ φρονῆς αἰνέσεως θύσω σοι.

Ὠδὴ ζ'

Σὲ ζοηγαρρόῳ ἁγιασμοῦ ἁγιάσματι φλὸξ
νέους τρεῖς διέσωσε, Κύριε,
ὡς καὶ τὴν Ἰωσήφ·
οὐ κατέφλεξε κόρην
ἐν τῷ θείῳ τόκῳ σου·
ὁ θεῖος σπιγθὴρ, ὑπερμύνητε.

Εἱρμὸς ἄλλος

Σὲ τὸν ἐν μορφῇ θεότητος
ἀπαραλλάκτως τοῦ πατρὸς υἱὸν ὑπάρχοντα,
τὸν ἐν καμίνῳ τοῖς παισὶ συμβολικῶς
[ὀρθέντα
καὶ τὴν φλόγα εἰς δρόσον μεταποιήσαντα
εὐσεβῶς ἀνυμνοῦμεν
εὐλογητὸς εἶ κραίζοντες
ὁ τῶν πατέρων Κύριος.

Ὠδὴ η'

Τοὺς ἐπιβάτας ἐν ᾠδαῖς
παρανόμου τυράννου προστάγματι
παῖδας μιμούμενοι
ἀσιγήτοις χείλεσι
τῷ ἐν ὑψίστοις αἰνετῷ
ἐκβοήσωμεν· ἀγαθέ,
ὑπερρυῶς ὑπάρχων παναγίος
τοὺς ὑμνοῦντάς σε φέγγει
τῷ νοητῷ σου κατεύγασον.

Εἱρμὸς ἄλλος

Ὃν δοξάζει χερουβὶμ
ἀσωμάτων αἱ τάξεις
καὶ πᾶσα φύσις ὁρατῶν
οἱ ἀχράντων παῖδες
ὑμνολογοῦντες ἔβδομον φάλλοντες·
εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον
τὸν δημιουργήσαντα
ἀῤῥήτῳ λόγῳ τὰ σύμπαντα.

Ὠδὴ θ'

Ἐν σοί, Θεοτόκε,
τὸ ἡμέτερον ἥττημα πέφανται·
τὸν γὰρ ἄῤῥατον Λόγον
ἐν σπλάγχνοις δεξαμένη
διπλοῦν αὐτὸν τέτοκας
Θεὸν ὁμοῦ καὶ ἄνθρωπον
ᾧ τὰ χερουβὶμ ἀτενίσαι οὐ τολμᾷ·
μεγαλύνομεν ὅθεν σε, πάναγνε.

Εἱρμὸς ἄλλος

Σὺ χωρίον εὐρύχωρον
γέγονας μήτηρ Θεοῦ·
ἐδέξω γὰρ ἐν τῇ σῇ νηδύϊ
τὸν ἀχώρητον Θεὸν·
καὶ ἀστενοχωρήτως
ἐνώκισας ἐν σοί,
εὐλογημένη νύμφη ἀνύμφευτε.

158

ΕΙΣ ΓΡΗΓΟΡΙΟΝ ΤΟΝ ΘΑΥΜΑΤΟΥΡΓΟΝ

Ποίημα Γεωργίου Σικελιώτου

Β φ. 141β

Ὠδὴ α'. Ἦχος δ'. Ὁ Εἱρμός.

Ῥήσας διάῤῥοον ῥύσιν ὑδάτων, ἀγαθέ,
θεοπρεπῶς ὁδοποίησας τρίβον
ἐκάλυψας δὲ ἰσχὺν ὑπέροπλον
διαγαγὼν πεζεύοντα πέλαγος
Ἰσραηλίτην λαὸν
ὠδὴν ἀναμέλποντα τὴν ἐπινίκιον.

Ὠδὴ γ'

Ῥήματι ὁ φέρων τὰ σύμπαντα
τῇ σῇ ἰσχύϊ καὶ οἰκονομίῳ
ἐν σοφίᾳ καὶ κρίσει χρηστότητος
ἐν τῇ πέτρᾳ με τῶν ἐντολῶν σου,
σῶτερ, στερέωσον.

Ὠδὴ δ'

Μόνος φύσει ἅγιος εἶ καὶ ἀγαθὸς
τῆς πατρώας δόξης ἀπαύγασμα
ὁ βουλήσει πτωχεύσας σαρκὶ
ἵνα ἐγὼ πλουτήσω θεότητι
καὶ νικήσω τὴν φθορὰν
ἀφθαρσίας χρηστῆς ὡραιότητι·
θαυμαστὰ τὰ ἔργα σου, Λόγε Θεοῦ,
καὶ πλήρη τὰ σύμπαντα τῆς σῆς αἰνέσεως.

Ὠδὴ ε'

Σὺν τῷ προφήτῃ ἐκ νυκτὸς ὀρθρίζομεν
ὁ Θεὸς τῆς εἰρήνης
πρὸς τὴν σὴν ἀνέσπερον ἀγαθότητα
ὅπως παρὰ σοί, πηγὴ ζωῆς,
ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Ὠδὴ ς'

Ἰησοῦ βασιλεῦ τῶν δυνάμεων
τὴν καταποθεῖσάν μου ψυχὴν
ὡς θηρὶ κατωτάτῳ τοῖς πάθεσι
τῆς φθορᾶς ἀναγαγὼν
ἀπαθείᾳ τῇ σῇ περιποίησαι·
πρὸς σὲ γάρ, παντοδύναμε,
ἐβόησα ἐν θλίψει μου.

Ὠδὴ ζ'

Θεολόγων παίδων τῷ στερρῷ
προσιπῆξεν ἡ φύσις καὶ μετεβάλλετο·
οὐ γὰρ φλέγειν εἶχεν εὐσεβεῖς

ἀλλ' ἀῤῥήτως δροσίζειν
ὡς διασῳζόντι πνεύματι
τὸν αἰνετὸν τῶν πατέρων
ἀνυμνούντων Θεόν.

Ὠδὴ η'

Ἰνδαλμα κενὸν καὶ ἄπνουν οἱ θεοσεβεῖ.
παραδειγματίσαντες παῖδες ἐν Βαβυλῶνι
ὡς ὕβρεων ἄξιον
ἐδροσίζοντο ἐν καμίνῳ
ὕμνον τῷ ζῶντι Θεῷ
μελῳδοῦντες ἐν εὐφροσύνῃ·
πᾶσα ἡ κτίσις εὐλογείτω
ὑμνοῦσα τὸν Κύριον.

Ὠδὴ θ'

Ῥητόρων τὸ τῆς γλώττης εὔστροφον καὶ πο-
[λύφθογγον
ἐπὶ σοὶ ἀμήχανον
καθορᾶται, Θεόνυμφε·
παρθενία γὰρ τόκῳ ὡμίλησε
καὶ σὰρξ κατηλλάγη θεότητι
ἐν σοὶ τοῦ Λόγου σκηνώσαντος ὑπὲρ
[ἔννοιαν·
ὅθεν σοι πόθῳ πᾶσαι γενεαὶ
μακαρίζομεν τὰ μεγαλεῖά σου.

159

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΝΙΚΟΛΑΟΝ

Β φ. 142β

Ὠδὴ α'. Ἦχος δ'. Ὁ Εἱρμός.

Ἄσωμεν ἆσμα καινὸν
τῷ λυτρωτῇ καὶ Θεῷ ἡμῶν
τῷ Φαραὼ πανστρατιᾷ
βυθῷ καλύψαντι
καὶ τῷ λαὸν τοῦ Ἰσραὴλ
ἀβρόχοις ἴχνεσι καθοδηγήσαντι!
ὅτι ἐνδόξως εἰς τοὺς αἰῶνας δεδόξασται.

Ὠδὴ γ'

Χρανθεῖσαν τοῖς πάθεσι τὴν ψυχήν μου,
ἐκκάθαρον, Κύριε,
καὶ καρποὺς μετανοίας
σοὶ προσφέρειν καταξίωσον
ὅτι οὐκ ἔστι Θεὸς ἄλλος
πλὴν σου, εὐσπλαγχνε.

Ὠδὴ δ'

Εἰσακήκοα τὴν ἀκοήν σου,
εὐσπλαγχνε σωτήρ,
ὅτι ἐξ ὄρους παρθενικοῦ
προῆλθες ἀναλλοιώτως
καὶ ἐδόξασά σου τὴν συγκατάβασιν.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

'Ωδὴ ε'

Ὄρθρον φαεινὸν ἡμῖν
ἐξανάτειλον, Χριστέ,
καὶ φώτισον ὄμματα
νοητῶς τῆς καρδίας μου
ὅτι ἐκτός σου Θεὸν ἄλλον οὐ γινώσκομεν.

'Ωδὴ ϛ'

Ἄβυσσός με ἐσχάτη
ἁμαρτημάτων ἐκύκλωσε
καὶ ζάλη ἀπογνώσεως
ἀλλ' ὡς ποτὲ τὸν Ἰωνᾶν
ἐκ τοῦ θηρὸς διέσωσας
οὕτω κἀμὲ συντήρησον
τῇ παναγάθῳ εὐσπλαγχνίᾳ καὶ δυνά-
[μει σου.

'Ωδὴ ζ'

Φερέσβιοι παῖδες οἱ τρεῖς
τῇ συγκαταβάσει τοῦ ἀγγέλου
ἐν τῇ καμίνῳ δροσιζόμενοι ἐκραύγαζον·
ὕψιστε Λόγε, εὐλογητὸς εἶ.

'Ωδὴ η'

Ἐν καμίνῳ ὡς ἐν θαλάμῳ
ἑστῶτες οἱ θεολόγοι παῖδες
προθύμως ἔψαλλον·
εὐλογεῖτε τὰ ἔργα πάντα τὸν Κύριον
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

'Ωδὴ θ'

Μυστικῶς ἐν ὄρει πάλαι Σινᾶ
ἡ βάτος καὶ τὸ πῦρ ἔδειξε τέρας
τῆς σῆς κυοφορίας τὸ παράδοξον,
Θεοτόκε, μυστήριον·
σὺ γὰρ μόνη τεκοῦσα τὸν ἀναλλοίωτον
ὑπερφυῶς Θεὸν ἡμῶν
τὴν οὐράνιόν σου μήτραν
οὐ κατεφλέχθης τὸ σύνολον
διὸ ἀγγέλων ταξιαρχίαι
καὶ βροτῶν γενεαί σε μεγαλύνομεν.

160

ΕΙΣ ΤΟΥΣ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑΣ ΕΥΣΤΡΑΤΙΟΝ ΚΑΙ ΔΗΜΗΤΡΙΟΝ

Β φ. 143β

'Ωδὴ α'. Ἦχος δ'. Ὁ Εἱρμός.

* Ὁ ῥάβδῳ τμήξας θάλασσαν
κυματοτρόφον ἁλμυρὰν
καὶ δι' αὐτῆς ὁδηγήσας
φυγάδα λαὸν Ἰσραηλίτην
ὡς Θεὸς ἐξέγειρον τὴν δυναστείαν σου
καὶ σπεῦσον εἰς τὸ σῶσαι ἡμᾶς
ὅτι τὸ ὄνομά σου δεδόξασται.

'Ωδὴ β'

Ἀκουτίσθητι θείων ῥημάτων οὐρανὲ
καὶ ἐνωτίζου ἡ γῆ ἀρρήτων λόγων·
ὡς ὄμβρος γὰρ ἐπ' ἄγρωστιν
καὶ ὡσεὶ νιφετὸς ἐπὶ χόρτον
οὕτω Θεὸς ὀφθήσεται
ἐκ κόρης ἀπειράνδρου
ὡς βροτὸς σαρκωθησόμενος.

'Ωδὴ γ'

Τῷ τὴν γῆν ἑδράσαντι ἐπὶ ὑδάτων ὡς
[Θεῷ
καὶ οὐρανοὺς ἐν συνέσει στερεώσαντι
τῷ θυρεοὺς συντρίψαντι
καὶ τόξα θραύσαντι ἐχθρῶν
σοὶ ὡς ἡ προφῆτις Ἄννα,
λυτρωτά, ἐκβοῶμεν·
στερέωσον ἡμᾶς εἰς τὸν φόβον σου.

'Ωδὴ δ'

Συμβολικῶς προέφησεν
ὁ θεηγόρος Ἀββακοὺμ
ἀπὸ Θαιμάν σε ἥξειν
καὶ ὄρους δασέος
τὸ τοῦ πατρὸς ἀπαύγασμα·
ἦλθες γάρ, Χριστέ,
τεχθεὶς ἐκ κόρης Παρθένου
καὶ πληρώσας τὰ σύμπαντα τῆς σῆς αἰ-
[νέσεως
δόξα τῇ ἀφάτῳ σαρκώσει.

'Ωδὴ ε'

Ἄνθρακα πυρὸς ὁ Ἡσαΐας πάλαι
τοῖς χείλεσι δεξάμενος ἐβόα
καθαρθεὶς σεραφικῶς τῇ λαβίδι·
δικαιοσύνην μάθετε
οἱ ἐνοικοῦντες τὴν γῆν.

'Ωδὴ ϛ'

Κλύδων με θαλάττιος, σῶτερ,
κατεπανέστη τῶν ἐμῶν πταισμάτων
καὶ πειρᾶται βυθίζειν·
ἀλλ' ὡς ποτὲ τὸν Ἰωνᾶν διέσωσας
γαστρός, εὐεργέτα, κητώας
κἀμὲ ζάλης ἐλευθέρωσον
τῶν ἀμέτρων κακῶν μου
ἵνα προσθήσω τοῦ ἐπιβλέψαι με
πρὸς ναὸν τὸν ἅγιόν σου.

'Ωδὴ ζ'

Οἱ Ἀβραὰμ ἀπόγονοι παῖδες
νόμῳ θείῳ τεθραμμένοι
χρυσοτεύκτῳ εἰκόνι
σέβας προσάξαι οὐχ εἵλοντο
ἀλλ' εἰς παφλάζουσαν φλόγα
γενναίως ἐμβληθέντες
ἐν μέσῳ αὐτῆς ἔψαλλον·
εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύρ

ἱερεῖς καὶ δοῦλοι
καὶ πνεύματα δικαίων
ὡς παντουργὸν καὶ κτίστην
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

'Ωδὴ θ'

Κίνει Δαυὶδ τὴν λύραν μελῳδικῶς
ἀναβοῶν τῇ Θεομήτορι Παρθένῳ·
ἀπενεχθήσονται, λέγων, τῷ βασιλεῖ
παρθένοι ὀπίσω αὐτῆς
τὸ ἀκηλίδωτον αὐτῆς
πρόσωπον φαίνων τρανῶς
καὶ σὺν ἡμῖν τὴν ἄχραντον
κύησιν ταύτης μεγαλύνων.

161

ΕΙΣ ΤΑ ΑΓΙΑ ΘΕΟΦΑΝΕΙΑ
Ποίημα Ἀνδρέου Κρήτης

Β φ. 145α

'Ωδὴ α'. Ἦχος δ'. Ὁ Εἱρμός.

* Δωδεκάτμητον πέλαγος
μωσαϊκῇ βακτηρίᾳ
θαυματουργία Θεοῦ διῆλθεν·
ἐν αὐτῷ γὰρ τὸν Ἰσραὴλ
ἀβρόχοις ποσὶ διεβίβασε
φωταγωγῶν ἐν στύλῳ πυρὸς καὶ νεφέλης·
ἵππους δὲ καὶ ἀναβάτας τριστάτας
Φαραὼ τοῦ ἀλάστορος
ἐν αὐτῷ ἐκάλυψε·
τὸν δὲ Ἰσραὴλ τερατουργοῦντα
θεώμενος Θεῷ ἀνέμελπε·
τῷ Κυρίῳ ἄσωμεν
ἐνδόξως γὰρ δεδόξασται.

Εἱρμὸς ἄλλος

Ἄσωμεν τῷ Θεῷ
τῷ διὰ σπλάγχνα οἰκτιρμῶν
ἐν Ἰορδάνου τοῖς ῥείθροις βαπτισθέντι
καὶ συντρίψαντι τὰς κάρας τῶν δρακόντων
ὅτι δεδόξασται.

'Ωδὴ β'

Ἰδὼν οὐ παριδὼν ὀλλύμενον
τὸ γένος τῶν ἀνθρώπων
οὐρανοὺς ἔκλινας
καὶ κατῆλθες ἐπὶ γῆς
γενόμενος βροτός, φιλάνθρωπε,
ἀπέστησάς με τῆς ἁμαρτίας
ἑνώσας με τῇ ἀφθαρσίᾳ·
διὸ πιστοὶ συνελθόντες
μεγαλοπρεπῶς σε ἀεὶ δοξάζομεν.

'Ωδὴ γ'

Βασιλεῦ τῆς εἰρήνης
ἐπουράνιε δυνατέ,
πρὸς σὲ καταφεύγομεν
πρὶν καταλάβῃ ὁ ἐχθρὸς
τοῦ ἀπολέσαι ἡμᾶς·
τὴν ὀργὴν κατάβαλε
καὶ ἡμᾶς στερέωσον
κράζοντάς σοι, Κύριε,
τὸν τρισάγιον ὕμνον·
ἅγιος ὁ Θεὸς
ὁ ὑπ' ἀγγέλων ὑμνούμενος·
ἅγιος ἰσχυρὸς
ὁ λυτρούμενος ἡμᾶς ἐκ φθορᾶς
ἅγιος ἀθάνατος
ἐλέησον κόσμον κινδυνεύοντα
καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

Εἱρμὸς ἄλλος

Ἐξ ἀλύτων δεσμῶν τῆς ἁμαρτίας
λυομένη, ψυχή μου, διὰ τοῦ βαπτίσματο
λέξον καὶ αὐτὴ μετὰ Ἄννης τῆς προφήτιδο
ἐστερεώθη ἡ καρδία μου
ἐν Κυρίῳ τῷ σωτῆρί μου
ὅτι ἐξείλετό με ἐκ τῶν καταχθονίω
τῆς πανωλέθρου ἁμαρτίας.

'Ωδὴ δ'

Ὁ ποταμὸς τοῦ Θεοῦ ἐπληρώθη ὑδάτω
ἡ ἐκκλησία Χριστοῦ τῶν πνευματικῶν χαρ
[σμάτων
τῆς γὰρ θείας οἰκονομίας τὸ μυστήριο
νοητῶς ἐν εὐφροσύνῃ
καὶ ἑορτάζουσα μέλπει ἀεί·
ἀναπαύσομαι ἐν ἡμέρᾳ θλίψεώς μου
ὅτι Κύριος ὁ Θεὸς δύναμίς μου
καὶ ἐν αὐτῷ χαρήσομαι.

'Ωδὴ ε'

Τὸν παλαιὸν ἄνθρωπον
ἀνακαινίζων ὁ σωτὴρ
ἐπὶ τὸ βάπτισμα ἔρχεται
ἵνα τὴν φθαρεῖσαν φύσιν
δι' ὕδατος ἀνακαινίσῃ
ἔνδυμα ἀφθαρσίας
μεταμφιέσει ἡμᾶς.

'Ωδὴ ϛ'

Τὴν κεφαλὴν τοῦ δράκοντος
ὁ Χριστὸς συνέτριψεν
ἐν Ἰορδάνῃ ποταμῷ
καὶ πάντας ἐρρύσατο
ἐκ τῆς τοῦ ἅδου φθορᾶς.

'Ωδὴ ζ'

Ἐξήπτετο τυραννικῆς προστάξεως
φλὸξ ἑπταπλασίως
ἐκκαυθείσης καμίνου

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

ἐμαραίνετο δὲ σβεννυμένη τῇ λιπαρᾷ
τῶν ὁσίων παίδων σὺν δάκρυσι
προσευχῇ κεκραγότων·
ὁ Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄

Πυρὸς τοῦ δοκιμαστικοῦ
λαβοῦσι τὰ γνωρίσματα τῶν παίδων
τῆς καμίνου φλὸξ ἡ Βαβυλώνιος
τοὺς δικαίους ἐδρόσιζεν
ἀσεβοῦντας κατέφλεγε
καὶ ὕμνον ἠδέσθη δὲ
θεῖον ἐκφωνούμενον·
εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Εἱρμὸς ἄλλος

Χριστὸν τὸν Θεὸν ἡμῶν
τὸν ἐπιφανέντα καὶ ἁγιάσαντα
τῶν ὑδάτων τὴν φύσιν
ὑμνεῖτε καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ΄

Ξένον ἐν σοί, ἁγία, ἐπράχθη
καὶ παράδοξον μυστήριον·
ὃν γὰρ οὐρανὸς οὐκ ἐχώρει
ἐν τῇ σῇ γαστρὶ
ἀστενοχωρήτως ἐχωρήθη
καὶ ὁ κατακριθεὶς θανάτῳ
τῇ παραβάσει Ἀδὰμ
διὰ τοῦ τόκου σου ἐκαινοποιήθη·
διὸ πάντες ἀξίως σε μεγαλύνομεν.

Εἱρμὸς ἄλλος

Τὸν συναΐδιον τῷ πατρὶ
προαιώνιον Λόγον
βαπτιζόμενον Ἰορδάνου τοῖς ῥείθροις
τάξεις ἀγγέλων μεγαλύνουσιν.

162

ΕΙΣ ΓΡΗΓΟΡΙΟΝ ΤΟΝ ΘΕΟΛΟΓΟΝ

Ποίημα Γεωργίου Σικελιώτου

Β φ. 146β

Ὠδὴ α΄. Ἦχος δ΄. Ὁ Εἱρμός.

* Ἐγηγθὼς ἀόπλως Ἰσραὴλ
τὴν Ἐρυθρὰν διώδευσε ποτὲ
καὶ ζωαρχικῇ παλάμῃ πανστρατὶ
τὸν Φαραὼ ποντούμενον ὁρῶν
ἐπινίκιον ἄσμα ἀνεβόα
Κυρίῳ τῷ Θεῷ ἡμῶν
ὅτι δεδόξασται.

Ὠδὴ γ΄

Θεμέλιος ἀρραγὴς
ἐλπίδος καὶ πίστεως, σωτήρ, ὑπάρχων
στερέωσον ἡμᾶς εἰς τὸ θέλημά σου
τοὺς σὲ ὑμνοῦντας.

Ὠδὴ δ΄

Ἐπὶ σταυροῦ σου ἤρθης, ἀγαθέ,
καὶ ἐτάκησαν δυνοὶ αἰώνιοι
καὶ αἱ πορεῖαι τῶν ἐθνῶν
τῆς σῆς κληρονομίας·
διὸ καυχώμεθα φάλλοντες
δόξα τῇ δυνάμει σου, Κύριε.

Ὠδὴ ε΄

Γῆ τῶν ἀσεβῶν πεσεῖται
ὡς φησὶν Ἡσαΐας
τῷ κάλλει τοῦ σοῦ προσώπου μὴ προ-
σιέντων.
ἡμεῖς δὲ πατρικῆς εὐδοκίας
ἄσκιον λαμπάδα θεώμενοί σε, Χριστέ,
ἐκ νυκτὸς ὀρθριζοντες
ὑμνοῦμέν σε τὰ μεγαλεῖά σου.

Ὠδὴ ς΄

Μανθάνομεν παῖδες τῆς ἁμαρτίας μου
εἰς βυθὸν καθέλκει με
ἐνθλον ἀπογνώσεως
ἀλλ' ὡς ποτὲ τὸν Ἰωνᾶν τὸν ἐναλίορθρον
βυθοῦ ἀνέβιβας, Χριστέ,
καμὲ ἀγαλλόμενα
σὲ δοξολογεῖν ἐν τῷ γαῷ τῆς δόξης σου.

Ὠδὴ ζ΄

Ὑπηρετοῦντας Χαλδαίους
ἡ φλὸξ ἐνέπρησε ποτὲ ἐν Βαβυλῶνι
τοῖς παισὶ δὲ δρόσος ἐγίνετο
παραδόξῳ δυνάμει
ἀγγέλου ἐπιστασίᾳ·
ὅθεν ἔψαλλον λέγοντες·
τῶν πατέρων ὁ Θεὸς
εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας.

Ὠδὴ η΄

Διεκβεβηκότες φύσεως ὅρους
ἄμωμοι παῖδες ἐν φλογὶ
βληθέντες ἀχμάλωτοι
ῥήσεις τάξεων ἄλλων
ἤμελπον τῷ Θεῷ·
εὐλογεῖτε τὰ ἔργα τὸν Κύριον.

Ὠδὴ θ΄

Τὸ ἀκατάληπτον τῆς λοχείας σου,
Θεοτόκε Παρθένε,
καὶ ἀνερμήνευτον τῆς ἀγνείας σου
τὸ ἀγγέλοις ὂν ἀσύγκριτον
ἀνθρώποις πῶς εὐδιάληπτον ;
παρθενεύεις μετὰ τόκου·
Θεὸν γὰρ τέτοκας ἔναυρον·
σὺν τοῦτον ἀνέπαυσας
συνελθόντες καὶ σὲ μεγαλύνομεν.

Ὠδὴ ζ΄

Λίχμαλώτους ἐν φλογὶ παῖδας δρο
ὡς νεκρὸς ἐκούσιος σκιρτεύεις
τῷ σφῶν δὲ πυρὶ τοὺς Χαλδαίους ἐκτο
ὁ φύλακας καὶ νῦν
διασείσας φόβῳ, ἄναρχε,
ὁ τῶν πατέρων Κύριος
μόνος εὐλογητὸς εἶ.

Ὠδὴ η΄

Ἄσμα καινὸν ἄσωμεν λαοὶ
τῷ καταβάντι ἐπὶ γῆς
τοῦ σῶσαι ἡμᾶς·
βουλήσει γὰρ τῷ σταυρῷ
προσηλώθη ὁ Κύριος
γνωρίσαι τοῖς ἔθνεσιν
ὅτι διὰ τὸν Ἀδὰμ
δούλου σχῆμα ἐνεδύσατο
ὁ ἐν ὑψίστοις οἰκῶν εἰς τοὺς αἰῶν

Ὠδὴ θ΄

Ὡς Θεοῦ σε κιβωτὸν
προφητῶν ἀνεκήρυττον . .
. . . . . .
. . . . . .

163

[ΑΝΑΣΤΑΣΙΜΟΣ]

Ποίημα Στεφάνου μοναχοῦ τοῦ Σαββαΐτου

Β φ. 150α

Ὠδὴ α΄. Ἦχος δ΄. Ὁ Εἱρμός.

* Τῷ θαυμαστὰ ἐνδόξως
ποιοῦντι τέρατα
ἄσμα ἀναπέμψωμεν
συμφώνως ὅτι ἐρρύσατο ἡμᾶς
τοῦ δολεροῦ καὶ κρυπτοῦ Φαραὼ
ὡς πάλαι τὸν Ἰσραὴλ
ἐν θαλάσσῃ Ἐρυθρᾷ
ὅτι μόνος ἐνδόξως δεδόξασται.

Ὠδὴ γ΄

Λότε λαοὶ μεγαλωσύνην
Χριστῷ τῷ Θεῷ ἡμῶν
τῷ θανατώσαντι τὸν θάνατον
καὶ ἀναστάντι ἐν δόξῃ
μετὰ ἰσχύος καὶ δυνάμεως.

Ὠδὴ δ΄

Μεγαλοπρεπῶς οἱ ἐπὶ γῆς
ἀνυμνοῦμέν σε, Χριστὲ ὁ Θεός,
ὅτι ὕψωσας τὸ κέρας ἡμῶν
διὰ σταυροῦ σοῦ καὶ ἰσχὺν ἔθραυσας
ὑπερηφάνων τῷ σῷ βραχίονι·
οὐ γὰρ ἔστι πλήν σου
Θεός, ὑπεράγαθε.

Ὠδὴ ε΄

Ὠκειώσω τὴν ἐξ ἐθνῶν
παγκληρίαν τῷ πάθει σου
τῷ γεννήτορι, Λόγε, διὰ σταυροῦ σου
μακροθύμως φέρων, Χριστέ,
δύναμιν ἐξ ὕψους
παρεχόμενος τοῖς σὲ δοξάζουσιν.

Εἱρμὸς ἄλλος

Θαμβήσει ἐστιλβοῦτο ὁ ἀὴρ
αἵμασιν ἐπορφύρετο ἡ γῆ
σοῦ παθόντος καὶ ταφῇ δοθέντος
καὶ σύνδεσμός εἰρήνης ἐπλέκετο
τοῖς ἠγαπημένοις μαθηταῖς
αὐτὸς φανεὶς ὄρθρος
ἀποστόλοις ἀνέσπερος.

Ὠδὴ ς΄

Ἀπαύγασμα δόξης ὑπάρχον
καὶ χαρακτὴρ τοῦ ἀοράτου πατρὸς
ἐκὼν ἐτέθης ἐν τάρῳ σαρκὶ
ὡς Ἰωνᾶς ἐν κήτει τριημερεύσας
ἐν τῇ τῆς γῆς καρδίᾳ
ἐκ φθορᾶς ἡμᾶς ῥυσάμενος.

164

ΑΚΟΛΟΥΘΙΑ ΣΙΝΑΪΤΙΚΗ

Β φ. 151β

Ὠδὴ α΄. Ἦχος δ΄. Ὁ Εἱρμός.

* Τῷ ποιήσαντι θαυμάσια ἐν Αἰγύπτ
ἄσωμεν Χριστῷ·
ὑγρὰν γὰρ καὶ ἄστατον
οὐσίαν ὑδάτων πήξας
διὰ ξηρᾶς ὡδήγησε
τὸν λαὸν τοῦ Ἰσραὴλ
καὶ Φαραὼ σὺν ὁπλίταις
βυθῷ κατεπόντισεν.

Ὠδὴ γ΄

Κύριε, ὁ στερεώσας οὐρανοὺς κατ' ἀρχὰ
καὶ ἐπὶ ὑδάτων ἑδράσας τὴν γῆν
καμὲ τὸν ἀνάξιον στερέωσον
πρὸς σὴν δοξολογίαν.

Ὠδὴ δ΄

Προκατιδὼν ὁ προφήτης
τῆς ἐπ' ἐσχάτων σου οἰκονομίας τὸ μυστήριον
ὅτι μέλλεις ἐκ Παρθένου τίκτεσθαι
καὶ ἀνθρώποις συναναστρέφεσθαι
ἐξῆλθες ἐβόα σοι
εἰς σωτηρίαν τοῦ λαοῦ σου,
μόνε φιλάνθρωπε.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

'Ωδὴ ε'

Τὸ φῶς σου ,Κύριε,
καὶ τὴν ἀλήθειάν σου καταύγασον,
ὁ ἥλιος τῆς δικαιοσύνης,
ταῖς καρδίαις τῶν ὑμνούντων
τὴν σὴν ἀγαθότητα.

'Ωδὴ ϛ'

Ἄβυσσός με πλημμελημάτων
ἐσχάτη ἐκύκλωσεν·
ἀλλ' ὡς τὸν προφήτην Ἰωνᾶν
ἀνάγαγέ με, φιλάνθρωπε,
ἐκ φθορᾶς ὁ Θεός μου καὶ σῶσόν με.

'Ωδὴ ζ'

Τρεῖς παῖδες θεάρεστοι
τὸ ἀθεώτατον πρόσταγμα ἔλυσαν
καὶ μέσον τῆς φλογὸς ἐν Βαβυλῶνι
ἀνέμελπον τρισσῶς
τὸν τρισάγιον ὕμνον·
ὑπερύμνητε Κύριε, εὐλογητὸς εἶ.

'Ωδὴ η'

Τῆς Σιὼν αἰχμάλωτοι ἐν Βαβυλῶνι
ἔνθεον ὕμνον κατεκρότησαν
χορεύοντες καὶ οὕτω κραυγάζοντες
μέσον καμίνου·
εὐλογεῖτε ὑμνεῖτε
πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

'Ωδὴ θ'

Τρία μυστήρια φρικτὰ
ἐν σοὶ ὁρῶν, Θεοτόκε,
σύλληψιν ἄνευ σπορᾶς
καὶ ἀλόχευτον γονὴν
παρθενίαν μετὰ τόκον,
μεγαλύνω σε.

165

ΑΚΟΛΟΥΘΙΑ ΣΙΝΑΪΤΙΚΗ

Β φ. 152α

'Ωδὴ α'. Ἦχος δ'. Ὁ Εἱρμός.

* Τῷ διὰ στύλου πυρὸς
ὁδηγήσαντι τὸν Ἰσραὴλ
καὶ ἐξ ἀκροτόμου πέτρας
πηγάσαντι ὕδωρ
αὐτῷ μόνῳ ἄσωμεν
ὅτι δεδόξασται.

'Ωδὴ γ'

Ὁ στερεώσας οὐρανοὺς ἐν συνέσει
καὶ τὰ τῆς ξηρᾶς θεμέλια πήξας
καὶ ἀνάγων ἐκ μὴ ὄντων,
Χριστέ μου, στερέωσόν με.

'Ωδὴ δ'

Ἐν τῷ ἐγγίζειν τὰ ἔτη
ἐπεγνώσθης, υἱὲ τοῦ Θεοῦ,
ἐκ τῆς Παρθένου σάρκα προσλαβὼν
εἰς σωτηρίαν ἡμῶν δόξα σοι.

'Ωδὴ ε'

Ἐκ νυκτὸς ὀρθριζόντες
ὑμνοῦμέν σε, Χριστὲ ὁ Θεός,
τῶν πταισμάτων ἡμῶν τὴν συγχώρησιν
δώρησαι αἰτούμενοι ὡς φιλάνθρωπος.

'Ωδὴ ϛ'

Τὴν τριήμερον ταφὴν
καὶ τὴν φρικτὴν ἀνάστασιν
ἐν τῷ κήτει προτυπῶν
ὁ Ἰωνᾶς ἐβόα σοι·
ἐκ θανάτου καὶ φθορᾶς
σῶσον με, σωτήρ, τῇ εὐσπλαγχνίᾳ σου.

'Ωδὴ ζ'

Ὁ τῶν πατέρων ἡμῶν Θεὸς
εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας.

'Ωδὴ η'

Σὲ τὸν ἐν καμίνῳ
δροσοβόλον νεφέλην ἀποστείλαντα
σωτῆρα τοῖς ὁσίοις παισί σου
ὑμνοῦμεν καὶ ὑπερυψοῦμεν,
Χριστὲ εἰς τοὺς αἰῶνας.

'Ωδὴ θ'

Ἄσπορος βλαστὸς
ἐκ τῆς Παρθένου, Χριστέ, προελθὼν
βουλήσει τὸ πάθος ὑπέμεινας σαρκὶ
γένος ἀνθρώπων ἵνα λυτρώσῃς ἐκ πλάνης·
διό σε πάντες μεγαλύνομεν.

166

[ΑΝΑΣΤΑΣΙΜΟΣ]

Ποίημα Ἀνδρέου Γηφλοῦ

Β φ. 152β

'Ωδὴ α'. Ἦχος δ'. Ὁ Εἱρμός.

* Σημεῖα καὶ τέρατα ἐν Αἰγύπτῳ
διὰ Μωσέως κατεργασάμενος
τῶν ἐκεῖσε πόνων ἐρρύσω
καὶ διὰ θαλάσσης διεβίβασας τὸν Ἰσραήλ·
τὴν σὴν αἴνεσιν ᾄδοντα, Κύριε.

'Ωδὴ β'

Ἴδετε ἴδετε
ὅτι ἐγώ εἰμι ὁ Θεός,
ὁ θανάτῳ τὸν θάνατον σκυλεύσας
καὶ τῇ ἀναστάσει μου
διδοὺς ἐλευθερίαν ἁμαρτιῶν
τῷ γένει τῶν ἀνθρώπων
ὡς μόνος ἔχων ἐξουσίαν.

'Ωδὴ γ'

Ἀσθενοῦντά με, Χριστὲ ὁ Θεός,
πρὸς πόλεμον τὸν κατὰ παθῶν
στερεώσας περίζωσον δύναμιν.

'Ωδὴ δ'

Οὐδὲν τῶν γεγονότων
εἰσακήκοα, Κύριε,
φρικτώτερον τῆς σῆς οἰκονομίας
δι' ἧς ἐθέωσάς με.

'Ωδὴ ε'

Οὐρανοὺς ἀφομοίωσον τῇ γῇ, Κύριε.
τὴν τῶν ἀγγέλων εἰρήνην
τοῖς ἀνθρώποις παρέχων, ὡς φιλάνθρωπος.

'Ωδὴ ϛ'

Ἁμαρτίᾳ ἀφωτίστοις
ἐν ᾅδου βάθεσιν ἐνδιαιτώμενόν με
πρὸς τὸ φῶς ἀνάγαγε
τῆς μετανοίας, Κύριε.

'Ωδὴ ζ'

Νικήσαντες τρεῖς
ἀπειλὴν τυράννου
παῖδες ἐν καμίνῳ
καθάπερ παράδεισον
διέτριβον βοῶντες·
Κύριε Θεὲ
τῶν πατέρων, εὐλογητὸς εἶ.

'Ωδὴ η'

Ζῶντες καὶ νῦν ἀγγελικῶς
οἱ πρώην ὑπερῳριῶς
ἐν πυρὶ ζήσαντες νέοι
πνευματικῶς ἑορτάζουσι
τὸν μετ' αὐτῶν ἐν φλογιζούσῃ καμίνῳ
[δοξάζοντες θεώμενοι]
κάλλους τοῦ θεϊκοῦ
καὶ ἀναμέλπουσι πίστει· 1
πάντα τὰ κτιστὰ τὸν κτίστην
καὶ Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

'Ωδὴ θ'

Θεομῆτορ Δέσποινα, σὺν τῷ υἱῷ σου
ἡ κτίσις σε προσκυνεῖ πίστει
καὶ μεγαλύνει σου τὴν δόξαν·
— τῶν προφητῶν γὰρ αἱ προρρήσεις
πεπλήρωνται ἐν σοὶ
ὡς Λαυὶδ προανεφώνει·
ἄκουσον, λέγων,
σὺ θύγατερ καὶ ἴδε

(1) Ὁ Κῶδ. τὸν μετ' αὐτῶν ἐν φλογιζούσῃ καμίνῳ κάλλους τοῦ θεϊκοῦ καὶ ἀνέμελπον πίστει.

καὶ κλῖνον τὸ οὖς· —
ἧτις καὶ νῦν ἡμᾶς ἤθροισε·
[διό] σε καὶ ὃν ἔτεκες μεγαλύνομεν.

167

Ποίημα Σεργίου Ἁγιοπολίτου

Β φ. 155α

'Ωδὴ α'. Ἦχος δ'. Ὁ Εἱρμός.

* Ἐν πυθμένι ναμάτων ἐρυθραίων
ἔδυσαν Αἰγυπτίων
τριστάται καὶ ἀναβάται·
Ἰσραὴλ δὲ διῆλθεν ἀνολίσθοις ἴχνεσι
τῆς ἀβύσσου τὸ τέρμα
καὶ ἀνεβόα· οὐκ ἔστιν σοι ὅμοιος,
δεδοξασμένε Κύριε,
ποιῶν τέρατα
ἐν ὑψηλῷ βραχίονι.

'Ωδὴ γ'

Τὴν στειρωθεῖσάν μου ψυχὴν
ἐξ ἔργων ἀγαθῶν, Χριστὲ ὁ Θεός,
στήριξον ἐν τῇ πέτρᾳ τῆς πίστεως
καὶ τῶν ἐντολῶν σου·
ὅτι στερέωμα καὶ καταφυγή μου
ὑπάρχεις, φιλάνθρωπε.

'Ωδὴ δ'

Τὸ φρικτὸν τῆς ἐλεύσεώς σου μυστήριον
ὁ Ἀββακοὺμ κατανοῶν
ὡς φοβερὸν ὑπάρχει καὶ ἀκουόμενον
ἐξεστηκὼς ἐκραύγαζε·
δόξα τῇ δυνάμει σου, Κύριε.

'Ωδὴ ε'

Τὴν φιλαμαρτήμονα καὶ φιλήδονον γνώ-
[μην μου
σύ, τὸ φῶς μου Κύριε, εἰρήνευσον
δουλώσας σάρκα τῷ πνεύματί μου·
ἐκ νυκτὸς γὰρ ὀρθρίζων
προσφέρω αἴνεσιν τῇ σῇ ἀγαθότητι·
ἀνάτειλόν μοι τὸ φῶς
τῶν ἐντολῶν σου ὡς μόνος εὔσπλαγχνος.

'Ωδὴ ϛ'

Τῷ βάθει τῆς καρδίας μου
ὡς ἐν πελάγει κλύδωνι λογισμῶν
τὸ πέλαγος χειμάζει με·
διὸ βοῶ σοι·
ὡς Ἰωνᾶν ἀνάγαγε ἐκ φθορᾶς, Κύριε,
τὴν ζωήν μου ὡς μόνος εὔσπλαγχνος.

'Ωδὴ ζ'

Τῶν Χαλδαίων τὴν κάμινον
πάλαι ὁ ἄγγελος
καταβὰς ἐδρόσισεν

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

ἐν Βαβυλῶνι παισί·
διὰ τοῦτο ἔψαλλον
ὁ τῶν πατέρων εὐλογητὸς εἶ, Κύριε.

Ὠδὴ η΄

Ὡς θάλαμον κάμινον
ὡς παστάδα πυρὸς
τὴν φλόγα ὑπελθόντες
οἱ θεοφόροι ἐβόων
ἐν μέσῳ τῆς φλογὸς
δροσιζόμενοι οἱ παῖδες·
τὰ ἔργα Κυρίου
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ΄

Σὲ τὴν τὸν ἀχώρητον Λόγον
ἐν γαστρὶ χωρήσασαν
καὶ μὴ στενοχωρήσασαν
τὴν τῶν οὐρανῶν πλατυτέραν
καὶ τῶν χερουβὶμ ἐνδοξοτέραν,
Θεοτόκε ἄχραντε,
ὑμνοις μεγαλύνομεν.

168

[ΑΝΑΣΤΑΣΙΜΟΣ]

Β΄ φ. 155β

Ὠδὴ α΄. Ἦχος δ΄. Ὁ Εἱρμός.

* Σοὶ τῷ θαυμαστῷ Θεῷ ἡμῶν
ἀναπέμψομεν ᾠδὴν
ὥσπερ πάλαι Ἰσραὴλ
ἐν τῇ θαλάσσῃ διξαῖς
κραταιᾷ χειρί σου, Λόγε,
μόνος γὰρ ὑπάρχεις
δεδοξασμένος ἐν θεοῖς.

Ὠδὴ γ΄

Ὁ μόνος ἐν τῇ σοφίᾳ
στερεώσας κατ' ἀρχὰς
τοὺς οὐρανοὺς ἐν συνέσει
καὶ τὴν γῆν ἑδράσας
ἐπὶ ὑδάτων πολλῶν
ἐν τῇ ἀσείστῳ σου πέτρᾳ τῆς πίστεως
στερέωσόν μου τὴν διάνοιαν.

Ὠδὴ δ΄

Ρηξάτω εὐφροσύνην τὰ ὄρη
καὶ οἱ βουνοὶ γλυκασμὸν
ὅτι Κύριος ἐν δόξῃ
ἐπὶ νεφέλης κούφης ἐλεύσεται
ὁ προφήτης ἐβόα
πνευματεμφόρῳ στόματι
τὴν τῶν βροτῶν οὐσίαν
καινοποιήσασθαι.

Ὠδὴ ε΄

Ἀχλὺς πταισμάτων με συνέχει,
μόνε σωτήρ·
καὶ διὰ τοῦτο πρός σε ὀρθρίζω
τὸν ἐωσφόρον φῶς τῆς δόξης·
ἀνάτειλόν μοι τὸ φῶς τῶν σῶν ἐντολῶν
καὶ φώτισόν μου τῆς ψυχῆς
τὰς νοερὰς αἰσθήσεις
ἵνα κἀγὼ δοξάζω
τὴν σὴν ἀγαθότητα.

Ὠδὴ ς΄

Ὁ τριημέρῳ ταφῇ σου
τὴν φθορὰν καταργήσας,
Χριστὲ ὁ Θεὸς
τῶν παθῶν με ῥῦσαι
τῆς τυραννίδος τοῦ ἐχθροῦ
ὡς πάλαι τὸν προφήτην
Ἰωνᾶν ἐκ τοῦ θηρὸς
ἵνα δοξάζω τὴν δυναστείαν σου.

Ὠδὴ ζ΄

Ἐν τῇ καμίνῳ
Ἀβραμιαῖοι παῖδες τῇ περσικῇ
πόθῳ εὐσεβείας μᾶλλον ἢ τῇ φλογὶ
πυρπολούμενοι ἐκραύγαζον·
εὐλογημένος εἶ
ἐν τῷ ναῷ τῆς δόξης σου, Κύριε.

Ὠδὴ η΄

Τοὺς ἐπιβάντας ἐκ φλογὶ
παρανόμου τυράννου προστάγματι
παῖδας μιμούμενοι
ἀσιγήτοις χείλεσι
τῷ ἐν ὑψίστοις ἀγαθῷ
ἐκβοήσωμεν· ἀγαθέ,
ὑπερφυῶς ὑπάρχων παναγίως
τοὺς ὑμνοῦντάς σε φύλαττε
τῷ νοητῷ σοῦ καταύγασον.

Ὠδὴ θ΄

Τὸν δοφθέντα ἐν σαρκὶ
καὶ νεκρώσαντα θανάτου τὴν δύναμιν
καὶ πᾶσαν ἀπάθειαν δωρησάμενον ἡμῖν
Χριστὸν τῶν σωτῆρα οἱ πιστοὶ μεγαλύνομεν.

169

ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΘΕΚΛΑΝ

Ποίημα Ἀνδρέου Κρήτης

Β΄ φ. 125β

Ὠδὴ α΄. Ἦχος δ΄. Ὁ Εἱρμός.

* Ἐρυθρὰν γράσας ὡς Θεὸς
τῷ βραχίονί σου τῷ ὑψηλῷ
ἐκ πικρᾶς δουλείας Φαραὼ
ἐλυτρώσω τὸν πάλαι Ἰσραήλ·

διὸ πιστοὶ καὶ ἡμεῖς ἀναμέλψωμεν
ἄσωμέν σοι τῷ εὐεργέτῃ
ἐνδόξως γὰρ δεδόξασαι.

Ὠδὴ β΄

Ὅτι τὸ ὄνομα Κυρίου ἐκάλεσα
δῶμεν μεγαλωσύνην
Κυρίῳ τῷ Θεῷ ἡμῶν.

Ὠδὴ γ΄

Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ
ὅτι ἀνέτειλεν ἐκ γῆς τίμιον ξύλον
ἐν ᾧ ἐπάγη ὁ σωτὴρ ἡμῶν.

Ὠδὴ δ΄

Τί ἐκβοᾷς, ὦ προφῆτα Ἀββακοὺμ
τί ἀκούσας ἐξέστης
τί ἐφοβήθης Θεὸν
ἀπὸ Θαιμὰν ἥξαντα
καὶ τὸν ἅγιον ἐξ ὄρους
κατασκίου δασέος ;
διὸ καὶ ἀνέκραζε
δόξα τῇ δυνάμει σου
δόξα, Χριστέ, τῇ συγκαταβάσει σου.

Ὠδὴ ς΄

Ἐβόησά σοι, σωτήρ,
ἐν ὅλῃ καρδίᾳ μου
ἐπάκουσόν μου
δέομαι καὶ σῶσόν με.

Ὠδὴ η΄

Τυραννικὸν καταπτύσαντες πρόσταγμα
παῖδες θεάρεστοι ἐναρμόνιοι
Χαλδαϊκῇ καμίνῳ ἔβησαν
σοὶ τῷ Θεῷ ἀναμέλποντες
εὐχαριστήριον αἶνεσιν
εὐλογεῖτε πάντα τὰ ἔργα
Κυρίου τὸν Κύριον.

Εἱρμὸς ἄλλος

Τῆς Τριάδος ἰσάριθμοι παῖδες
ὑλικῷ μὴ φλεχθέντες πυρὶ
δεσποτικῷ ψυχῆς ἔρωτι πυρπολούμενοι
ἐκραύγαζον ἀναμέλποντες·
εὐλογεῖτε πάντα τὰ ἔργα
Κυρίου τὸν Κύριον.

Εἱρμὸς ἄλλος

Κάμινος Χαλδαϊκὴ
σώζει σώματα νεανικὰ
ἀγημνοῦντά σε, Χριστέ, καὶ κραυγάζοντα
μεθ' ὧν ψάλλομεν
εὐλογεῖτε πάντα τὰ ἔργα
Κυρίου τὸν Κύριον.

Ὠδὴ θ΄

Τὸ κατάσκιον ὄρος
τοῦ Ἰακὼβ τὴν κλίμακα
τὴν ῥίζαν τοῦ Ἰεσσαὶ
ἐξ ἧς ἐβλάστησε Χριστὸς ἀσπόρως

τὴν Θεοτόκον Μαρίαν
ὑμνοις μεγαλύνομεν.

170

Ποίημα Ἀνδρέου Κρήτης

Β΄ φ. 126β

Ὠδὴ α΄. Ἦχος δ΄. Ὁ Εἱρμός.

* Ὡς ἑώρα ὁ Ἰσραὴλ τὸν Φαραὼ
σὺν ἅρμασι ποντούμενον
τῷ Κυρίῳ ἔψαλλεν
ᾠδὴν ἐπινίκιον ἄσωμεν.

Ὠδὴ β΄

Ὁ Θεὸς ἀληθινὰ τὰ ἔργα αὐτοῦ
καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ κρίσις·
δίκαιος καὶ ὅσιος ὑπάρχει ὁ Κύριος

Ὠδὴ γ΄

Μίμησαι ψυχή μου εἰς ἀρετὴν
τῆς Ἄννης καὶ σὺ τὴν ᾠδὴν
καὶ βόησον πίστει κραυγάζουσα·
ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ
τῷ ἐγείραντι κέρας
λαῷ τῷ ἐκλεκτῷ αὐτοῦ.

Ὠδὴ δ΄

Ὁ προφήτης Ἀββακοὺμ
προορῶν σου, οἰκτίρμον,
τὴν θείαν ἔλευσιν ἐκραύγαζεν·
ἥξει ὁ Θεὸς σαρκωθεὶς ἐξ ὄρους
παρθενικοῦ τῆς ἁγνῆς.

Ὠδὴ ε΄

Ἀνάτειλόν μοι τὸ φῶς τῶν ἐντολῶν σου
καὶ δώρησαί μοι τὴν σὴν εἰρήνην, φι-
[λάνθρωπε,
ὅτι ἐκτός σου οὐκ οἴδαμεν
Θεὸν ἄλλον, μόνε οἰκτίρμον.

Ὠδὴ ς΄

Χειμαζόμενόν με, οἰκτίρμον,
σάλῳ τῶν πταισμάτων μου δέομαι
ἀγακάλεσαί με καὶ διάσωσον, Κύριε,
ὡς Ἰωνᾶν ἐκ τοῦ θηρὸς τοῦ νοητοῦ.

Ὠδὴ ζ΄

Ὁ τοὺς παῖδας ἐν τῇ καμίνῳ τοῦ πυρὸς
ῥυσάμενος, Κύριε,
ἀγγέλου ἐπιστασίᾳ
καὶ ἡμᾶς διάσωσον
πίστει κραυγάζοντας·
ὁ τῶν πατέρων Κύριος εὐλογητὸς εἶ.

Ὠδὴ η΄

Σὲ τὸν περιβάλλοντα τὸν οὐρανὸν ἐν νε-
[φέλαις
καὶ ἑτοιμάζοντα τῇ γῇ ὑετόν, Χριστέ,

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

ἀνυμνοῦμεν καὶ δοξολογοῦμεν
ὡς ὑπερένδοξον Θεὸν
εἰς τοὺς αἰῶνας ἅπαντας.

Ὠδὴ θ΄

Ἐπεσκέψατο ἡμᾶς ἀνατολὴ ἐξ ὕψους
Χριστὸς τοῖς ἐν τῷ σκότει
καὶ σκιᾷ θανάτου καθημένοις
σαρκωθεὶς ἐκ Παρθένου ἁγνῆς
ἣν ὑμνοις μεγαλύνομεν.

171

Ποίημα Ἀνδρέου Κρήτης

Β φ. 127α

Ὠδὴ α΄. Ἦχος δ΄. Ὁ Εἱρμός.

* Ἐπάγη ὡσεὶ τεῖχος τὰ ὕδατα
ἐπάγη καὶ τὰ κύματα
ἐν μέσῳ τῆς θαλάσσης
ὅτι ἐν χειρὶ κραταιᾷ
καὶ ἐν βραχίονι ὑψηλῷ
Κύριος διέρρηξε
τὴν τυραννίδα Φαραώ·
ἔδυσαν εἰς βυθὸν ὡσεὶ λίθος
ἔδυσαν ὡσεὶ μόλυβδος
ἐν ὕδατι σφοδρῶς·
παρῆλθε δὲ ὁ λαὸς τοῦ Ἰσραὴλ
μελῳδικῶς ᾄλλων σοι·
ἄσωμεν τῷ λυτρωτῇ ἡμῶν Θεῷ
ὅτι δεδόξασται.

Ὠδὴ β΄

Οὐρανοὺς ὁ κλίνας
καὶ καταβὰς ἐπὶ τῆς γῆς
κλῖνον τὸ οὖς σου
καὶ πρόσχες τῇ φωνῇ μου
ὅτι τὸ ὄνομά σου
τὸ θαυμαστὸν ἐπεκαλεσάμην.

Ὠδὴ γ΄

Τὸν σεσαλευμένον στερέωσόν μου νοῦν
εἰς τὸ ποιεῖν τὸ θέλημά σου, Κύριε,
σὺ γὰρ οἶδας, ἀγαθέ,
τὴν ἡμῶν, ἐλεῆμον, ἀσθένειαν.

Ὠδὴ δ΄

Εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην
κατενόησα τὰ ἔργα σου, φιλάνθρωπε,
καὶ ἐξιστάμενος κραυγάζω·
δόξα τῇ δυνάμει σου, Κύριε.

Ὠδὴ ε΄

Πέπαυται φρύαγμα τῶν διωκόντων με
σὲ γὰρ γινώσκω, ἀγαθέ,
νῦν ἀναστήσομαι
ἐκ νυκτὸς ὀρθρίζων σοι
τεταπεινωμένῃ ἐν ψυχῇ
οἰκτειρόν με τὸν ἀναπολόγητον.

Ὠδὴ ς΄

Ἐν πελάγει χαλεπῷ τῶν λογισμῶν βυ-
[θιζόμενος
ὡς Ἰωνᾶς ὁ προφήτης βοῶ σοι·
εἰς λιμένα εὔδιον
τῇ σῇ εὐσπλαγχνίᾳ
καθόρμησόν μου τὴν διάνοιαν.

Ὠδὴ ζ΄

Οἱ θεόφρονες κατήσχυναν
παῖδες τὸ ἄθεον δόγμα
μὴ προσκυνεῖν ἡξιωμένοι
εἰκόνι τῇ ἐν Δειρᾷ·
ὑπ' ἀγγέλου δὲ δροσισθέντες ἔλεγον
τῶν πατέρων ὁ Θεὸς
εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας.

Ὠδὴ η΄

Θωρακισθέντες τοῦ σταυροῦ σου τῇ πανο-
[πλί
παῖδες Ἱεροσολυμῖται
καὶ πῦρ μὴ πτοηθέντες
τύραννον ἠσχύναν·
θειρροῦντες γὰρ εἰς τὴν δύναμιν
τὴν ἐν σοὶ Χριστὲ τοῦ ὑψίστου
οὕτως ἐκραύγαζον·
τὰ ἔργα Κυρίου τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ΄

Θάλαμος παρθενικὸς ἀνεδείχθης,
Θεοτόκε Παρθένε·
ἐν σοὶ γὰρ οἱ ἐν θλίψει καταφεύγομ
ὡς ἐν θαλάμῳ φωτεινῷ
χορεύοντες ᾄλλομεν·
σὲ μεγαλύνομεν, Παρθένε ἁγνή.

172

ΕΙΣ ΤΗΝ ΠΡΟΣΚΥΝΗΣΙΝ ΤΟΥ ΤΙΜΙΟΥ ΣΤΑΥΡΟΥ

Β φ. 132β

Ὠδὴ α΄. Ἦχος δ΄. Ὁ Εἱρμός.

* Τὰ τῶν ἁσμάτων ἄσματα ἀναπέμπο
ᾄσματα κατὰν πνευματικῶς
σαλπίζοντες πιστοὶ
ἐν εὐσημίᾳ ἡμέρᾳ ἑορτῆς ἡμῶν·
ἐπέστη γὰρ ἐν ἡμῖν
ἡ τοῦ σταυροῦ σελασφόρος
πανηγυρὶς θεία
πνευματικῶς εὐφραίνουσα
τοὺς φιλεόρτους ἡμᾶς.

Ὠδὴ β΄

Ἴδετε ἴδετε λαός μου θαῦμα παράδοξον
ἐν οὐρανῷ βασιλεύω
καὶ ἐπὶ γῆς κρίνομαι ὡς κατάκριτος
ἵνα τὸν κατάκριτον διὰ σταυροῦ
ἐκ τῆς φθορᾶς ἀνακαλέσωμαι.

Ὠδὴ γ΄

Δυνάμει τοῦ σταυροῦ κατάβαλε
ἔθνη τὰ τοὺς πολέμου θέλοντα
καὶ ἀνύψωσον τὸ κέρας τῶν βασιλέων ἡμῶν,
Χριστέ, ἐν ἰσχύϊ ὡς Θεὸς
καὶ ἅγιος, μόνε φιλάνθρωπε.

Ὠδὴ δ΄

Ὁ ἐν δυνάμει πλούσιος
καὶ ἐν ἰσχύϊ ἀμέτρητος
δύναμίς μου γενοῦ
ὁ εὐδοκήσας σαρκὶ
σταυρὸν ὑπομεῖναι
τοῦ ἀκοῦσαί με φωνῆς αἰνέσεώς σου
καὶ διηγήσασθαι ἐν ἐκκλησίᾳ
ἁγίᾳ τὰ θαυμάσιά σου.

Ὠδὴ ε΄

Λῦσόν μου τὴν ἀχλὺν
τῶν σειρῶν τῶν πταισμάτων, Χριστέ,
καταύγασον φωτισμῷ ἐντολῶν σου τὸ
[πνεῦμά μου
ἐνισχύων με, Λόγε,
τῷ τοῦ σταυροῦ σου ξύλῳ
κραταιῶς, δυνατέ·
διότι φῶς ὑπάρχει, οἰκτίρμον,
τὰ σὰ προστάγματα.

Ὠδὴ ς΄

Ἐβόησε
πρωτυπῶν τὴν ταφὴν τὴν τριήμερον
ὁ προφήτης Ἰωνᾶς
ἐν τῷ κήτει δεόμενος·
ἐκ φθορᾶς με ῥῦσαι,
Ἰησοῦ βασιλεῦ τῶν δυνάμεων.

Ὠδὴ ζ΄

Ἡ τρισοφεγγὴς τῶν σῶν παίδων ἐν τῇ
[καμίνῳ
διήστραψε προτυποῦσα,
Λόγε, τὸν τρισύνθετον σταυρόν·
τὸ πῦρ γὰρ τῆς καμίνου
ὑπεχώρει ἀπ' αὐτῶν·
διὸ εὐλογημένος εἶ
[ὁ] ἐπὶ θρόνου δόξης τῆς βασιλείας σου.

Ὠδὴ η΄

Κατακαμπτόμενον ταῖς αὔραις
τῶν πολλῶν ἐχθρῶν καὶ ἀποστατῶν
τῇ τοῦ σταυροῦ σου δυνάμει ἀνεξέγειρον
διάσωσόν με πρὸς σὴν δοξολογίαν
ἵνα πόθῳ κραυγάζω, Χριστέ,
εὐλογεῖτε τὰ ἔργα τὸν Κύριον.

Ὠδὴ θ΄

Τὴν τιμιωτέραν πάσης τῆς κτίσεως
καὶ ἐνδοξοτέραν πάσης φύσεως ἀγγελικῆς
τὴν τεκοῦσαν τὸν ἐν σταυρῷ ὑψωθέντα
εἰς σωτηρίαν βροτῶν
δεῦτε πιστοὶ
ταύτην μεγαλύνωμεν.

173

ΕΙΣ ΤΑ ΒΑ·Ι·Α

Β φ. 133β

Ὠδὴ α΄. Ἦχος δ΄. Ὁ Εἱρμός.

* Ἐπινίκιον ᾠδὴν
τῷ ρυσαμένῳ Ἰσραὴλ
ἐκ δουλείας Φαραὼ
Χριστῷ τῷ Θεῷ ἡμῶν
ἀναπέμψωμεν λαοί
ὅτι δεδόξασται.

Ὠδὴ β΄

Ἴδετε ἴδετε
ὅτι ἐγώ εἰμι, λέγει Κύριος,
ὁ ἐν ἐρήμῳ τὸν Ἰσραὴλ
πάλαι διαθρέψας
καὶ μάννα ἐπομβρήσας
καὶ ὁδηγήσας ὡς Θεὸς
καὶ νῦν ἐξ ᾅδου κευθμώνων
τὸν Λάζαρον ἐγείρας
διὰ φωνῆς ὡς δυνατός.

Εἱρμὸς ἄλλος

Ἴδετε ἴδετε
ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν
ὃν ὑμνοῦντες οἱ παῖδες
μετὰ κλάδων καὶ βαΐων ἐδοξολόγησαν·
ὡς σωτῆρα καὶ λυτρωτὴν
καὶ βασιλέα πάσης κτίσεως.

Εἱρμὸς ἄλλος

Ἴδετε ἴδετε
ὅτι ἐγώ εἰμι, λέγει Κύριος,
ὃν μετὰ κλάδων καὶ βαΐων
ἀνευφήμησαν πίστει
οἱ ἀπειρόκακοι παῖδες
ἐπὶ τὴν πόλιν Ἰερουσαλὴμ
ὡς βασιλέα καὶ δεσπότην
καὶ ποιητὴν τοῦ παντός.

Ὠδὴ ζ΄

Εἶπατε λαοὶ ὁ ἐξ ἐθνῶν τῇ θυγατρὶ Σιὼν
εὐφραίνου καὶ κατατέρπου
ὅτι Κύριος ἐν μέσῳ σου·

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

ἀνάλαβε σάλπιγγος φωνὴν
μετὰ παίδων ὕμνησον
τὸν βασιλέα σου Χριστὸν
μετὰ βαΐων κλάδων
αὐτῷ προσυπάντησον
ὡς Θεὸν καὶ Κύριον
τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Χαῖρε σφόδρα θύγατερ Σιὼν
κήρυσσε θύγατερ Ἱερουσαλὴμ
εὐφραίνου καὶ κατατέρπου·
ἰδοὺ γὰρ ὁ βασιλεύς σου
ἔρχεταί σοι δίκαιος
καὶ σώζων πρᾷος
ἐπιβεβηκὼς ἐπὶ πῶλον ὄνου
ὃν οἱ παῖδες Ἑβραίων
μετὰ κλάδων καὶ βαΐων
εὐφημοῦσι λέγοντες·
ὡσαννὰ ἐν τοῖς ὑψίστοις
ὡσαννὰ τῷ υἱῷ Δαυὶδ
εὐλογημένος ὁ ἐρχόμενος
ἐν ὀνόματι Κυρίου
εἰς πάντας τοὺς αἰῶνας·

Ὠδὴ θ'

Θάρσει θύγατερ Σιών,
ἡ πόλις ἡ ἁγία ὁρῶσά σου τὰ τέκνα
Χριστῷ προσυπαντῶντα
ἐν πώλῳ ὀχουμένῳ
χιτῶνας ὑφαπλοῦντα
καὶ κλάδους καὶ βαΐα
αὐτῷ ἐπισείοντα·
μεθ' ὧν καὶ ἡμεῖς
ἀνυμνοῦντες λέγομεν·
εὐλογημένος εἶ
ὁ τὸν φίλον Λάζαρον ἐκ νεκρῶν ἀναστήσας,
Χριστὲ ὁ Θεὸς ἡμῶν
καὶ σὲ μεγαλύνομεν.

174

ΕΙΣ ΤΑ ΒΑ·Ι·Α

Ποίημα Ἀναστασίου τοῦ Κυέστορος

Β φ. 134β

Ὠδὴ α'. Ἦχος δ'. Ὁ Εἱρμός.

Νεῦσον πρὸς ἡμᾶς Ἰσραὴλ σου τὸν νέον
ὡς τὸν παλαιόν, Χριστέ, νῦν διεξάγων
τῆς τοῦ νοητοῦ Φαραὼ τυραννίδος·
ἆσμα κροτοῦμεν ὕμνον ὡς εὐεργέτῃ
χαρᾶς φέροντες βαΐοις τὰ σύμβολα.

Ὠδὴ γ'

Στείρα σκυθρωπὴ τὸ πρὶν ἠτεκνωμένη
χαῖρε βλέπουσα πολλὰ νῦν σου τὰ τέκνα·
ἐξησθένησε καὶ γὰρ ἡ πολύτεκνος
Θεοῦ παρόντος ἐν Σιὼν πώλῳ νέῳ
ἐν ᾧ πεποιθὼς ἐνθέως στηρίζομαι.

Ὠδὴ δ'

Γῆρυν κραταιὰν ῥῆξον ἐν Σιὼν ὄρους
ἐν Ἱερουσαλὴμ καὶ κύκλῳ βλέπων·
Θεὸς γὰρ ἦν τοῦ Ἰσραὴλ ὁ Δεσπότης
ὡσαννὰ παῖδες ὦ βοῶντες σὺν κλάδοις
κροτοῦσι δόξα τῷ κράτει σου, Κύριε.

Ὠδὴ ε'

Μετὰ κλάδων σκιρτῶντες οἱ θεόφρονες
ἡ τοῦ Θεοῦ μέλψωμεν εὐφραίνου πόλις
δόξα προσλαμπὴς [1] καὶ γὰρ ἐν σοὶ ἡ
ἐν Ἰσραὴλ νέμοντος εἰρήνης κλέος
χάριν τε θείαν ἐν Σιὼν τοῖς ἔθνεσιν.

Ὠδὴ ς'

Ὁ τὸν προφήτην τῶν ἐνύγρων ἐγκάτω
λώβης ἄνευθεν ἐκφορήσας Δεσπότης
ὀχήματι προῆλθε σήμερον ξένῳ
νέοι δὲ προστρέχοντες ὡσαννὰ κλάδο
φέροντες ἦδον, σῶτερ ὦ παντοκράτο

Ὠδὴ ζ'

Ὃν παῖδες οἱ τρεῖς εὐλόγουν Θεὸν πάλ
πυρὸς φλόγα τρέψαντα θείαν εἰς δρόσ
ὡσαννὰ πλῆθος νηπίων μετὰ κλάδ
νῦν ἐν Σιὼν ὑμνεῖ σε, Χριστὲ παντάν
εὐεργέτα τοῦ παντὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'

Πώλῳ βεβηκὼς Χριστὸς εἰσάγων ἔθ
ὡς δεσπότης προῆλθε καὶ παντοκράτ
λαοὶ κροτεῖτε πᾶσα δὲ σκίρτα φύσις
ὡσαννὰ παισὶ συμβοήσωμεν πόθῳ
μετὰ κλάδων νῦν εὐλογοῦντες τὸν Κ
[ρι

Ὠδὴ θ'

Ἀγαλλιῶσα χαῖρε μήτηρ Κυρίου
ἰδοὺ γὰρ ὅνπερ ἔσχες ἐν μήτρᾳ Λόγον
ὁ κόσμος ὑμνεῖ δεσπότην εὐεργέτην
ἰδοὺ κλάδοις αἰνοῦμεν αὐτοῦ τὸ κρά
σοὶ προσφέροντες ὕμνον εὐχαριστία

175

ΕΙΣ ΤΟΝ ΕΥΑΓΓΕΛΙΣΜΟΝ ΤΗΣ ΘΕΟΤΟΚΟΥ

Ποίημα Γεωργίου Σικελιώτου

Β φ. 135β

Ὠδὴ α'. Ἦχος δ'. Ὁ Εἱρμός.

Διατεμὼν τὴν θάλασσαν
τὴν Ἐρυθρὰν ὁ Μωυσῆς

(1) Ἐν Κώδ. δόξα προσλάμπει

σταυροτύπως πλήξας τὰ ὕδατα
καὶ λαὸν Ἰσραηλίτην διέσωσεν
ἄδοντα ἆσμα καινόν.

Ὠδὴ β'

Ἴδετε ἴδετε
ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν
ὁ καταπέμψας ἐξ ὕψους
πρὸς Παρθένον ἁγνὴν
Γαβριὴλ τὸν ἀρχάγγελον
εὐαγγελίσασθαι αὐτῇ
ἐλευθερίας μηνύματα
καὶ χαρὰν τὴν ἀνεκλάλητον.

Εἱρμὸς ἄλλος

Ἴδετε ἴδετε
ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν
ὁ δι' ἀγγέλου Γαβριὴλ
ἐξαποστείλας τὸ χαῖρε τῇ Παρθένῳ
καὶ δι' αὐτῆς πηγάσας τῷ κόσμῳ
ζωὴν αἰώνιον καὶ τὸ μέγα ἔλεος.

Ὠδὴ γ'

Τῶν ἀγγέλων ὁ μέγας ἀρχάγγελος
Γαβριὴλ τῇ Παρθένῳ χαρὰν εὐαγγελίζεται
τοὺς ἐξ Ἀδὰμ φυράματος βροτοὺς
ἀνακαινίζων, Χριστὲ ὁ Θεὸς ἡμῶν.

Ὠδὴ δ'

Ναιέτω κόσμος πρὸς θείαν ζωὴν
ἀνακαινιζόμενος τῷ φθόγγῳ
τοῦ ἀρχαγγέλου σήμερον·
τῇ Θεοτόκῳ γὰρ εὐηγγελίσθη
δυναμωθείσῃ ἐν Πνεύματι
χαρὰν ἀένναον.

Ὠδὴ ε'

Ἄφθορε μήτηρ Χριστοῦ τοῦ Θεοῦ
ἡ τὸν Ἐμμανουὴλ κυήσασα,
τοὺς προσκυνητάς σου δέχου
ἐκ νυκτὸς ἀγνοίας μεσιτεύουσα
τῆς σωτηρίας ἡμῶν τὸ φῶς τὸ ἀνέσπερον.

Ὠδὴ ς'

Χάος ἀβύσσου κρατεῖ με
τῶν πταισμάτων μου, σωτήρ,
καὶ εἰς σχισμὰς ὀρέων τῶν λογισμῶν μου
κατέδυ τὸ πνεῦμά μου
καὶ ὡς ἐν θαλάσσῃ
τῇ ἀπογνώσει βυθίζουσί με·
ἀλλ' ὡς τὸν προφήτην ἐρρύσω
ἐκ βυθοῦ κατωτάτου, φιλάνθρωπε,
κἀμὲ ἀνακάλεσαι
δέομαι καὶ σῶσόν με.

Ὠδὴ ζ'

Ὡς ἐν θαλάμῳ νυμφικῷ
ἐν τῇ καμινιαίᾳ φλογὶ διαλάμποντες
οἱ τῆς Τριάδος ἰσάριθμοι παῖδες σοφοὶ
τυραννικὸν δόγμα πατοῦντες ἔψαλλον·
ὁ τῶν πατέρων Θεὸς
εὐλογητὸς εἶ καὶ ὑπερένδοξος.

Ὠδὴ η'

Ἁρμονίαν μουσικὴν
ἐνστησάμενος πάλαι
ὁ τύραννος ἐν Βαβυλῶνι
παῖδες αἰχμάλωτοι
ἀπαρνησάμενοι ἔψαλλον
τῷ εὐεργέτῃ Θεῷ·
εὐλογεῖτε πάντα τὰ ἔργα
Κυρίου τὸν Κύριον
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Νόμους λαθοῦσα
ἡ ἀμώμητος μήτηρ Χριστοῦ
τῆς χοϊκῆς οὐσίας
[συνέλαβε Θεόν]·
Θεὸς γὰρ ὢν ἀληθὴς
τῷ ἐξ ἡμῶν φυράματι
πρὸς ζωὴν τὴν ἀμείνω
διεβίβασεν ἡμᾶς
διπλοῦς ὑπάρχων ὁ εἷς.

176

ΕΙΣ ΤΟΝ ΕΥΑΓΓΕΛΙΣΜΟΝ ΤΗΣ ΘΕΟΤΟΚΟΥ

[Ποίημα Κυπριανοῦ μοναχοῦ]

Β φ. 137α

Ὠδὴ α'. Ἦχος δ'. Ὁ Εἱρμός.

Ἄσω τὸ θαυμαστὸν παράδοξον μυ
[στήριον
τῷ σαρκωθέντι σήμερον ἐν δαυιτικῇ κόρῃ
ὅτι τὸν πάλαι Ἰσραὴλ
ἀνίκμως διώδευσε
ἐν Ἐρυθρᾷ θαλάσσῃ
ὠδὴν ἀναμέλποντα
ὕμνον ἐπινίκιον.

Ὠδὴ β'

Ἄκουε παράδοξον οὐρανὲ
καὶ ἐνωτίζου τὰ ῥήματα τοῦ στόματός μου
[ἡ γῆ
ἐρευγομένου Θεοῦ θαυμάσια
ὅπως ὁ ἀόρατος Θεὸς
ἀνθρώποις σωματωθεὶς
ὁρατῶς ἐπεδήμησεν.

Εἱρμὸς ἄλλος

Ἴδετε ἴδετε ὅτι ἐγώ εἰμι ὁ Θεὸς
ὁ καινουργήσας τὸν Ἀδὰμ
δι' εὐσπλαγχνίαν ἄφατον

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

καὶ σαρκωθεὶς ἐκ Παρθένου
διὰ τὸ σῶσαι τὸν ἄνθρωπον.
Εἱρμὸς ἄλλος
Προσέχετε λαοὶ καὶ ἴδετε
τὰ μεγαλεῖα τοῦ Θεοῦ ἡμῶν
ὅτι κατῆλθεν ἐπὶ γῆς
καὶ ἐσαρκώθη δι' ἡμᾶς
ἐκ τῆς Παρθένου ὡς ηὐδόκησεν.
Ὠδὴ γ'
Νῦν σκιρτάτω ἅπασα
ἡ ἐκκλησία σου, Χριστὲ ὁ Θεός,
ἀνακαινιζομένη ἐν πίστει στερεωτάτῃ
χαρμονικῶς κραυγάζουσα·
ἥξει Κύριος ὁ Θεὸς
ἡ καταφυγή μου καὶ τὸ στερέωμα.
Ὠδὴ δ'
Ὕμνον σοι προσφέρω ἀκραιφνῆ, Παρ-
[θένε,
σὺν τῷ ἀρχαγγέλῳ κραυγάζων·
δόξα τῷ ἐν σοὶ σκηνώσαντι σήμερον
εἰς ἡμῶν ἀναγέννησιν.
Ὠδὴ ε'
Ὁ ἐν λόγῳ οἰκήσας ἐν Παρθένῳ ἁγίᾳ
καὶ προελθὼν ἐν τῷ τοῦ βίου συστήματι
ὁ σὺν πατρὶ καὶ Πνεύματι δοξαζόμενος
θέλων φωτίσαι τοὺς ἐσκοτισμένους
τοὺς ἐξ Ἀδὰμ παγγενῆ πεπτωκότας
ἥξει ἐν ἡμῖν χαριζόμενος εἰρήνην
ἐπὶ Ἰσραὴλ καὶ σωτήριον ἔθνεσιν.
Ὠδὴ ϛ'
Ἄβυσσός με πλημμελημάτων
ἐσχάτη ἐκύκλωσεν·
ἀλλ' ὡς τὸν προφήτην Ἰωνᾶν
ἀνάγαγέ με, φιλάνθρωπε,
ἐκ φθορᾶς ὁ Θεός μου καὶ σῶσόν με.
Ὠδὴ ζ'
Σὲ ζωγραφοῦσα ἡ ἀσσύριος φλὸξ
νέους τρεῖς διέσωσε, Κύριε,
ὡς καὶ τὴν Παρθένον
οὐ κατέφλεξε κόρην
ἐν τῷ θείῳ τόκῳ σου
ὁ θεῖος σπινθήρ, ὑπερύμνητε.
Ὠδὴ η'
Τὸ ἀνόσιον κάλλος
τῆς βροτοκτίστου οἱ τρεῖς
χρυσῆς εἰκόνος ἔπτυσαν
καταφρονήσαντες δόγματος τυραννικοῦ
καὶ βληθέντες ἐν πυρὶ
φῶς δροσοβόλον ἐδέξαντο
καὶ πατοῦντες ὡς εἰς λίμνην ὕδατος
οὕτως ἐβόων· θαρσεῖτε
δροσίζει γὰρ ὁ Χριστὸς
τὴν κάμινον μὴ πτοεῖσθε·
κράξατε τὸν Κύριον τὰ ἔργα ὑμνεῖτε
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
Ὠδὴ θ'
Κίνει τὴν λύραν Δαυὶδ
ἄρον τὴν φωνὴν
ὕμνησον τὴν βασιλίδα
χόρευσον ὕψωσον
τῆς κινύρας τὰ κρούσματα
κάλεσον τὰς παρθένους
συνάγαγε τοὺς χοροὺς τῶν ἀδόντων
ὅπως ὑμνήσωμεν τὴν Παρθένον ἁγνὴν
καὶ μεγαλύνωμεν αὐτὴν ὡς Θεοτόκον.

177

ΕΙΣ ΤΟΥΣ ΠΕΝΤΕ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑΣ

Ποίημα Ἠλία πατριάρχου

Β φ. 138α

Ὠδὴ α'. Ἦχος δ'. Ὁ Εἱρμός.
Ἅρμασι γαυρούμενον
τὸν Αἰγύπτιον τύραννον ἐβύθισας·
τὸν δὲ δῆμον Ἰσραὴλ
τῶν ὑπεναντίων τῷ Χριστῷ
ἐναβρυνόμενον διέσωσας·
ὡς φοβερὰ τὰ ἔργα σου
ὁ Θεός Ι καὶ δεδόξασαι.
Ὠδὴ γ'
Ἐπλάτυνας τὸ στόμα μου
ἐπὶ τοὺς ἐχθρούς μου ὁ Θεὸς
καὶ ἡ καρδία μου ηὐφράνθη·
ἡτοίμασάς μοι τράπεζαν
ἐξ ἐναντίας πάντων τῶν θλιβόντων μ
ὁ ἁγιάζων ἅγια
ἅγιος εἶ, Κύριε.
Ὠδὴ δ'
Εἰς φῶς σου πορεύσονται
αἱ βολίδες τῶν ἐχθρῶν σου
καὶ εἰς φέγγος ἀστραπῆς ὅπλων σο
ἐκάλυψε γὰρ οὐρανοὺς
ἡ ἀρετή σου, Κύριε δυνατὲ
βασιλεῦ, δόξα τῇ δυνάμει σου.
Ὠδὴ ε'
Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μ
πρὸς σὲ ὁ Θεὸς
διὰ τοῦτο οὐ φοβηθήσομαι
ἀπὸ φόβου νυκτερινοῦ·
διὸ σὺ τῷ φωτὶ τοῦ προσώπου σο
Χριστέ, με καθοδήγησον.
Ὠδὴ ϛ'
Φορτίον μοι πταισμάτων
ὁ ἐχθρὸς ἀπαρτίσας

τὴν ἰσχύν μου συνεκάλυψεν
κατακλίνας τὸν δείλαιον·
ἀλλ' ὡς Ἰωνᾶς, Χριστέ, βοῶ σοι
τὴν ζωήν μου ἀνάγαγε
πρὸς σέ, ὡς φιλάνθρωπος.
Ὠδὴ ζ'
Ὅρασιν τεθέαται Θεοῦ
ὁ τύραννος ἐν τῇ καμίνῳ·
τοῦτον γὰρ προμηνύων
ὑπέψαλλε Δαυίδ·
πῦρ καυθήσεται ἐνώπιον αὐτοῦ
καὶ φλογιεῖ κύκλῳ ἐχθροὺς αὐτοῦ
καὶ ἡμεῖς ἀνυμνοῦμεν·
εὐλογητὸς εἶ, Κύριε
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.
Ὠδὴ η'
Ὕμνος τῆς Σιὼν ἐν Βαβυλῶνι
παῖδας καμίνου ἐξείλετο·
ἐν Σιὼν δὲ τοῦ θεοδόχου σώματος
γευσάμενοι οἱ ἀπόστολοι
εὐσεβῶς ἀνέμελπον·
εὐλογεῖτε τὰ ἔργα τὸν Κύριον.
Ὠδὴ θ'
Ἐν εὐσήμῳ ἡμέρᾳ ἑορτῆς ἡμῶν
δεῦτε ἀλαλάξωμεν
μεγαλοφώνως σάλπιγγος ἤχῳ
τῇ τοῦ Πνεύματος ἐλλάμψει·
δίδωσι γὰρ λύτρον ὑπὲρ ἡμῶν ἑαυτὸν
ὁ μονογενὴς τῷ πατρὶ ἑκουσίως
ὃν κατὰ χρέος μεγαλύνομεν.

178

ΕΙΣ ΤΗΝ ΚΟΙΜΗΣΙΝ ΤΗΣ ΘΕΟΤΟΚΟΥ

Ποίημα Κυπριανοῦ μοναχοῦ

φ. 139α

Ὠδὴ α'. Ἦχος δ'. Ὁ Εἱρμός.
Τὸν νοητὸν Φαραὼ
σὺν ἅρμασι βυθίσας, Κύριε,
τὴν τοῦ βίου θάλασσαν
ἀκυμάντῳ τῷ πνεύματι·
περαίωσόν με ἵνα ψάλλω σοι
ᾠδὴν ἐπινίκιον.
Ὠδὴ γ'
Κύριε, ὁ ἀναδείξας ἡμῖν
ἣν ἡγιασμένην σκηνὴν καὶ σὴν μητέρα
αὐτῆς ταῖς ἱκεσίαις
στερέωσον ἡμᾶς τοὺς ὑμνοῦντάς σε.
Ὠδὴ δ'
Σὴν σωματωδῶς καθαρθεὶς ὁ προφήτης
παρουσίαν ἐδήλου, Χριστέ, τοῖς ἔθνεσιν·
ἄναρχος υἱὸς ἐξ ἀνάρχου πατρὸς φύτλης
ἐκ κόρης εἰς μερόπων
περαίνει σωτηρίαν καὶ ἀνάπλασιν.
Ὠδὴ ε'
Ρερυπωμένον ἡδοναῖς,
ἀκηλίδωτε ἄναξ,
ἀπόπλυνον τῶν ἐσχάτων
παθῶν μου τὴν ἔφοδον
ἵνα ὀρθρίζων, Κύριε,
δοξάζω τὴν σὴν θεότητα.
Ὠδὴ ϛ'
Ποντίῳ θηρὶ προσριπτούμενος
κληροφόρος Ἰωνᾶς ἀνεβόα πρὸς σέ·
ἡ προσευχή μου ἔλθοι
πρὸς ναόν σου τὸν ἅγιον·
οὕτω κἀγὼ κραυγάζω σοι
τῶν παθῶν με σώσας ἀνάγαγε.
Ὠδὴ ζ'
Ἐμπύρως κάμινος βρίθουσα
ἐν Βαβυλῶνι πάλαι νέους ἐδέξατο
σθενουργοῦντας ἐν νόμῳ
Χριστοῦ τῆς ἀληθείας
διεσώσατο ἀναμέλποντας·
ὁ Θεὸς τῶν πατέρων ἡμῶν εὐλογητὸς εἶ.
Ὠδὴ η'
Ἐστηλίτευσαν πάλαι
τυραννικὴν ἀπόνοιαν παῖδες σοφοὶ
εἰκόνι τῇ χρυσῇ μὴ προσκυνήσαντες
ἀλλ' ἐν πυρὶ δροσούμενοι
τῷ Θεῷ ἀνέμελπον μελῳδίαν·
τὰ ἔργα ὑμνεῖτε πάντα τὸν Κύριον
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
Ὠδὴ θ'
Ὡς φρικτὸν τὸ θαῦμα
τῆς σῆς λοχείας, πάναγνε
μήτηρ Χριστοῦ, ξένον πέφηνε
καὶ τὸ μυστήριον τῆς σῆς Κοιμήσεως·
ὁ υἱός σου γὰρ σήμερον
ἐν χερσὶ τὸ πνεῦμα ὑποδεξάμενος
χοροῖς ἀΰλοις προσήκατο·
ἐν εὐφροσύνῃ τιμῶντες
ἡμεῖς δὲ κατ' ἀμφότερα
μεγαλύνομεν, κόρη, τὸν θεῖον τόκον σου.

179

Ποίημα Γερμανοῦ πατριάρχου

Β φ. 119α

Ὠδὴ γ'. Ἦχος δ'. Ὁ Εἱρμός.
Ἅγιος εἶ, Κύριε ὁ Θεὸς ἡμῶν,
στερέωσον τὰς καρδίας ἡμῶν
εἰς τὸ ὑμνεῖν καὶ δοξάζειν σε.
Ὠδὴ ζ'
Ὁ τῶν πατέρων ἡμῶν Θεὸς
εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

180

Ποίημα Ἀνδρέου Κρήτης

Β φ. 123β

Ὠδὴ β'. Ἦχος δ'. Ὁ Εἱρμός.

* Ὁ λαὸς προσέχετε
τῇ συγκαταβάσει τοῦ Θεοῦ
κλίνατε τὸ οὖς ὑμῶν
εἰς τὰ ῥήματα αὐτοῦ
ὅτι αὐτὸς κατῆλθε
τοῦ ἀνακαλέσασθαι τὸ βρότειον γένος
ἐκ τῆς ἀϊδίου ἐν μέσῳ
καὶ παμφάγου γαστέρος τοῦ ἅδου
καὶ συγκροτεῖ Ἀδὰμ τῷ θεοπάτορι Δαυίδ.

Ὠδὴ ς'

Ζάλῃ με λογισμῶν κατέλαβεν
ἐν πελάγει τοῦ βίου·
διό σοι, σωτήρ, ὡς Ἰωνᾶς
ἀνάγαγε δέομαι
ἐκ βυθοῦ κατωτάτου
καὶ ἐκ φθορᾶς, Κύριε,
καὶ διάσωσόν με.

181

ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΘΕΚΛΑΝ

Ποίημα Γερμανοῦ πατριάρχου

Β φ. 124β

Ὠδὴ α'. Ἦχος δ'. Ὁ Εἱρμός.

* Ὡς Ἰσραὴλ μωσαϊκῶς
χορεύσωμεν πιστοί·
ἄσωμεν τῷ Κυρίῳ
τῷ συντρίψαντι πολέμους
ἐν βραχίονι αὐτοῦ.

Ὠδὴ γ'

Κύριε, ὁ στερεώσας τοὺς ἁγίους σου
καὶ περιβαλὼν αὐτοὺς δύναμιν
κἀμὲ τὸν ἀνάξιον στερέωσον
πρὸς σὴν δοξολογίαν.

Ὠδὴ ε'

Ὀρθρίζοντες βοῶμέν σοι
τῷ ποιητῇ πάντων ἁπάντων,
Χριστὲ ὁ Θεός, σῶσον ἡμᾶς
ἡ ἐλπὶς ἡμῶν, Κύριε.

ΕΙΡΜΟΙ ΠΛ. Α' ΗΧΟΥ

182

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Ἰωάννου μοναχοῦ

124α. Β φ. 156β

Ὠδὴ α'. Ἦχος πλ. α'. Ὁ Εἱρμός.

Ἵππον καὶ ἀναβάτην
εἰς θάλασσαν Ἐρυθρὰν
ὁ συντρίβων πολέμους
ἐν ὑψηλῷ βραχίονι
Χριστὸς ἐξετίναξεν·
Ἰσραὴλ δὲ ἔσωσεν
ἐπινίκιον ὕμνον ἄδοντα.

Ὠδὴ γ'

Ὁ πήξας ἐπ' οὐδενὸς τὴν γῆν τῇ προσ-
[τάξει σου
καὶ μετεωρίσας ἀσχέτως βρίθουσαν
ἐπὶ τὴν ἀσάλευτον, Χριστέ,
πέτραν τῶν ἐντολῶν σου
τὴν ἐκκλησίαν σου στερέωσον,
μόνε ἀγαθὲ καὶ φιλάνθρωπε.

Ὠδὴ δ'

Τὴν θείαν ἐννοήσας σου κένωσιν
ἐξεστηκὼς ὁ Ἀββακούμ,
Χριστέ, ἐν τρόμῳ ἐβόα σοι·
ἐξῆλθες γὰρ εἰς σωτηρίαν λαοῦ σου
τοῦ σῶσαι τοὺς χριστούς σου ἐλήλυθας.

Ὠδὴ ε'

Ὁ ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον
πρὸς σὲ ὀρθρίζω καὶ σοὶ κραυγάζω·
τὴν ψυχήν μου φώτισον
τὴν ἐσκοτισμένην,
Χριστέ, ὡς μόνος εὔσπλαγχνος.

Ὠδὴ ς'

Μαινομένην κλύδωνι
ψυχοφθόρῳ, Δέσποτα Χριστέ,
τῶν παθῶν τὴν θάλασσαν κατεύνασον
καὶ ἐκ φθορᾶς
ἀνάγαγέ με ὡς εὔσπλαγχνος.

Ὠδὴ ζ'

Ὁ ὑπερυψούμενος
τῶν πατέρων Κύριος
τὴν φλόγα κατέσβεσε
τοὺς παῖδας ἐδρόσισε
συμφώνως μελῳδοῦντας
ὁ Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'

Σοὶ τῷ παντουργῷ
ἐν τῇ καμίνῳ παῖδες
παγκόσμιον πλέξαντες
χορείαν ἔψαλλον·
πάντα τὰ ἔργα τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'

Ἠσαΐα χόρευε
ἡ Παρθένος ἔσχεν ἐν γαστρὶ
καὶ ἔτεκεν υἱὸν τὸν Ἐμμανουὴλ
Θεόν τε καὶ ἄνθρωπον
ἀνατολὴ ὄνομα αὐτῷ
ὃν μεγαλύνοντες
τὴν Παρθένον μακαρίζομεν.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

183

ΑΝΑΣΤΑΣΙΜΟΣ
ΚΑΙ ΕΙΣ ΤΗΝ ΑΝΑΛΗΨΙΝ
Ποίημα Ἰωάννου μοναχοῦ

Α φ. 125α. Β φ. 160β

Ὠδὴ α'. Ἦχος πλ. α'. Ὁ Εἱρμός.

Τῷ σωτῆρι Θεῷ
τῷ ἐν θαλάσσῃ λαὸν
ποσὶν ἀβρόχοις ὁδηγήσαντι
καὶ Φαραὼ πανστρατιᾷ καταποντίσαντι
αὐτῷ μόνῳ ἄσωμεν
ὅτι δεδόξασται.

Ὠδὴ γ'

Στερέωσον ἡμᾶς ὁ Θεὸς
τῇ σῇ δυνάμει καὶ κατάβαλε
αἱρετικῶν τὰ φρυάγματα
καὶ ἀνύψωσον τὸ κέρας ἡμῶν.

Εἱρμὸς ἄλλος

Λυνάμει τοῦ σταυροῦ σου, Χριστέ,
στερέωσόν μου τὴν διάνοιαν
εἰς τὸ ὑμνεῖν καὶ δοξάζειν σου
τὴν τριήμερον ἀνάστασιν.

Ὠδὴ δ'

Εἰσακήκοα τὴν ἀκοὴν
τῆς δυναστείας τοῦ σταυροῦ σου·
ὡς παράδεισος ἠνοίγη δι' αὐτοῦ
καὶ ἐβόησα·
δόξα τῇ δυνάμει σου, Κύριε.

Ὠδὴ ε'

Ὀρθρίζοντες βοῶμέν σοι, Κύριε,
σῶσον ἡμᾶς·
σὺ γὰρ εἶ Θεὸς ἡμῶν
ἐκτός σου ἄλλον οὐκ οἴδαμεν.

Ὠδὴ ς'

Ἐκύκλωσέ με ἄβυσσος
καρὴ μοι τὸ κῆτος ἐγένετο·
ἐγὼ δὲ ἐβόησα
πρὸς σὲ τὸν φιλάνθρωπον
καὶ ἔσωσέ με
ἡ δεξιά σου, Κύριε.

Ὠδὴ ζ'

Ὁ ἐν καμίνῳ πυρὸς
τοὺς ὑμνολόγους σώσας παῖδας
εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Τὸν ἐκ πατρὸς πρὸ αἰώνων
γεννηθέντα υἱὸν καὶ Θεὸν
καὶ ἐπ' ἐσχάτων τῶν χρόνων
σαρκωθέντα ἐκ Παρθένου μητρὸς
ἱερεῖς ὑμνεῖτε
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'

Σὲ τὴν ὑπὲρ νοῦν
καὶ λόγον μητέρα Θεοῦ
τὴν ἐν χρόνῳ τὸν ἄχρονον
ἀρρήστως κυήσασαν
οἱ πιστοὶ ὁμοφρόνως μεγαλύνομεν.

184

ΑΝΑΣΤΑΣΙΜΟΣ
Ποίημα Ἰωάννου μοναχοῦ

Α φ. 125β. Β φ. 157β

Ὠδὴ α'. Ἦχος πλ. α'. Ὁ Εἱρμός.

* Πεζοπορῶν ὁ Ἰσραὴλ
ἀνεπίβατον τρίβον
προστάγματι δεσποτικῷ
χαίρων ὑπέβαλλε·
τῷ Κυρίῳ ἄσωμεν
ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ γ'

Τὸ στερέωμα τῶν προστρεχόντων
ἐπὶ σοί, Χριστὲ ὁ Θεός,
τὴν ἐμὴν διάνοιαν στήριξον
τῇ σῇ φιλανθρωπίᾳ
καὶ πρὸς γνῶσιν ἐπαύξαγε
τῶν ἐντολῶν σου, παντοδύναμε.

Ὠδὴ δ'

Ἐλήλυθας ἐπὶ τῆς γῆς
διὰ βροτῶν σωτηρίαν,
παντοδύναμε σωτήρ,
κἀγὼ κατανοήσας ἔφριξα
καὶ ἐδόξασά σου
τὴν ἀκατάληπτον δύναμιν.

Ὠδὴ ε'

Τῷ φῶς τὸ ἀπρόσιτον, Χριστέ,
τὴν ζωὴν τὴν αἰώνιον
ἐκ νυκτὸς ὀρθρίζοντες ὑμνοῦμέν
τὸν μόνον φιλοτιμότην Θεόν.

Ὠδὴ ς'

Κήτους γαστέρα ὑποδὺς ὁ Ἰωνᾶς
οὐκ ἐφθάρη, Δέσποτα,
τῷ σῷ προστάγματι·
ἀλλὰ πρωτύπωσις γέγονε
τῆς τριημέρου ταφῆς σου·
διό σοι ἐκραύγαζεν·
ἀναβήτω ἐκ φθορᾶς ἡ ζωή μου
πρὸς σέ, Κύριε.

Ὠδὴ ζ'

Κατ' εἰκόνα θείαν γεγενημένοι
οὐ χρυσῇ ἐλάτρευσαν

πλάνης εἰκόνι οἱ παῖδες Δαυίδ·
ἀλλ' ἐβόων τῷ κτίσαντι·
ὑπερένδοξε, εὐλογητὸς εἶ, Κύριε
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Σὲ τὸν ποιητὴν
καὶ μεθιστῶντα φύσιν
καὶ τὴν ἄμετρον φλόγα δροσίσαντα
ὑμνοῦμεν, ὑπερένδοξε,
καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'

Τὸ Παρθένον ὑμνεῖσθαι
Θεοτόκον γνωρίζεσθαι
ἄξιον ἀλλ' ὑπὲρ ὕμνον·
ὅσον γὰρ τὴν προσηγορίαν
τοσοῦτον καὶ τῶν ὑμνων ὑπέρκειται·
εἰ δὲ καὶ πρὸς ἀξίαν ἀδύνατον
ἀλλὰ πρὸς δύναμιν μεγαλύνομεν.

185

ΑΝΑΣΤΑΣΙΜΟΣ
Ποίημα Ἰωάννου μοναχοῦ

Φ. 126β. Β φ. 158α

Ὠδὴ α'. Ἦχος πλ. α'. Ὁ Εἱρμός.

* Ὑπὲρ ἐλέους τὸν Θεὸν
δοξάσωμεν οἱ πιστοὶ
ὅτι ἐρρύσατο κόσμον ἐκ πλάνης
καὶ ἐπινίκιον ᾠδὴν
ἄσωμεν ὅτι δεδόξασται.

Ὠδὴ γ'

Ἐν πέτρᾳ τῆς πίστεως, Χριστέ,
τοὺς πόδας μου στερέωσον
ἵνα ηὐλλω σοι τὸν ὕμνον
οὐκ ἔστιν ἅγιος ὡς σὺ
καὶ οὐκ ἔστι δίκαιος
πλὴν σου, Κύριε.

Ὠδὴ δ'

Ὃν ἐγγίζειν τὰ ἔτη ἐπεγνώσθης, Χριστέ,
τὴν Παρθένον οἰκήσας
καὶ Θεοτόκον ἀπεργασάμενος.

Ὠδὴ ε'

Ὁ ἀναβαλλόμενος τὸ φῶς ὥσπερ ἱμά-
[τιον
ἐν τῷ σκότει ἔλαμψας
τῷ ἀνθρωπίνῳ βίῳ
διὰ σαρκὸς ὁμιλῶν καὶ ἴδιυνας
τὴν ζωὴν ἡμῶν, Κύριε.

Ὠδὴ ς'

Φεύγει προβλέπων ὁ Ἰωνᾶς
τὴν προφητικὴν μεταβαίνουσαν χάριν
εἰς τὰ ἔθνη ἀπὸ τῶν Ἰουδαίων
καὶ κήτει παραδίδοται
καὶ διασώζεται
Χριστοῦ προτυπῶν τὴν ἔγερσιν.

Ὠδὴ ζ'

Μέσον τῆς φλογὸς τῆς καιομένης
ἑστηκότες οἱ παῖδες
ἐν καμίνῳ ἐδροσίζοντο
καὶ ὑμνοῦντες ἐβόων·
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Τὸν ἐν μέσῳ φλογὸς
καμίνου καιομένης
παῖδας δροσίζοντα
μορφῇ ἀγγέλου τοῖς θεόφροσι
συγκαταβάντα Λόγον
πιστοὶ ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Ἐν παρθένοις μήτηρ ἀπειράνδρος
οὐ γέγονεν ἐν γυναιξὶ
καὶ τεκοῦσα πάλιν παρθένος
βροτῶν γενεαῖς οὐκ ὤφθη
εἰ μὴ σὺ ἡ μόνη Θεὸν κυήσασα
ὃν ἀκαταπαύστως
ἐν φωναῖς ἀσμάτων μεγαλύνομεν.

186

ΑΝΑΣΤΑΣΙΜΟΣ
Ποίημα Ἰωάννου μοναχοῦ

Α φ. 127β. Β φ. 159α

Ὠδὴ α'. Ἦχος πλ. α'. Ὁ Εἱρμός.

* Σάλου τὸν Ἰσραὴλ
ἐρυθραίου ἔσωσας
κλύδωνι καλύψας
Αἰγυπτίους ὁπλίτας
κραταιῶς ὁ Θεὸς ἡμῶν.

Ὠδὴ γ'

Ὁ πρὸ πάντων αἰώνων
γεννηθεὶς ἐκ Θεοῦ καὶ πατρὸς
τὴν ἐκκλησίαν σου στήριξον ὡς φιλάν-
[θρωπος.

Ὠδὴ δ'

Ἐξ ὄρους ἄνευ χειρὸς
λίθος ἐτμήθης, Χριστέ,
ἐκ τῆς Παρθένου μητρός·
ὅθεν σου τὴν ἔλευσιν
ὁ προφήτης προϊδὼν ἀνεβόα·
εἰς σωτηρίαν λαοῦ σου ἐλήλυθας
δόξα τῇ δυνάμει σου, Κύριε.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

Ὠδὴ ε΄
Ἐκ νυκτὸς ὀρθριζοντες
ὑμνοῦμέν σε, Χριστὲ ὁ Θεός·
τὴν σὴν εἰρήνην παράσχου ἡμῖν
διότι φῶς τὰ προστάγματά σου
ἐπὶ τῆς γῆς ἐποίησας.
Ὠδὴ ς΄
Πρὸς Κύριον ἐβόησα
ἐν στεναγμοῖς τῆς καρδίας μου·
καὶ ὑπήκουσέ μου
καὶ ἐκ φθορᾶς ἀνήγαγε
τὴν ζωήν μου ὡς φιλάνθρωπος.
Ὠδὴ ζ΄
Πυρίπνοοι νεανίαι
κατέσβεσαν τὴν ὑλώδη κάμινον
τῶν Χαλδαίων θεολογοῦντες·
πάτερ ἀγέννητε
υἱὲ συνάναρχε
δροσοβόλε Παράκλητε
Πνεῦμα πανάγιον
εἰς αἰῶνας εὐλογητὸς εἶ.
Ὠδὴ η΄
Τρεῖς παῖδας ἐν καμίνῳ ἐδρόσισας
καὶ φλόγα καιομένην κατέσβεσας
καὶ ἔδειξας τὴν δόξαν σου,
Χριστὲ εἰς τοὺς αἰῶνας.
Ὠδὴ θ΄
Ἐξέλιπεν ἐξ Ἰούδα ἄρχων,
Χριστέ, καὶ ἡγούμενος·
ἐκ γὰρ τῆς ῥίζης Ἰεσσαὶ
τῶν ἐθνῶν ἡ προσδοκία,
σωτήρ, ἐβλάστησας·
διὸ πάντες σε σὺν τῇ τεκούσῃ μεγαλύνομεν.

187

[ΑΝΑΣΤΑΣΙΜΟΣ]

Ποίημα Ἰωάννου μοναχοῦ

Α φ. 128β. Β φ. 159β

Ὠδὴ α΄. Ἦχος πλ. α΄. Ὁ Εἱρμός.
* Ἄσωμεν Χριστῷ τῷ δεδοξασμένῳ
ἐνδόξως γὰρ δεδόξασται·
ἵππον καὶ ἀναβάτην
βυθῷ κατεκύλισε
καὶ διήγαγε λαὸν
τὸν ποτὲ ἐκλεκτὸν αὐτοῦ
νῦν δὲ θεομάχον
καὶ κυριοκτόνον.
Ὠδὴ γ΄
Ὁ στερεώσας τῷ λόγῳ τοὺς οὐρανοὺς
καὶ τὴν γῆν ἑδράσας Θεὸς
κάμὲ στερέωσον
βοῶντά σοι τὸν ὕμνον
ἅγιος εἶ, Κύριε.
Ὠδὴ δ΄
Εἰσακήκοα τὴν ἀκοὴν τῆς δυναστείας σου, [Κύριε,
καὶ ἐδόξασα, φιλάνθρωπε,
τὴν ἀκατάληπτόν σου δύναμιν.
Ὠδὴ ε΄
Τοὺς ἐκ νυκτὸς
προσκυνοῦντάς σε, Χριστέ,
ἐλέησον καὶ εἰρήνην δώρησαι·
διότι φῶς τὰ σὰ προστάγματα
ἐγένοντο ἰάματα τοῖς δούλοις σου.
Ὠδὴ ς΄
Ὡς ὁ προφήτης Ἰωνᾶς,
Χριστέ, κραυγάζω σοι·
τὴν ζωήν μου ἐκ φθορᾶς
καὶ θανάτου ἐλευθέρωσον
τῇ δυνάμει, ὡς οἰκτίρμων,
τοῦ τιμίου σου σταυροῦ.
Ὠδὴ ζ΄
Ἐξεκαύθη μὲν κάμινος
παισὶ θανατηφόρος
ἀλλὰ τούτοις ἐδείκνυτο
ὁ ὕμνος δροσοβόλος·
τῷ ἀρχηγῷ τῆς ζωῆς γὰρ ἐβόων
καὶ Θεῷ τῶν πατέρων ἡμῶν
εὐλογητὸς εἶ.
Ὠδὴ η΄
Οὐκ ἰσχύει λόγος ὁ τυραννικὸς
ἀλλ' ἰσχύει νόμος ὁ δεσποτικός·
ὅθεν παῖδες οἱ δαυϊτικοὶ
κατεπάτησαν φλόγα τὴν χαλδαϊκὴν
καὶ ἐκραύγαζον· ὡς ὑπερύμνητον
εὐλογεῖτω ὡς ὑπερένδοξον
ὑπερυψούτω ἡ κτίσις τὸν Κύριον.
Ὠδὴ θ΄
Μεγαλύνομέν σε, Παρθένε ἄχραν
μακαρίζομέν σε, μῆτερ ἀλόχευτε,
σὺν τῷ λειτουργῷ σου κράζοντες Γαβρ
χαῖρε, Θεοτόκε·
γήθονται γὰρ ἐν σοὶ
ὀρθοδόξων τὰ συστήματα.

188

[ΑΝΑΣΤΑΣΙΜΟΣ]

Ποίημα Ἀνδρέου Κρήτης

Α φ. 129β. Β φ. 162β

Ὠδὴ α΄. Ἦχος πλ. α΄. Ὁ Εἱρμός.
Ὠδὴν ἐπινίκιον προσάξωμεν λα
τῷ ῥυσαμένῳ Θεῷ
ἐκ δουλείας Φαραώ

τὸν Μωσέως λαόν·
ἐνδόξως γὰρ δεδόξασται.
Ὠδὴ β΄
Δώσωμεν μεγαλωσύνην Κυρίῳ
τῷ ζῶντι εἰς τοὺς αἰῶνας.
Ὠδὴ γ΄
Στερέωσόν με, Κύριε,
τὸν ἐν βίῳ χειμαζόμενον
καὶ χεῖρά μοι ἔκτεινον ὡς παντοδύναμος.
Ὠδὴ δ΄
Ἀκήκοα, Κύριε, τὴν ἀκοήν σου
καὶ δοξάζω σε, φιλάνθρωπε.
Εἱρμὸς ἄλλος
Ἀκήκοα, Κύριε, τὴν πρὸς ἡμᾶς σου συμ- [πάθειαν
καὶ ἐδόξασά σου
τὴν ἀῒδιον δύναμιν.
Εἱρμὸς ἄλλος
Ἀνάτειλον, Χριστὲ ὁ Θεός,
τὸ φῶς τῆς γνώσεώς σου
καὶ φώτισον τὰς καρδίας ἡμῶν
καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.
Ὠδὴ ς΄
Τοῦ κήτους τὸν προφήτην ἐλυτρώσω
ἐμὲ δὲ ἐκ βυθοῦ ἁμαρτημάτων
ἀνάγαγε, Κύριε, καὶ σῶσόν με.
Ὠδὴ ζ΄
Εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ βλέπων ἀβύσσους
καὶ ἐπὶ θρόνου δόξης καθήμενος
ὑπερύμνητος καὶ ὑπερένδοξος.
Εἱρμὸς ἄλλος
Ὑψουμένη κάμινος
καὶ θυμὸς τυραννικὸς
τοὺς εὐσεβεῖς οὐκ ἐπτόησε παῖδας
θαρσαλέως βοῶντας·
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.
Ὠδὴ η΄
Τὸν ποιητὴν τῆς κτίσεως
ὃν φρίττουσι ἄγγελοι
ὑμνεῖτε λαοὶ
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
Ὠδὴ θ΄
Μεγαλύνομεν, Χριστέ,
τὴν σὴν πανάμωμον μητέρα ἁγνὴν
ὅτι ἔτεκέ σε ὑπερφυῶς κατὰ σάρκα
πάσης πλάνης καὶ καταφθορᾶς
ἡμᾶς ἐκλυτρούμενος.

189

[ΑΝΑΣΤΑΣΙΜΟΣ]

Ποίημα Γερμανοῦ πατριάρχου Κωνσταντινουπόλεως

Α φ. 130β. Β φ. 161α

Ὠδὴ α΄. Ἦχος πλ. α΄. Ὁ Εἱρμός.
Ἄσωμεν τῷ Κυρίῳ τῷ ποιήσαντι
θαυμαστὰ τέρατα
ἐν Ἐρυθρᾷ θαλάσσῃ
ὠδὴν ἐπινίκιον
ὅτι δεδόξασται.
Ὠδὴ β΄
Φιλάνθρωπος ὑπάρχεις ὁ σωτὴρ ἡμῶν
καὶ δίκαιος μόνος.
Ὠδὴ γ΄
Ἐπὶ τὰ ἔθνη ὁ Θεὸς ἐβασίλευσεν
ὁ Θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτο
καὶ ψάλλομεν αὐτῷ συνετῶς
ὡς βασιλεῖ ἡμῶν.
Ὠδὴ δ΄
Τὰ ἔργα τῆς οἰκονομίας σου, Κύρι
ἐξέστησαν τὸν προφήτην Ἀββακούμ·
ἐξῆλθες γὰρ εἰς σωτηρίαν λαοῦ σο
τοῦ σῶσαι τοὺς χριστούς σου ἐλήλυθας
Ὠδὴ ε΄
Τὸ φῶς τὸ ἀληθινόν, Χριστὲ ὁ Θεό
πρὸς σὲ ὀρθρίζει τὸ πνεῦμά μου
ἐκ νυκτός· ἐπίφανον
ἐπ' ἐμὲ τὸ πρόσωπόν σου.
Ὠδὴ ς΄
Ἐβόησα ἐν ὅλῃ καρδίᾳ μου
πρὸς τὸν οἰκτίρμονα Θεὸν
καὶ ἐπήκουσέ μου
ἐξ ἅδου κατωτάτου
καὶ ἀνήγαγεν ἐκ φθορᾶς τὴν ζωήν μου·
Ὠδὴ ζ΄
Ὁ τῶν πατέρων καὶ ἡμῶν
Θεὸς εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας.
Εἱρμὸς ἄλλος
Τῆς Τριάδος τὴν δόξαν
θεοσεβῶς τυπώσαντες παῖδες
κάμινον πάλαι πυρὶ φλεγομένην
εἰς δρόσον μετέβαλον
καὶ ὑμνοῦντες ἔψαλλον·
εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν
Ὠδὴ η΄
Τὸν τοῦ παντὸς δημιουργὸν
καὶ σωτῆρα τῶν ψυχῶν ἡμῶν
ἱερεῖς εὐλογεῖτε

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

λαὸς ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.
Ὠδὴ θ'
Σοὶ τὸ χαῖρε κράζομεν
τῇ προξένῳ τῆς χαρᾶς
καὶ σέ, Θεοτόκε,
κατὰ χρέος μακαρίζομεν.
Εἱρμὸς ἄλλος
Σὲ τὴν μακαρίαν ἐν γυναιξὶ
καὶ εὐλογημένην ὑπὸ Θεοῦ
τῶν ἀνθρώπων τὸ γένος
ἐν ὕμνοις μεγαλύνομεν.

190

[ΑΝΑΣΤΑΣΙΜΟΣ]

Ποίημα Γερμανοῦ πατριάρχου

Α φ. 131α. Β φ. 161β

Ὠδὴ α'. Ἦχος πλ. α'. Ὁ Εἱρμός.

* Διώξας καταλήψομαί σε,
εἶπεν ὁ ἐχθρός,
τῇ ταπεινῇ ψυχῇ μου·
ἀλλ' ἐν βυθῷ ταρτάρῳ
καταποντίσας αὐτὸν
ὡς τὸν Ἰσραὴλ διάσωσόν με, Χριστέ,
κραυγάζοντά σοι ἐπινίκιον ᾠδήν.
Ὠδὴ β'
Τῇ ἀῤῥάστῳ σαρκώσει σου
σὺν ἀγγέλοις οἱ οὐρανοὶ
ὑμνοῦσί σε, Χριστέ,
μεθ' ὧν σοι καὶ βροτοὶ
μεγαλωσύνην ἀεὶ προσάγομεν.
Ὠδὴ γ'
Ὅτι Θεὸς πλουτίζων ταπεινοὺς
σὺ εἶ, Κύριε,
καὶ ζωογονῶν τοὺς τεθανατωμένους
τὴν νεκρωθεῖσαν τῇ ἁμαρτίᾳ ψυχήν μου
ἐν τῷ θελήματί σου στερέωσον
ἵνα κράζω σοι·
οὐκ ἔστιν ἅγιος
πλὴν σου, φιλάνθρωπε.
Ὠδὴ δ'
Προβλεπτικοῖς ὀφθαλμοῖς
ὁ Ἀββακοὺμ κατανοήσας σε
τὸν ἐξ ἀπειράνδρου μητρὸς
ἄνευ χειρὸς τμηθέντα λίθον
συμφώνως ἐκραύγαζε·
δόξα, Χριστέ, τῇ δυνάμει σου.
Ὠδὴ ε'
Τοὺς ζοφεροὺς τῆς ἁμαρτίας
τῶν παθῶν ἐπιστάτας
ἀποδιώξας μου τῆς ψυχῆς
πρὸς τὸ φῶς τῶν ἐντολῶν σου
φωταγώγησόν με ὡς μόνος εὔσπλαγχνος.
Ὠδὴ ς'
Ψυχοφθόρου με θηρὸς
σπλάγχνοις ἀεὶ βυθιζόμενον,
τὴν ἐν σκότει μου ψυχὴν
ἐπακούσας, Κύριε, ὡς τὸν Ἰωνᾶν
τάχος ἀνάγαγε καὶ σῶσόν με.
Ὠδὴ ζ'
Θεοῦ φόβον οὐχ εἵλοντο καταλεῖψαι
οἱ νικηφόροι παῖδες
ἀλλ' ἐβόων· ἐξακολουθοῦμεν ἐν ὅλῃ τῇ [καρδίᾳ·
καὶ τὴν διαχεομένην πιτοῦντες κάμινον
εὐχαρίστως ἐψάλλον·
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.
Ὠδὴ η'
Τὴν ὑμνοπλόκον φωνὴν
τῶν θεσπεσίων σου παίδων
μιμούμενοι ὁ Θεὸς
συνεκτικῶς τὰ ποιήματα πάντα
εὐλογεῖτε βοῶμεν τὸν Κύριον.
Ὠδὴ θ'
Ὕμνον σοι κατ' ἀξίαν
προσάγειν οὐκ ἰσχύομεν,
ἀπειρόγαμε μῆτερ Θεοῦ,
ἡ ὑπερτέρα πάσης κτίσεως
ὡς τὸν υἱόν σου σέβοντες
σὲ κατὰ χρέος μεγαλύνομεν.
Εἱρμὸς ἄλλος
Μεγαλύνομέν σε, Θεοτόκε ἄχραντε,
σὺ γὰρ συνέλαβες τὸν ζωοδότην
καὶ ἐκύησας ἡμῖν Χριστὸν τὸν Θεὸν
αὐτὸν ἱκέτευε
σωθῆναι τὰς ψυχὰς ἡμῶν.

191

ΕΙΣ ΤΗΝ ΚΥΡΙΑΚΗΝ ΤΟΥ ΤΥΦΛΟΥ

Ποίημα Ἀνδρέου ἐπισκόπου Κρήτης

Α φ. 132β. Β φ. 162β

Ὠδὴ α'. Ἦχος πλ. α'. Ὁ Εἱρμός.

Γῆν ἣν οὐκ ἔλαμψε
οὐκ εἶδεν ἥλιος ποτὲ
ἄβυσσον, ἣν οὐκ ἔφραξε γομὴν
τὸ κύτος οὐρανοῦ
Ἰσραὴλ διῴδευσεν
ἀβρόχοις, Κύριε·
καὶ πηγάσας ἰαμάτων
εἰς ὅρος ἁγιάσματός σου

ἄδοντα ψάλλοντα
ἐπινίκιον ᾠδήν.
Ὠδὴ β'
Πρόσεχε οὐρανὲ καὶ λαλήσω
καὶ ἀνυμνήσω Χριστὸν
τὸν δι' ἡμᾶς ἐκ Παρθένου σαρκωθέντα
καὶ φθορὰν καὶ θάνατον
τῷ πάθει καθελόντα.
Ὠδὴ γ'
Σαλευομένην τὴν καρδίαν μου, Κύριε,
τοῖς κύμασι τοῦ βίου
στερέωσόν με εἰς λιμένα εὔδιον
καθοδηγῶν ὡς Θεός.
Ὠδὴ δ'
Ἀκήκοα, Κύριε,
τὴν ἀκοήν σου καὶ ἐφοβήθην
κατενόησα τὴν οἰκονομίαν σου
καὶ ἐδόξασά σε, φιλάνθρωπε.
Ὠδὴ ε'
Τὴν τάλαιναν ψυχήν μου
νυκτομαχοῦσαν τῷ σκότει τῶν παθῶν
προφθάσας οἰκτειρον
καὶ λάμψον, νοητὲ ἥλιε,
ἡμεροφαεῖς ἀκτῖνας ἐν ἐμοὶ
τοῦ διατμῆξαι τὴν νύκτα τὸ φῶς.
Ὠδὴ ς'
Ὡς τὸν προφήτην τοῦ θηρὸς
ἐρρύσω, Κύριε,
κἀμὲ τοῦ βυθοῦ τῶν παρανόμων παθῶν
ἀνάγαγε δέομαι
ἵνα προσθήσω τοῦ ἐπιβλέψαι
πρὸς ναὸν τὸν ἅγιόν σου.
Ὠδὴ ζ'
Πυρὸς σβεστήριον
τῶν παίδων ἡ προσευχὴ
δροσίζουσα κάμινος
κήρυξ τοῦ θαύματος
μὴ φλογίζουσα μηδὲ συγκαίουσα
τοὺς ὑμνολόγους Θεοῦ
τῶν πατέρων ἡμῶν.
Ὠδὴ η'
Ἀγγέλων σύστημα
ἀνθρώπων σύλλογος
τὸν βασιλέα καὶ κτίστην τοῦ παντὸς
ἱερεῖς ὑμνεῖτε
εὐλογεῖτε λευῖται
λαὸς ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.
Ὠδὴ θ'
Ὅτι ἐποίησέ σοι μεγαλεῖα ὁ δυνατὸς
Παρθένον ἀναδείξας σε
ἁγνὴν μετὰ τὴν κύησιν
τεκοῦσαν ἀσπόρως τὸν ἑαυτῆς ποιητήν·
διό σε, Θεοτόκε, μεγαλύνομεν.

192

ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΒΑΡΒΑΡΑΝ

Ποίημα Ἀνδρέου Κρήτης

Α φ. 133β. Β φ. 164α

Ὠδὴ α'. Ἦχος πλ. α'. Ὁ Εἱρμός.

Ἄσωμεν τῷ Κυρίῳ τῷ θαυμαστῷ
ὅτι ἐκ πικρᾶς ἠλευθέρωσε
δουλείας τὸν Ἰσραὴλ
τὸν δὲ Φαραὼ
παντρατεῖ ἐβύθισεν.
Ὠδὴ β'
Ἴδετε ἴδετε
ὅτι ἐγώ εἰμι Θεὸς
ὁ σάρκα ἐνδυσάμενος
βουλήσει ἑκουσίᾳ
ἵνα σώσω τὸν Ἀδὰμ
τὸν ἐκ πλάνης πεσόντα
τῇ παραβάσει διὰ τοῦ ὄφεως.
Εἱρμὸς ἄλλος
Ὡς ὄμβρος ἐπ' ἄγρωστιν
καὶ ὡς καθάπερ νιφετὸς ἐπὶ χόρτον
οὕτω με δροσίζει,
Κύριε, τὸ ἔλεός σου.
Ὠδὴ γ'
Στερέωμά μου γενοῦ
καὶ καταφυγή μου, σωτήρ,
καὶ τῆς βασιλείας σου
καταξίωσον, Λόγε,
τοὺς εἰλικρινεῖ καρδίᾳ
ὁμολογοῦντας, Λέσποτα,
τὴν θείαν σου σάρκωσιν.
Ὠδὴ δ'
Τῆς οἰκονομίας σου τὸ μυστήριον
κατανοήσας ὁ Ἀββακοὺμ
μυστικῶς τὴν ἔλευσιν
τῆς παρουσίας σου
προδιαγράφων ἀνέκραζεν·
ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ
ἐν τῷ παρεῖναι τὸν καιρόν,
Κύριε, ἀναδειχθήσῃ.
Ὠδὴ ε'
Δικαιοσύνην μάθωμεν
οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς
καὶ νοῦν ἐκκαθάρωμεν
διεγηγερμένῃ καρδίᾳ
πρὸς τὸν οἰκτίρμονα Θεὸν
ἐκ νυκτὸς ὀρθρίζοντες.
Ὠδὴ ς'
Εἰς βάθη ἀπέρριψαι θαλάσσης
ἐκ τῶν ἀναγκῶν μου ῥοαί με
καὶ ὥσπερ ἐκ τοῦ κήτους ἀνήγαγες
τὸν προφήτην Ἰωνᾶν

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

οὕτως κἀμὲ δέομαι
προφθάσας διάσωσον
ἐκ τῶν τοῦ βίου κακῶν.
Ὠδὴ ζ΄
Ὁ Θεὸς τῶν πατέρων ἡμῶν
ὑπερύμνητος εἶ
εἰς πάντας τοὺς αἰῶνας.
Εἱρμὸς ἄλλος
Ὁ τοὺς παῖδας ἐν καμίνῳ δι'ἀγγέλου φυ-
[λάξας
προμηνύων δι' αὐτῶν
τὴν τεκοῦσάν σε ἄφθορον Παρθένον·
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.
Ὠδὴ η΄
Τῷ δημιουργῷ τῶν ἁπάντων
οἱ θεοφόροι παῖδες
ἐν καμίνῳ τὸν ὕμνον προσήγαγον
καὶ ὑμνοῦντες ἐβόων
εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.
Εἱρμὸς ἄλλος
Πάντα τὰ ἔργα τοῦ Θεοῦ
καὶ πᾶσα κτίσις
εὐλογεῖτε τὸν Κύριον.
Ὠδὴ θ΄
Τὴν ἀπείρανδρον νύμφην
καὶ μητέρα τοῦ Λόγου
τὴν ἁγίαν Παρθένον μεγαλύνομεν.
Εἱρμὸς ἄλλος
Θεοτόκε ἄχραντε
μητροπάρθενε ἁγνή,
ἐν φωναῖς ἀσμάτων μεγαλοφώνως
οἱ πιστοὶ τὸν τόκον σου μεγαλύνομεν.

193

ΕΙΣ ΤΗΝ ΕΥΡΕΣΙΝ ΤΗΣ ΤΙΜΙΑΣ ΚΕΦΑΛΗΣ ΤΟΥ ΠΡΟΔΡΟΜΟΥ

Ποίημα Ἀνδρέου Κρήτης

Λ φ. 135α. Β φ. 165α
Ὠδὴ α΄. Ἦχος πλ. α΄. Ὁ Εἱρμός.
Ἄσωμεν τῷ σωτῆρι τῶν ὅλων
τῷ ἑκουσίᾳ βουλῇ
ἐπὶ ξύλου προσηλωθέντι
καὶ τὸν κόσμον φωτίσαντι.
Εἱρμὸς ἄλλος
Θεὸς ἐφάνη ἐπὶ γῆς
λυτρωσάμενος τὸ γένος ἡμῶν
ἐξ εἰδωλομανίας·
αὐτῷ μόνῳ ἄσωμεν.
Ὠδὴ β΄
Ἴδετε ἴδετε
ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν
ὁ ἐν θαλάσσῃ σώσας λαὸν
καὶ ἐν ἐρήμῳ θρέψας αὐτὸν
καὶ ἄνθρωπος γεγονὼς
ἵνα σώσω τὸ γένος τῶν ἀνθρώπων.
Εἱρμὸς ἄλλος
Ἀληθινὰ τὰ ἔργα Κυρίου τοῦ Θεοῦ
[ἡμῶν
καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ κρίσεις.
Ὠδὴ γ΄
Στερέωσόν με, μόνε οἰκτίρμον,
δυνάμει τοῦ σταυροῦ σου·
ἐν αὐτῷ γὰρ καυχῶμαι
ὅτι οὐκ ἔστιν ἅγιος πλὴν σου, Κύριε.
Εἱρμὸς ἄλλος
Στερέωσόν με, Κύριε,
πρὸς τὴν σὴν ὑμνῳδίαν
ὁ στερεώσας οὐρανοὺς
τῷ λόγῳ τῆς σοφίας σου.
Ὠδὴ δ΄
Ὁ προφήτης Ἀββακοὺμ
προορῶν σε, Χριστέ,
εὐχαρίστῳ τῇ φωνῇ
ἀνεκήρυττε βοῶν·
τὴν ἀκοήν σου ἀκήκοα
καὶ ἐφοβήθην
τὰ ἔργα πάντα κατενόησα
καὶ ἐξέστην, Κύριε.
Ὠδὴ ε΄
Κύριε ὁ Θεὸς ἡμῶν σῆσαι ἡμᾶς·
Κύριε, ἐκτός σου ἄλλοι οὐκ οἴδαμεν
τὸ ὄνομά σου ὀνομάζομεν
λάμψον ἐπὶ πάντας τὸ φῶς.
Ὠδὴ ς΄
Ἐκ κοιλίας ᾅδου κραυγῆς μου
ἤκουσας φωνῆς μου
καὶ ἐρρύσω ἐκ φθορᾶς
τὴν ζωήν μου, πολυέλεε.
Ὠδὴ ζ΄
Εὐλογητὸς εἶ, Κύριε
ὁ Θεὸς τῶν πατέρων ἡμῶν
εἰς πάντας τοὺς αἰῶνας
καὶ δεδοξασμένος
ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν
οἷς ἐποίησας ἡμῖν.
Ὠδὴ η΄
Τὸν βασιλέα Χριστὸν
ὅτι ὑμνεῖ τὰ χερουβὶμ
καὶ δοξάζει σεραφὶμ
ὑμνεῖτε λαοὶ
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ΄
Σὲ τῇ ἀφράστῳ λόγῳ
τὸν κτίστην συλλαβοῦσαν γαστρὶ
— χαρὰν γὰρ τεκοῦσα
ζωὴν πᾶσιν ἐδωρήσω —
[ἀνυμνοῦμεν], παμμακάριστε.

194

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Ἀνδρέου Κρήτης

Λ φ. 136α. Β φ. 165β
Ὠδὴ α΄. Ἦχος πλ. α΄. Ὁ Εἱρμός.
* Ἐπάγη ὡσεὶ τεῖχος τὰ ὕδατα
ἐπάγη καὶ τὰ κύματα
ἐν μέσῳ τῆς θαλάσσης
καὶ διέβη ὁ λαὸς τοῦ Ἰσραὴλ
ὠδὴν ἐπινίκιον μωσαϊκῶς
ἀναμέλπων τῷ Θεῷ
ὅτι δεδόξασται.
Ὠδὴ β΄
Ἴδετε ἴδετε
ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν
ὁ διὰ σπλάγχνα οἰκτιρμῶν
μορφὴν λαβὼν τὴν τοῦ δούλου
ὁ εἰς μὲν τῇ ὑποστάσει
διπλοῦς δὲ τῇ οὐσίᾳ.
Ὠδὴ γ΄
Στερέωμά μοι γενοῦ
ἵνα μὴ σαλεύσῃ με ὁ ἐχθρὸς
εἰς τέλος ἀπὸ τῶν ἐντολῶν σου
ὁ Θεός μου δέομαι καὶ ἐλέησόν με.
Ὠδὴ δ΄
Τὴν ἀκοήν σου, Κύριε,
ἀκήκοα καὶ ἐφοβήθην
κατενόησα τὰ ἔργα σου καὶ ἐξέστην
δόξα τῇ δυνάμει σου.
Ὠδὴ ε΄
Ἐκ νυκτὸς ὀρθρίζοντες
ὑμνοῦμέν σε, Χριστὲ ὁ Θεός,
διότι φῶς καὶ τὰ σὰ προστάγματα
ἐγένοντο ἰάματα τοῖς δούλοις σου.
Ὠδὴ ς΄
Ἀνάγαγέ με ὁ Θεὸς
ἐκ βυθοῦ τῶν πταισμάτων μου
ὁ τὸν προφήτην Ἰωνᾶν
ἐκ κοιλίας τοῦ κήτους ἀναγαγὼν
καὶ κυβέρνησόν με
τὸν ἐν βίῳ χειμαζόμενον.
Ὠδὴ ζ΄
Παῖδες Ἑβραίων
συγκαλούσης εἰκόνος
ἐν Δειρᾷ πάντας πρὸς δυσσέβειαν
οὐχ ὑπεκλάπησαν φρόνημα·
ἀλλ' ἐμβληθέντες ἐν πυρὶ
θεοφρόνως ἐβόων·
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.
Ὠδὴ η΄
Πᾶσα πνοὴ
τὸν ἐν οὐρανοῖς ἀνυμνούμενον
καὶ ἐπὶ γῆς δοξολογούμενον
εὐλογεῖτε ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.
Ὠδὴ θ΄
Ὦ θαῦμα ! καὶ γὰρ θαῦμα
καὶ τὸ τελούμενον ὅσον
ἐπὶ σοί, Θεοτόκε·
καινοτομοῦνται φύσεις
καὶ Θεὸς ἄνθρωπος γίνεται
ὃν ἐν δυσὶ ταῖς φύσεσι
θεολογοῦντες μεγαλύνομεν.

195

Ποίημα Ἀνδρέου Κρήτης

Λ φ. 137α. Β φ. 166α
Ὠδὴ α΄. Ἦχος πλ. α΄. Ὁ Εἱρμός.
* Ἅρματα Φαραὼ
καὶ τὴν δύναμιν αὐτοῦ
ἐπιλέκτους ἀναβάτας
τριστάτας κατεπόντισεν
ἐν Ἐρυθρᾷ θαλάσσῃ ὁ Κύριος·
αὐτῷ μόνῳ ἄσωμεν
ὅτι δεδόξασται.
Ὠδὴ β΄
Ἔγνωμεν ἔγνωμεν
ὅτι σὺ εἶ ἡμῶν Θεὸς
ὁ τὸν λαὸν τοῦ Ἰσραὴλ
διαθρέψας ἐν τῇ ἐρήμῳ
καὶ κορέσας τοῦτον ὕδωρ
ἐκ πέτρας στερεᾶς
καὶ ὁδηγήσας ἐν νεφέλῃ ἡμέρας
καὶ ὅλην τὴν νύκτα
ἐν φωτισμῷ πυρὸς ὡς δυνατός.
Ὠδὴ γ΄
Ὁ στερεώσας οὐρανὸν
καὶ γῆν ἐδράσας ἐπὶ ὑδάτων πολλῶν
στερέωσον ἡμᾶς εἰς τὸν φόβον σου
Ὠδὴ δ΄
Ὁ ἐν μορφῇ ὑπάρχων τοῦ πατρὸς
μορφὴν δούλου ἔλαβεν
ἣν καὶ ἐθέωσεν

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

ἀμεταβλήτως ἀτρέπτως·
αὐτῷ μελῳδήσωμεν·
δόξα, Χριστέ,
τῇ ἀφράστῳ δυνάμει τοῦ κράτους σου.

Ὠδὴ ε'

Ἐκ νυκτὸς τὸ πνεῦμά μου
διέγειρον, Χριστὲ ὁ Θεός,
πρὸς τὴν σὴν δοξολογίαν
ὅτι σὺ ὑπάρχεις
φωτὸς καὶ εἰρήνης ἀπαύγασμα.

Ὠδὴ ϛ'

Συνάναρχε ἰσότιμε
Θεὲ θεῶν Κύριε
ὡς τὸν προφήτην Ἰωνᾶν με ἀνακάλεσαι
καὶ σῶσόν με ὡς φιλάνθρωπος.

Ὠδὴ ζ'

Ὁ δι' ἀγγέλου τοὺς παῖδας διασώσας
καὶ τὴν βροντῶσαν κάμινον
μεταβαλὼν εἰς δρόσον
εὐλογητὸς εἶ, Κύριε.

Εἱρμὸς ἄλλος

Οὐ κατεπλάγησαν τρισόλβιοι παῖδες
δυσσεβοῦς βασιλέως ἀπειλαῖς
περιστοιχούμενοι δὲ
οὐ τὴν βροντῶσαν ὑπεστάλησαν κάμινον
ἀλλ' αὐτὴν σβέσαντες θείᾳ δρόσῳ
εὐλογητὸς εἶ ὁ Θεὸς
τῶν πατέρων ἀνέμελπον.

Ὠδὴ η'

Πατρώοις νομίμοις
καὶ θείοις διαπρέψαντες κατορθώμασιν
ἔψαλλον τρεῖς παῖδες
ἐν μέσῳ τῆς φλογὸς
ὑγρᾶς ἐκ νεφέλης
δρεπόμενοι ἀναψυχὴν
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'

Ἐκ γαστρὸς πρὸ ἑωσφόρου
ἀφράστως ὁ γεννηθεὶς
ἐκ τοῦ πατρὸς μονογενὴς
ἐκ τῶν παναμώμων σαρκοῦται αἱμάτων σου·
διὰ τοῦτο κυρίως Θεοτόκον σε
ὁμολογοῦντες μεγαλύνομεν.

196

ΑΚΟΛΟΥΘΙΑ ΣΙΝΑΪΤΙΚΗ

Α φ. 138β. Β φ. 167α

Ὠδὴ α'. Ἦχος πλ. α'. Ὁ Εἱρμός.

* Τῷ ἐν νεφέλῃ φωτεινῇ
τὸν Ἰσραὴλ ὁδηγήσαντι
ᾠδὴν ἐπινίκιον
λαοὶ πάντες ἄσωμεν.

Ὠδὴ β'

Τῷ ἐν ἐλέει πλουσίῳ
καὶ δημιουργῷ
καὶ σωτῆρι καὶ Κυρίῳ
μεγαλωσύνην καὶ αἴνεσιν προσάξωμεν.

Εἱρμὸς ἄλλος

Πρόσεχε οὐρανὲ καὶ λαλήσω
καὶ ἀνυμνήσω τὸν Θεὸν
τὸν ἐκ μήτρας παρθενικῆς
προελθόντα σαρκί.

Ὠδὴ γ'

Οὐκ ἔστιν ἅγιος ὡς ὁ Κύριος
δεδοξασμένος ποιῶν τέρατα.

Ὠδὴ δ'

Εἰσακήκοα, Κύριε, τὴν ἀκοήν σου
[καὶ ἐφοβήθην
κατενόησα τὰ ἔργα σου
καὶ σὺν φόβῳ ὕμνησά σου τὴν δύναμιν.

Ὠδὴ ε'

Ὁ Θεὸς ὁ Θεός μου
πρὸς σὲ ὀρθρίζω σῶσόν με.

Εἱρμὸς ἄλλος

Φώτισόν μου τὸν νοῦν
τῷ φωτισμῷ, Χριστέ, τῆς σῆς ἐπιγνώ-
[σεως
καὶ ὁδήγησον ἐπὶ τὰ κρίματα τῆς δικαιοσύ-
[νης σου
ὅτι πρὸς σὲ ὀρθρίζει
τὸ πνεῦμά μου, πολυέλεε.

Ὠδὴ ϛ'

Ἐβόησα, ἐν θλίψει μου,
σωτήρ μου, δεόμενος
ῥῦσαί με τῆς περιεχούσης με
ὀδύνης καὶ θλίψεως,
ὡς ἐλεήμων, μνησθείς σου τῆς χρηστότητος.

Εἱρμὸς ἄλλος

Ἐβόησα ἐν θλίψει μου
πρὸς σὲ τὸν φιλάνθρωπον
καὶ ἔσωσέ με
ἡ δεξιά σου, Κύριε.

Ὠδὴ ζ'

Παραδόξῳ δροσισμῷ
σωθέντες οἱ παῖδες ἐκ πυρὸς
δαπανωμένης τῆς φλογὸς
ὁρῶντες ὡς ὕλην τὸν ἐχθρὸν
ὡς ἐν θαλάμῳ χορεύοντες ἔψαλλον
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν
καὶ δεδοξασμένος εἰς πάντας τοὺς
[αἰῶνας.

Ὠδὴ η'

Οἱ ὅσιοί σου παῖδες
ἐν τῇ καμίνῳ, Χριστέ,
ἀνυμνοῦντές σε ἔλεγον·
εὐλογεῖτε τὰ ἔργα
Κυρίου τὸν Κύριον.

Εἱρμὸς ἄλλος

Τὸν διαδροσίσαντα τὴν κάμινον
καὶ παῖδας φυλάξαντα
ἐν μέσῳ καιομένης φλογὸς
παῖδες θεολογεῖτε
ἱερεῖς ὑμνολογεῖτε
λαὸς ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Σὲ τὴν ὄντως νοερὰν κιβωτόν,
Θεοτόκε ἀπείρανδρε,
οἱ πιστοί σε πάντες μεγαλύνομεν.

Εἱρμὸς ἄλλος

Ῥάβδος Ἀαρὼν
ἀρδείας ἄνευ ἐβλάστησε
σὲ σαφῶς προτυποῦσα
τὴν ἀλοχεύτως τεκοῦσαν
Χριστὸν τὸν Θεὸν ἡμῶν·
διό σε ὕμνοις, Θεοτόκε,
ἀξίως μεγαλύνομεν.

197

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Γεωργίου [Ἁγιοπολίτου]

Α φ. 139β. Β φ. 168α

Ὠδὴ α'. Ἦχος πλ. α'. Ὁ Εἱρμός.

* Χρυσοκολλήτοις ἅρμασι
γαυρούμενος Φαραὼ
φυγάδα λαὸν ἐδίωκε·
Μωσῆς δὲ ῥάβδῳ θάλασσαν
προστάγματι θεϊκῷ
τεμὼν Ἰσραὴλ διέσωσε·
καὶ τοῖς μὲν κατακλυστήριον
τοῖς δὲ διαβατήριον
εἰργάσατο μέλπουσι·
τῷ Κυρίῳ ἄσωμεν
ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ β'

Πρόσεχε οὐρανὲ
καὶ ἐνωτίζου ἡ γῆ
καὶ δῶμεν μεγαλωσύνην
Κυρίῳ τῷ Θεῷ ἡμῶν.

Ὠδὴ γ'

Τὸ κέρας μου ὕψωσον
καταβεβλημένον ὑπὸ τῆς ἁμαρτίας
τὸ ὄνειδος ἄφελε
τῆς ἐμῆς ῥαθυμίας
τῷ φωτισμῷ σου, Κύριε,
ἵνα κράζω ὡς ἡ Ἄννα
ἡ στείρα ἔτεκεν ἑπτὰ
καὶ ἡ πολλὴ ἐν τέκνοις ἠσθένησεν.

Ὠδὴ δ'

Ἀπὸ Θαιμὰν ἥξει ὁ Θεὸς ὁ ἅγιος
ἐξ ὄρους τῆς παρθένου μητρὸς
προφητικῶς ἐκραύγαζεν
Ἀββακοὺμ προκατιδὼν τὴν ἔλευσιν
ἐξῆλθες εἰς σωτηρίαν λαοῦ σου
τοῦ σῶσαι τοὺς χριστούς σου, ὡς εὔσπλα-
[χνο

Ὠδὴ ε'

Ἀσεβεῖς οὐκ ὄψονται τὴν δόξαν σου
[Χριστ·
ἀνομοῦντες διακενῆς
ἀλλ' ἡμεῖς οἱ λατρεύοντες
ὁμολογοῦμεν εὐσεβῶς
σὺν πατρὶ καὶ Πνεύματι
δι' οὗ καὶ φωτιζόμεθα.

Ὠδὴ ϛ'

Τὸν ἄστατον κλύδωνα
τῶν παθῶν μου κατεύνασον
καὶ ἐκ πυθμένων ἅδου με
ὡς Ἰωνᾶν ἀφάρπασον, Χριστέ·
πρὸς σὲ γὰρ ἐβόησα
τὸν ἐκ φθορᾶς θανάτου ῥυόμενον.

Ὠδὴ ζ'

Ὡς τῇ χρυσῇ εἰκόνι
μὴ προσκυνήσαντες
οἱ Ἀβραμιαῖοι παῖδες
τὸν ἔμπυρον ἀέρα τῆς καμίνου μετέ-
[βαλον
καὶ Χαλδαίοις μὲν φλογιστήριον
αὐτοῖς δὲ δροσιστήριον
εἰργάσαντο μέλποντες·
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Θυμὸν καὶ φλόγα οἱ τρεῖς νεανίαι
ἀνδρείως συμπατοῦντες,
ὡς τὴν ἀπαράλλακτον Θεοῦ εἰκόνα
τεθεάμενοί σε ἐν καμίνῳ,
ὃν προσκυνοῦντες, συμφώνως ἀνέμελπον·
εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον
τὸν δεδοξασμένον εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'

Ναὸν ὑψίστου
καὶ παράδεισον νοητὸν
καὶ παστάδα φωτεινὴν
τὴν ἀνατείλασαν ἡμῖν

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

τὸν ἥλιον Χριστὸν
σὲ ἄσμασιν ἀγγελικοῖς
ὡς Θεοῦ μητέρα μεγαλύνομεν.

198

Ποίημα Γεωργίου [Ἁγιοπολίτου]

Λ φ. 141α. Β φ. 169α

Ὠδὴ α'. Ἦχος πλ. α'. Ὁ Εἱρμός.

* Τῷ τὸν ὑψαύχενα πάλαι Φαραὼ
ἐν θαλάσσῃ βυθίσαντι
σὺν ἅρμασι καὶ ἀναβάταις
Ἰσραηλίτην δὲ λαὸν
παραδόξως σώσαντι
ἠπειρώσαντι ὑγρὰν
ἄσωμεν Χριστῷ ὅτι δεδόξασται.

Ὠδὴ β'

Μεγαλωσύνην αἰνέσεως
δῶμεν Χριστῷ τῷ Θεῷ
τῷ ἐκ Παρθένου δι' ἡμᾶς
σαρκωθέντι ἀῤῥήτως
καὶ σώσαντι τὸν ἄνθρωπον.

Ὠδὴ γ'

Ὁ κραταιᾷ χειρί σου
καὶ λόγῳ φερεσβίῳ, Χριστέ,
πόλον καὶ χθόνα ἑδράσας ἀσχέτως
ἣν οἰκείῳ αἵματι
περιεποιήσω ἐκκλησίαν σου
ἐν τῇ στερρᾷ κρηπίδι στερέωσον
ὅτι Θεὸς οὐκ ἔστιν
ἅγιος πλὴν σου, φιλάνθρωπε.

Ὠδὴ δ'

Πνεύματι θείῳ καθαρθεὶς ὁ προφήτης ἐμπνευσθεὶς δὲ παρ' αὐτοῦ Ἀββακοὺμ ὁ [θειότατος
προφητεύσας ἔλεγεν·
ἐν τῷ ἐγγίζειν τὰ ἔτη
ἐπιγνωσθήσεται Θεὸς
εἰς σωτηρίαν ἀνθρώποις δόξα σοι.

Ὠδὴ ε'

Λόγε Θεοῦ ἐνυπόστατε
καὶ εἰρήνη πάντα νοῦν ὑπερέχουσα
καὶ φῶς ἀληθινὸν
εἰρήνευσον καὶ φώτισον
τοὺς ἐκ νυκτός σοι ὀρθρίζοντας.

Ὠδὴ ς'

Ναὸν εἰς ἅγιόν σου
τὸν ἐπουράνιον ἔλθοι μου ἡ προσευχὴ
ὡσὼ σοι ὡς Ἰωνᾶς
ἐκ βάθους οὐ θαλάσσης ἀλλ' ἁμαρτίας
ἀφ' οὗ με ἀνάγαγε, Κύριε.

Ὠδὴ ζ'

Λαβρότατον πῦρ κατεδουλώσαντο
θεοσεβοῦντες παῖδες·
διὸ παρὰ φύσιν ἐδρόσιζε
τοὺς εὐκαταφλέκτους κατὰ φύσιν
ἀλλ' ὑπὲρ φύσιν ἀνδρείως βοῶντας·
εὐλογημένος εἶ, Κύριε,
ἐπὶ θρόνου δόξης τῆς βασιλείας σου.

Ὠδὴ η'

Στερρῶν παίδων ἡ τρισσότης
σθένος ἐνδεδυμένη,
τρισόλβιοι νεανίαι
κατέπτυσαν Δεηράν
καὶ θαυμαστοῦται φύσις βροτεία
ὡς τὸ πῦρ νοτίδι ἐστάλαξεν
ἀνενοχλήτους φιλάξειν
οὓς ἐσπαργάνωσεν
ὁ ἐκβλύσας σοφίαν
ἐπὶ πάντα τὰ ἔργα σου
ὁ Θεὸς εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Ἡ ἐξ Ἅδου ἀποσθεῖσα φύσις ἡμῶν
διὰ τῆς προμήτορος
ἀνακέκληται αὖθις διὰ σοῦ
νέον Ἀδὰμ ἡμῖν τεκούσης
Χριστὸν ἐν δυσὶ ταῖς φύσεσι,
Παρθένε ἁγνή,
καὶ σκιρτᾷ μὲν Ἀδὰμ ὁ σὸς προπάτωρ
λυτρωθεὶς τῆς ἀρχαίας ἀρᾶς·
ἡμεῖς ἐπὶ σοὶ καυχώμενοι,
ὡς διὰ σοῦ ἐπιγνόντες
Θεόν σε μεγαλύνομεν.

199

Ποίημα Ἠλία πατριάρχου Ἱεροσολύμων

Αἱ μὲν τέσσαρες ᾠδαὶ κατ' ἄβ, αἱ δὲ λοιπαὶ τέσσαρες ἀντιστρόφως.

Λ φ. 142α. Β φ. 170α

Ὠδὴ α'. Ἦχος πλ. α'. Ὁ Εἱρμός.

* Ἄτριπτον ὁδὸν πεζεύσας Ἰσραὴλ
βραχίονι Θεοῦ ὑψηλῷ
γένος τὸ Αἰγύπτιον ἐῶρα βυθιζόμενον
διαπορθμεύσας δὲ ὑγρὰν ἐκραύγαζεν·
ὁ δεδοξασμένος
Θεὸς ἡμῶν δεδόξασται.

Ὠδὴ β'

Ἴδετε ἴδετε καὶ γνῶτε
ὅτι ἐγώ εἰμι Θεὸς

ὁ οὐρανὸν καὶ γῆν συστησάμενος
καὶ τεχθεὶς ὡς ἄνθρωπος
ἐκ Παρθένου κόρης
ὡς δημιουργὸς
καὶ μόνος φιλάνθρωπος.

Ὠδὴ γ'

Ὡς στηριγμὸς καὶ ἱλασμὸς
ψυχῆς καὶ σώματος προσφύγιον,
Χριστέ, περίζωσόν με ἐξ ὕψους δύναμιν
φώτισον καὶ πλούτισον·
σὺ γὰρ πέλεις ἅγιος.

Ὠδὴ δ'

Ἀκουτίσθητι φωνῆς τοῦ Χριστοῦ
βλέπων Ἀββακοὺμ τῶν προρρηθέντων [τὴν ἔκβασιν·
γεγονὼς γὰρ δι' ἡμᾶς
βροτὸς ἐκ Θαιμανίτιδος
δασέος ὄρους Λόγος Θεοῦ προσελεύσεται
εἰς σωτηρίαν ἡμῶν δοξάσαι τὸν ἄνθρωπον.

Ὠδὴ ε'

Ὦ πῶς ἐπιλέλησαί μου εἰς τέλος
ψυχῆς ἀποστρέφων ἀπ' ἐμῆς σου πρόσωπον·
Χριστέ, ἡμέρας κεκράξομαι πρὸς σὲ
καὶ νυκτὸς καὶ οὐκ εἰσακούσει
φώτισόν μου τοὺς ὀφθαλμοὺς
μήποτε εἰς θάνατον ὑπνώσω·
πρὸς σὲ γὰρ ἐπώρθρισα.

Ὠδὴ ς'

Ἀπὸ πολλῶν πταισμάτων μου ῥῦσαί με, [Χριστέ,
βυθοῦ γὰρ ἐπίγην εἰς ἰλὺν
καὶ οὐκ ἔστιν ὑπόστασις·
γυμνὸς δὲ ἦλθον εἰς τὰ βάθη τῆς θα- [λάσσης
καὶ καταιγὶς κατεπόντισέ με·
διὰ τοῦτο δός μοι χεῖρα
ὡς Ἰωνᾶ καὶ σῶσόν με.

Ὠδὴ ζ'

Ὡς ἐκ τῆς Σιὼν βαίνοντες
πρὸς γῆν Χαλδαϊκὴν
ψυχαγωγούμενοι πατρώου νόμου προστά- [ξεσι
χρυσότευκτον πρὸς ἔνδαλμα
ἀντικαθίσταντο
φαιδρῶς δὲ παῖδες ἐν καμίνῳ ἀνέμελπον·
ὁ τῶν κτισμάτων Κύριος
εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας.

Ὠδὴ η'

Ἀναίσθητον ἄψυχον τρεῖς νεανίαι
τὰς μὴ προσκυνήσαντες ἐν πεδίῳ Δεηρᾷ
γεγόνασι τῶν ἀγγέλων συνόμιλοι
δροσοδότῃ ἐν φλογὶ πυρὸς κραυγά- [ζοντες·
εὐλογείτω ἡ κτίσις
ὑμνεῖτε ἱερεῖς
καὶ ὑπερυψοῦτε
λαοὶ Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Ὦ τῶν θαυμάτων τῶν καινῶν, ἀπειρό- [γαμε!
ψυχὴν γὰρ καὶ σῶμα προκαθαρθεῖσα τῷ [Πνεύματι
χάριν εὗρες παρὰ Κυρίου
ὑπὲρ πᾶσας νεάνιδας γυναικῶν
φῶς καὶ ζωὴν ἡμῖν κυήσασα·
διό σε, Θεοτόκε, μεγαλύνομεν.

200

Ποίημα Στεφάνου μοναχοῦ [Σαββαΐτου] [1]

Λ φ. 144α. Β φ. 171β

Ὠδὴ α'. Ἦχος πλ. α'. Ὁ Εἱρμός.

* Τῷ καταδιελόντι εἰς διαιρέσεις
νάματα ἐρυθραῖα
ξένῃ δὲ τρίβῳ
Ἰσραηλίτην κλῆρον διαγαγόντι
ἄσωμεν τῷ Θεῷ ἡμῶν
ἆσμα ἐπινίκιον
ὅτι δεδόξασται.

Ὠδὴ β

Ἴδετε ἴδετε
ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν
ὁ πρὸ τῶν αἰώνων
γεννηθεὶς ἐκ τοῦ πατρὸς
ἐπ' ἐσχάτων δὲ τῶν χρόνων
ἐκ Παρθένου σαρκωθεὶς
καὶ σώσας τὸν ἄνθρωπον.

Ὠδὴ γ'

Ὅτι ἐν σοὶ ἡ ὕμνησις ἡμῶν,
παντουργὲ Κύριε,
πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεως
τοῦ σοῦ βοᾶν εἰλικρινῶς
ἅγιος εἶ, Κύριε.

Ὠδὴ δ'

Θαυμάσια κατεῖδεν
ὁ Ἀββακοὺμ φρικτὰ
τῆς ἐνανθρωπήσεως,
Λόγε Θεοῦ μονογενές,
καὶ ἐκστὰς ἐκραύγαζεν·
εἰς σωτηρίαν λαοῦ σου
παρεγένου, φιλάνθρωπε.

---

(1) Ἐν τῷ Κώδ. 220 Coislin τῶν Παρισίων ἐπιγράφεται οὕτω : Ποίημα Ἰωάννου μοναχοῦ ἀνεψιοῦ Ἰωάννου τοῦ Δαμασκηνοῦ.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

Ὠδὴ ε'
Τῷ ζόφῳ τῆς ἁμαρτίας
ὁδοιποροῦντά με
πρόφθασον, Κύριε,
καὶ φώτισόν μου
τῆς διανοίας τὰ ὄμματα
ἐκ νυκτὸς ὀρθρίζειν
τοῖς προστάγμασί σου.
Ὠδὴ ϛ'
Τὸν Ἰωνᾶν μιμούμενος
ἐκ κήτους τῆς ἁμαρτίας
ἀναβήτω κράζω σοι
ἡ ζωή μου, Κύριε·
ὅπως θύσω σοι ψυχὴν
μετὰ φωνῆς αἰνέσεως.
Ὠδὴ ζ'
Διήλθοσαν διὰ πυρὸς
οἱ γενναιότατοι παῖδες
ὑπὲρ τοῦ σοῦ, Κύριε, ὀνόματος
ὧν τὸ πῦρ οὐχ ἥψατο
εὐσεβῶς μελῳδούντων·
τῶν πατέρων ὁ Θεὸς
ὁ ἄναρχος εὐλογητὸς εἶ.
Ὠδὴ η'
Πᾶσα πνοὴ καὶ πᾶσα κτίσις
τὸν συνοχέα τοῦ παντὸς
καὶ δημιουργὸν εὐλογεῖτε
ὑμνεῖτε καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.
Ὠδὴ θ'
Σὲ τὴν φοβερὰν προστασίαν
τοῦ γένους τῶν ἀνθρώπων,
Μαρία Θεοτόκε,
οἱ σωθέντες τῷ τόκῳ σου
ἀκαταπαύστως ἐν φωναῖς
ἀσμάτων μεγαλύνομεν.

201

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΑΝΑΣΤΑΣΙΟΝ

Α φ. 145α

Ὠδὴ α'. Ἦχος πλ. α'. Ὁ Εἱρμός.
* Πεζοπορῶν ὁ Ἰσραὴλ
τῆς ἀβύσσου τὸ τέρμα
θείῳ προστάγματι
τάφον δὲ τοῖς ἐναντίοις
ταύτην ὁρῶν
εὐήχως ἀνέμελπε Θεῷ
ἆσμα ἐπινίκιον
τερατουργοῦντι ἐξαίσια
ὅτι δεδόξασται.

Ὠδὴ β'
Οὐρανοὺς δι' εὐσπλαγχνίαν
Θεὲ θεῶν Κύριε,
κλίνας ὡς οἶδας ἐσαρκώθης
παρθενικῶν ἐκ λαγόνων·
διό σοι τῷ Δεσπότῃ
μεγαλωσύνην ἀεὶ προσάγομεν.
Ὠδὴ γ'
Ἐν τῇ πέτρᾳ με τῶν ἐντολῶν σου
δονούμενον στερέωσον
ὕψωσόν μου τὸ κέρας
ἐν τῇ συνέσει τῶν σῶν δογμάτων
ἵνα καυχώμενος βοῶ σοι·
οὐκ ἔστι πλήν σου ἅγιος,
Κύριε τῶν δυνάμεων.
Ὠδὴ δ'
Τὸ θεῖον τῆς ἐπιφανείας σου κάλλος
ὁ προφήτης κατιδὼν
καὶ τὴν συγκατάβασιν ἐξιστάμενος
τῆς σαρκώσεως, Χριστέ,
προανεφώνησεν·
ἀπὸ Θαιμὰν ἥξει ὁ Κύριος
ἱλασμὸν τῷ κόσμῳ δωρούμενος.
Ὠδὴ ε'
Τῆς δικαιοσύνης ἥλιε νοητὲ
φώτισόν με
νυκτὶ παθῶν κατασχεθέντα
καὶ ὁδήγησον πρὸς τὴν θείαν τρίβον
ὅτι μόνος εἰρήνης σὺ δεσπόζεις.
Ὠδὴ ϛ'
Εἰ καὶ ζάλη κατέσχε με,
σῶτερ, ἁμαρτημάτων
καὶ ἐν μυχοῖς με κατάγει
ψυχοφθόροι βυθοῦ
ἀλλ' ὡς τὸν πάλαι Ἰωνᾶν,
Χριστέ, ἀνάγαγε
ὅπως θύσω σοι κἀγὼ
μετὰ φωνῆς αἰνέσεως.
Ὠδὴ ζ'
Ὁ τὴν κάμινον σβέσας
ἐν Βαβυλῶνι τοῦ πυρὸς
καὶ τοὺς παῖδας ἐν αὐτῇ
ὡς ἐν θαλάμῳ φυλάξας
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.
Ὠδὴ η'
Τὸ πατρικὸν δόγμα φρουροῦντες
νέοι τρεῖς ἐν Βαβυλῶνι
ἀθέῳ δόγματι
εὐσεβῶς μὴ πειθόμενοι
καταδίκης, μέσον
πυρὸς ἑστῶτες ἐβόων·

εὐλογεῖτε πάντα τὰ ἔργα
τὸν παντουργὸν Κύριον εἰς τοὺς αἰῶνας.
Ὠδὴ θ'
Ἡ γαστήρ σου ὤφθη
πλατυτέρα τῶν οὐρανῶν
καὶ ἐνδοξοτέρα μόνη ἐδείχθης
θαυμάτων ὑπερτέρα,
Θεοτόκε, τεκοῦσα τὸν ἀχώρητον
καὶ ἀΐδιον Θεόν·
διό σε κατὰ χρέος
βροτῶν τὸ γένος ἀπαύστως μεγαλύνομεν.

202

ΕΙΣ ΤΗΝ ΚΥΡΙΑΚΗΝ ΤΟΥ ΑΝΤΙΠΑΣΧΑ

Ποίημα Θεοδώρου τοῦ Στουδίτου

Α φ. 146α. Β φ. 173α

Ὠδὴ α'. Ἦχος πλ. α'. Ὁ Εἱρμός.
* Τὴν θάλασσαν ὡς ξηρὰν
πεζοπορῶν ὁ Μωυσῆς
αὐτὸς διεσώζετο·
Φαραὼ δὲ ἐν βυθῷ
εἰσδύσας ὤλετο·
ὅθεν Ἰσραὴλ μελῳδῶν
τὸ ἐπινίκιον ἆσμα
ἔμελπέ σοι, Κύριε.
Ὠδὴ β'
Ἐξ ὕψους οὐρανῶν,
δημιουργέ, πρόσεχε
τῇ ἡμῶν ταπεινώσει
ἐπομβρίζων καρδίαις
δρόσον τὴν τοῦ Πνεύματος
ἀληθινὰ γὰρ τὰ ἔργα σου, Κύριε.
Ὠδὴ γ'
Ἐστερεώθη ἡ καρδία μου
ἐν τοῖς τῆς πίστεως θεμελίοις
ὑψώθη ἐν τοῖς τῆς γνώσεως στύλοις τὸ [πνεῦμά μου
καὶ πλατύνας τὸ στόμα μου
μεγαλοφώνως ἐκβοῶ·
οὐκ ἔστιν ἅγιος ὡς ὁ Κύριος
ὁ λόγῳ ἑδράσας τὰ σύμπαντα.
Ὠδὴ δ'
Τὰ ἔργα τῆς οἰκονομίας σου, Κύριε,
ἐξέστησαν τὸν προφήτην Ἀββακούμ·
ἐξῆλθες γὰρ εἰς σωτηρίαν λαοῦ σου
τοῦ σῶσαι τοὺς χριστούς σου ὡς εὔ- [σπλαγχνος.
Ὠδὴ ε'
Φῶς ἐκ φωτὸς ὑπάρχων
σὺ ὁ ἀληθινὸς ἥλιος, Χριστέ,
καταύγασόν μου τὸν νοῦν
ἐσκοτισμένον τοῖς πάθεσι
τῷ φωτισμῷ τῶν ἐντολῶν σου, ἀ
Ὠδὴ ϛ'
Θαλάσσης κυμαινομένης σφοδρό
τὴν ψυχὴν τοῖς πάθεσι ταραττό
κατέδυσα ἐμαυτὸν
εἰς βυθὸν ἁμαρτημάτων·
ἀλλ' ὁ ἐκ κήτους Ἰωνᾶν ἀναγα
κἀμὲ πταισμάτων φθορᾶς
ἀνάγαγε, πολυέλεε Χριστέ.
Ὠδὴ ζ'
Παραδόξῳ δροσισμῷ
σωθέντες οἱ παῖδες ἐκ πυρὸς
δαπανωμένης τῆς φλογὸς
ὁρῶντες ὡς ὕλην τὸν ἐχθρὸν
ὡς ἐν θαλάμῳ χορεύοντες ἔψαλλ
εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν
καὶ δεδοξασμένος
εἰς πάντας τοὺς αἰῶνας.
Ὠδὴ η'
Ὑπὲρ τὸ πῦρ θερμοτέραν
τὴν πίστιν ἔχοντες
πρὸς σὲ οἱ παῖδες, Χριστέ,
τῇ φλογιζούσῃ καμίνῳ οὐκ ἐχωνεύθη
ἀλλ' ὡς ἐν δρόσῳ παρόντες
πίστει ἐκραύγαζον·
εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύ
Ὠδὴ θ'
Πάναγνε μῆτερ Θεοτόκε Παρθ
ἡ χωρήσασα τὸν ἀχώρητον Λόγον
καὶ τεκοῦσα ἀφράστως
τὸ πῦρ τῆς θεότητος
σὲ μακαρίζομεν
καὶ ἀπαύστως μεγαλύνομεν.

203

Ποίημα Θεοδώρου τοῦ Στουδίτο

Β φ. 174α

Ὠδὴ α'. Ἦχος πλ. α'. Ὁ Εἱρμός.
* Τὸ ἀνυπόστατον ὕδωρ τῆς θαλάσ
θεουργικῇ δυνάμει
ὁ Μωυσῆς διέρρηξε
καὶ διήγαγε λαὸν
ἐπινίκιον μέλποντα·
τῷ Κυρίῳ ἄσωμεν
ἐνδόξως γὰρ δεδόξασται.
Ὠδὴ γ'
Στήριγμα πιστῶν
καὶ ἀγαλλίαμα ὑπάρχεις, Χριστέ,
στερέωσον κἀμὲ τὸν ἐν βίᾳ ἀεὶ
τῶν παθῶν κλυδωνιζόμενον.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

Ὠδὴ δ'

Ἐκ κατασκίου δασέος κόρης
ἐνανθρωπῆσαι, Χριστέ, ηὐδόκησας
σῶσαι βουλόμενος τοὺς χριστούς σου ὡς
[φιλάνθρωπος·
δθεν εὐχαρίστως σὺν τῷ προφήτῃ
Ἀβακούμ σοι βοᾶμεν·
δόξα τῇ δυνάμει σου.

Ὠδὴ ε'

Φῶς ἐκ φωτὸς ὑπάρχων
σὺ ὁ ἀληθινὸς ἥλιος, Χριστέ,
καταύγασόν μου τὸν νοῦν
ἐσκοτισμένον τοῖς πάθεσι
τῷ φωτισμῷ τῶν ἐντολῶν σου, ἀγαθέ.

Ὠδὴ ς'

Ἐβόησεν ἐκ τῶν τοῦ ἅδου ἐσχάτων ὁ Ἀδάμ
ὁ Θεός μου ρῦσαί με
τὸν παραπεσόντα
καὶ ὁμοιωθεὶς ἐλθὲ εἰς τὸ σῶσαί με.

Ὠδὴ ζ'

Τὸ πῦρ ἐν Βαβυλῶνι ποτὲ
θεομαχοῦντας κατέφλεξε
θεολογοῦντας δὲ ἐδρόσισε·
μεθ' ὧν ἀνακράζομεν
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Λιχμαλώτους παῖδας οὐκ ἐφόβισε
πρόσταγμα τυραννικόν·
τῷ γὰρ θείῳ φόβῳ καὶ πόθῳ
τὸ φρόνημα στηριχθέντες
τοῦ πυρὸς τὴν φλόγα ἐκτιναξάμενοι
ἅδουσιν ἐνθέως·
εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ'

Ῥάβδος βλαστήσασα
δαυϊτικῆς ἐκ ῥίζης
σύ, Θεοτόκε πανύμνητε,
ἄνθος ὡραιότατον
ἡμῖν ἀνέτειλας
τῆς ἀρχαίας πρόξενον μακαριότητος·
διό σε πάντες ἐν ὕμνοις
ἀκαταπαύστως μεγαλύνομεν.

204

ΑΚΟΛΟΥΘΙΑ ΣΙΝΑΪΤΙΚΗ

Ἦχ. φ. 167β

Ὠδὴ α'. Ἦχος πλ. α'. Ὁ Εἱρμός.

Θεὸς ἐφάνη ἐπὶ γῆς
λυτρωσάμενος τὸ γένος ἡμῶν
ἐξ εἰδωλομανίας·
αὐτῷ μόνῳ ἄσωμεν.

Ὠδὴ β

Ἀληθινὰ τὰ ἔργα
Κυρίου τοῦ Θεοῦ ἡμῶν
καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ κρίσεις.

Ὠδὴ γ'

Στερέωσόν με, Κύριε,
πρὸς τὴν σὴν ὑμνῳδίαν
ὁ στερεώσας οὐρανοὺς
τῷ λόγῳ τῆς σοφίας σου.

Ὠδὴ δ'

Ἀκήκοα, Κύριε, τὴν πρὸς ἡμᾶς σου συνοι-
[δειαν
καὶ ἐδόξασά σου
τὸ φιλάνθρωπον, Λέσποτα.

Ὠδὴ ε'

Φώτισόν μου τὸν νοῦν
τῷ φωτισμῷ, Χριστέ, τῆς σῆς ἐπιγνώσεως
καὶ ὁδήγησον ἐπὶ τὰ κρίματα τῆς δικαιοσύ-
[νης σου

ὅτι πρὸς σὲ ὀρθρίζει
τὸ πνεῦμά μου, πολυέλεε.

Ὠδὴ ς'

Ἐβόησα ἐν θλίψει μου,
σωτήρ μου, δέομαί σου
ῥῦσαί με τῆς περιεχούσης με
ὀδύνης κακώσεως
ὡς ἐλεήμων μνησθείς σου τῆς χρηστότητος.

Ὠδὴ ζ'

Ὁ τοὺς παῖδας ἐν καμίνῳ δι' ἀγγέλου
[φιλάξας

προμηνύων δι' αὐτῶν
τὴν τεκοῦσάν σε ἄφθορον Παρθένον
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Πάντα τὰ ἔργα τοῦ Θεοῦ
καὶ πᾶσα κτίσις
εὐλογεῖτε τὸν Κύριον.

Ὠδὴ θ'

Θεοτόκε ἄχραντε
μητροπάρθενε ἁγνή,
ἐν φωναῖς ἁσμάτων
μεγαλοφώνως οἱ πιστοὶ
τὸν τόκον σου μεγαλύνομεν.

205

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Δαμιανοῦ μοναχοῦ

Ἦχ. φ. 172β

Ὠδὴ α'. Ἦχος πλ. α'. Ὁ Εἱρμός.

(Οἱ ἐπ' ὀνόματι τοῦ Δαμιανοῦ ἀναφερ-
μενοι Εἱρμοὶ προεγράφησαν ἤδη ἐπ' ὀνό-

τοῦ μοναχοῦ Ἰωάννου κατὰ τὴν τάξιν τοῦ
ψαλτικοῦ Κώδ. : ἔδ. ἀρ. 183).

Ὠδὴ ς'

Ἀνάγαγέ με ὁ Θεὸς
ἐκ βυθοῦ τῶν πταισμάτων μου
ὁ τὸν προφήτην Ἰωνᾶν
ἐκ κοιλίας τοῦ κήτους ἀναγαγὼν
καὶ κυβέρνησόν με
τὸν ἐν βίῳ χειμαζόμενον.

206

Ποίημα Ἀνδρέου Κρήτης

Ἦχ. 175α

Ὠδὴ α'. Ἦχος πλ. α'. Ὁ Εἱρμός.

Ὁ Μωυσῆς τὸν λαὸν τοῦ Ἰσραὴλ
ἐκ πικρᾶς πλινθουργίας ἠλευθέρωσεν·
ὁ Χριστὸς δὲ τῶν ἀνθρώπων τὸ γένος
ἐξ εἰδώλων μανίας ἐλυτρώσατο·
αὐτῷ βοήσωμεν
αὐτῷ τὸν ὕμνον εἴπωμεν·
ὅμοιός σοι ἐν θεοῖς οὐκ ἔστιν ἄλλος
κυρίων τέρατα, Χριστέ,
ἐν χειρὶ τῇ κραταιᾷ.

Ὠδὴ γ'

Περίζωσόν με, Δέσποτα Χριστὲ ὁ Θεός,
ἐξ ὕψους δύναμιν
καὶ τῇ βάσει τῆς πίστεως στερέωσον
ἐν αὐτῇ τὴν ἐκκλησίαν σου πηξάμενος
ἵνα βοῶ σοι· ἅγιος οὐκ ἔστι
πλὴν σου, φιλάνθρωπε.

Ὠδὴ δ'

Ὑμνοῦμέν σε τὸν τῶν ὅλων Κύριον
ὃν προῳδὼν Ἀββακοὺμ ἀνεβόα·
ἀκήκοα, Κύριε, τὴν ἀκοήν σου
καὶ ἐδόξασά σε, πολυέλεε.

Ὠδὴ ε'

Φῶς τὸ ἀληθινὸν σὺ ὑπάρχεις, Κύριε.
φώτισόν μου τὸν νοῦν τὸν ἐσκοτισμένον
καὶ δώρησαί μοι, σωτήρ,
τὴν εἰρήνην σου ὡς φιλάνθρωπος.

Ὠδὴ ς'

Ὡς Ἰωνᾶν ὁ Θεὸς
προώσω τοῦ κήτους πάλαι στενάξαντα
κἀμὲ τῶν παθῶν ὡς ἐκ βυθοῦ
ἀνάγαγε δέομαι καὶ σῶσόν με.

Ὠδὴ ζ'

Εὐλογητὸς εἶ, δεδοξασμένε Κύριε
Θεὸς τῶν πατέρων ἡμῶν
ὁ ὑπ' ἀγγέλων ἀνυμνούμενος
καὶ ὑπερύμνητος ὑπάρχεις
ἐν πίσῃ τῇ σοφίᾳ σου·

Ὠδὴ η'

Ὑπερζέει τῷ θυμῷ ὁ βασιλεὺς
τοῦ καμίνου τὴν [λ]άβραν

ματαίοις εἰδώλοις
καὶ δόγμα ἐξέθετο
προσκυνῆσαι τὸ ἄψυχον·
οἱ δὲ εὐσεβεῖς ὄντες παῖδες
ἡ τρίκλονος ῥίζα
Τριάδα προτυπώσαντες
ἀχώριστοι διέμειναν πυρὶ
παραδώσαντες τὰ σώματα αὐτῶν·
διὸ δροσιζόμενοι ἔψαλλον·
εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον.

Ὠδὴ θ'

Σὲ τὴν ἄφλεκτον βάτον
ἣν εἶδε πρὶν Μωυσῆς
ἐν πυρὶ τυπουμένην
τὸν ἄσπορον τόκον σου,
Παρθένε, ὑμνοις μεγαλύνομεν.

207

Ποίημα Ἀνδρέου Κρήτης

Β φ. 175β

Ὠδὴ α'. Ἦχος πλ. α'. Ὁ Εἱρμός.

Τῷ συντρίψαντι πολέμους
ἐν βραχίονι αὐτοῦ
καὶ ἀναβάτας τριστάτας
καλύψαντι βυθῷ
τῷ Θεῷ καὶ λυτρωτῇ
ἄσωμεν ὅτι δεδόξασται.

Ὠδὴ β'

Μεγαλωσύνην δῶμεν
αἰνέσεως Χριστῷ τῷ Θεῷ
τῷ ἐκ Παρθένου δι' ἡμᾶς
σαρκωθέντι ἀῤῥήτως
καὶ σώσαντι τὸν ἄνθρωπον.

Ὠδὴ γ'

Ὁ στερεώσας τοὺς οὐρανοὺς
τῷ λόγῳ σου, Κύριε,
στερέωσον τὸν πιστόν σου λαὸν
ἀνυμνεῖν σου ἀξίως
τὴν ἄκραν ἀγαθότητα.

Ὠδὴ δ'

Εἰσακήκοα τὴν ἀκοὴν
τῆς ἀφράτου σοφίας σου, Κύριε,
ὅτι ὁ πλαστουργὸς τοῦ Ἀδὰμ
ἐκὼν ἀδαμιαῖος γέγονας.

Ὠδὴ ε'

Ἐκ νυκτὸς τὸ πνεῦμά μου
διέγειρον, Χριστὲ ὁ Θεός,
πρὸς τὴν σὴν δοξολογίαν
ὅτι σὺ ὑπάρχεις
φωτὸς καὶ εἰρήνης ἀπαύγασμα.

Ὠδὴ ς'

Ἐν κλύδωνι πταισμάτων

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

περιπεσὼν χαλεπῶν
τὸν κυβερνήτην βλέπων
τῆς σωτηρίας ἐκβοῶ·
ἀνάγαγε τὴν ψυχήν μου, ἀγαθέ,
καὶ τὴν ζωήν μου ἐκ φθορᾶς.

Ὠδὴ ζ'

Ὁ τῶν πατέρων ἡμῶν [Θεὸς]
μὴ καταισχύνῃς ἡμᾶς
ἀλλὰ δώρησαι ἡμῖν
παρρησίᾳ δοξάζειν σε
ἵνα βοῶμεν ἐκτενῶς
εὐλογητὸς εἶ, Χριστέ.

Ὠδὴ η'

Τὸν ἐκτείναντα τοὺς οὐρανοὺς ὡσεὶ δέρριν
καὶ θεμελιώσαντα τὴν γῆν
ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς
ἱερεῖς καὶ δοῦλοι τὸν Κύριον
εὐλογεῖτε καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Εἰ καὶ ἐκύησας, ἀμόλυντε,
χαρὰν καὶ εὐφροσύνην
ἐκ πατρὸς Θεὸν Λόγον σαρκούμενον
ἀλλὰ τὰς κλεῖς τῆς παρθενίας
σώας διεφύλαξας·
ἄνευ συναφείας, μεγαλώνυμε,
προῆλθε γὰρ τοῦ σῶσαι τὰς ψυχὰς ἡμῶν.

208

Ποίημα Ἠλία μοναχοῦ

Β φ. 176β

Ὠδὴ α'. Ἦχος πλ. α'. Ὁ Εἱρμός.

* Ἅρματα Αἰγυπτίων φυλῶν
καὶ ἀναβατῶν ὀφρῦν
μεγαλαυχοῦσαν ἐβύθισας·
Ἰσραηλίτην δὲ λαὸν
πεζὸν ὁδίτην ἐν σοὶ
καυχώμενον ἐβίβασας
μέσον ὑγρᾶς ὡς διὰ ξηρᾶς
ἐμφρόνως σοι, Κύριε,
ὕμνον ἀναμέλποντα.

Ὠδὴ γ'

Ἐστερεώθην ἀκράδαντος
τῆς σῆς ἐν πέτρᾳ πίστεως
ηὐφράνθην τῇ ἐπ' ἐσχάτων
διὰ σοῦ γενομένῃ σωτηρίᾳ μοι
ἐπλατύνθη ὀρθοδόξως τῇ ὁμολογίᾳ
ἐπ' ἐχθρούς μου τὸ στόμα μου
διὸ μέλπω σοι· ἅγιος εἶ, Κύριε.

Ὠδὴ δ'

Ἀκηκοὼς σοῦ τοῦ Λόγου καὶ Θεοῦ
τὴν πρὸς ἡμᾶς σου συγκατάβασιν
ἐξέστην φόβῳ θαυμάζων σου
τὴν πολλὴν εὐσπλαγχνίαν, Χριστέ,
σὺ γάρ με προσλαβὼν
ἐκ Παρθένου ἐθέωσας
καὶ κοινωνόν με σοῦ τῆς φύσεως ἐποίη
δόξα βοῶντα τῇ δυνάμει σου.

Ὠδὴ ε'

Ῥήμασιν ἐνηχηθεὶς τοῦ προφήτου
ἥλιον δικαιοσύνης σε ἐκμεμάθηκα
ἐκ πατρὸς ἀχρόνως ἐκλάμψαντα, Χρι
καὶ εἰρήνην τὴν ὑπερέχουσαν
πάντα νοῦν καὶ ἔννοιαν
ἡμῖν τοῖς πόρρω οὖσιν
τὴν σὴν ἐν κόσμῳ παρουσίαν εὐαγγε
[μ

Ὠδὴ ς'

Πανούργου ἐχθροῦ με
αἰτῶ ζοφώδους, Χριστέ,
ἐν τοῖς σπλάγχνοις ὡς σειραῖς
πεπεδημένος ἁμαρτίαις μου
σοῦ πανσθενῆ βραχίονα ἐκτείνα
ἐξ ὕψους μοι χεῖρα πάρεχε
καὶ ὡς ἐκ κήτους τὸν σὸν προφ
πρὸς σὲ τὸ φῶς ἀνάγαγε.

Ὠδὴ ζ'

Ὄλβιοι παῖδες
ἀπώσαντο φλήναφον
ἀθεωτάτου τυράννου πρόσταγμ
σθένει δὲ νευρούμενοι
σοῦ τῆς τοῦ Πνεύματος
ἐνυποστάτου δυνάμεως
μέσον ὡς ἔστησαν
φλογὸς ἐδροσίζοντο
εὐλογητὸς εἶ, Χριστέ,
βοῶντες ὁ ὑπερυψούμενος.

Ὠδὴ η'

Ἄυλον φλόγα παῖδες Δαυὶδ
ἐν στέρνοις κεκτημένοι
τὴν ἔνυλον θαρσαλέῳ
ἐπέβησαν ποδὶ
θωρακισθέντες τῇ πίστει·
ὅθεν πυρὶ δροσιζόμενοι
ἐβόων· τὰ κτιστὰ τὸν κτίστην
ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰ

Ὠδὴ θ'

Σέ, μῆτερ, τὴν μόνην ἐν παρ
μετὰ τόκον ὀφθεῖσαν Παρθένον
τὴν εὐλογημένην ἐν πάσαις γενε
τὸ ἡγιασμένον κειμήλιον
ἐν ᾧ ὁ ὕψιστος Λόγος καὶ Θεὸς

σὰρξ γενόμενος ἐσκήνωσεν ἐν ἡμῖν
ὡς μητροπάρθενον μεγαλύνομεν.

209

Ποίημα Ἀνδρέου Τυφλοῦ

φ. 177β

Ὠδὴ α'. Ἦχος πλ. α'. Ὁ Εἱρμός.

* Πόντῳ ἐρυθρῷ
πεζοπορήσας Ἰσραὴλ
τοὺς ὑπεναντίους δὲ
ὑποβρυχίους καθορῶν
ἀνεβόα Κυρίῳ·
τῷ Θεῷ ἡμῶν ἄσωμεν
τῷ ποιοῦντι μεγάλα
καὶ ἐξαίσια θαύματα.

Ὠδὴ γ'

Ἡ πολλὴ ἐν τέκνοις
ἠσθένησε συναγωγὴ τῶν Ἰουδαίων
ἡ δὲ στεῖρα ἔτεκεν ἑπτά,
ἡ ἐξ ἐθνῶν ἐκκλησία,
ἐν ᾗ στερεούμενοι
ἅγιος εἶ κράζομεν,
Κύριε, καὶ δίκαιος.

Ὠδὴ δ'

φριαξάμην καὶ ἐπτοήθη ἡ καρδία μου·
κήκοα γὰρ τὴν ἐπ' ἐσχάτων σου ἔλευσιν
εἰσῆλθε τρόμος εἰς τὰ ὀστᾶ μου
καὶ κραυγάζω σοι·
δόξα, Χριστέ, τῇ δυνάμει σου.

Ὠδὴ ε'

Ὁ ἐξ ἀδύτου φωτὸς ἄδυτος ἥλιος
φωτίσας τὰ πέρατα θεογνωσίας φωτὶ
θελήματά σου καὶ τὰ προστάγματά σου
δίδαξον ἡμᾶς ποιεῖν,
Κύριε, εἰρήνη τῶν ψυχῶν ἡμῶν.

Ὠδὴ ς'

Φεύγει προβλέπων ὁ Ἰωνᾶς
τὴν προφητικὴν μεταβαίνουσαν χάριν
εἰς τὰ ἔθνη ἀπὸ τῶν Ἰουδαίων
καὶ κήτει παραδίδοται
καὶ διασώζεται
Χριστοῦ προτυπῶν τὴν ἔγερσιν.

Ὠδὴ ζ'

Δίκαιος εἶ, Κύριε,
καὶ πᾶσαι αἱ κρίσεις σου ἀληθεῖς
καὶ κρίματα ἀληθείας ἐποίησας·
ἐφλέξας γὰρ ὑπηρέτας τῆς ἀσεβείας
καὶ διέσωσας τρεῖς παῖδας
ἀσεβείας συντρόφους
μελῳδοῦντάς σοι·
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Ἱερῶν δογμάτων ἀντιποιούμενοι παῖδες
καὶ τοῖς ἀνιέροις ἀντιταττόμενοι
τὴν κάμινον τοῦ πυρὸς εἰς ὑμνῳδίας
μετεσκεύασαν ἐργαστήριον·
διὸ δροσιζόμενοι ἔψαλλον·
εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ'

Ἀνθρωπότητος καὶ θεότητος σύνοδος
ἐν σοί, Θεοτόκε, πέπρακται·
τῆς μὲν προσληφθείσης
τῆς δὲ προσλαβούσης
καὶ μεινάσης ἑκατέρας ἀτρέπτου
ἐν δυσὶ ταῖς φύσεσιν ἕνα Χριστὸν
τὸν ἐκ σοῦ προελθόντα μεγαλύνομεν.

210

Ποίημα Γεωργίου Σικελιώτου

Γ φ. 178β

Ὠδὴ α'. Ἦχος πλ. α'. Ὁ Εἱρμός.

* Ἄβατον πέλαγος
τὸ ἐρυθραῖον Ἰσραὴλ πεζεύει
ἐν προστάξει θεϊκῇ
πυρὸς στύλῳ φωτιζόμενος
νεφέλῃ πυκαζόμενος
σὺν Μωυσῇ ἀνέμελπε
τῷ Κυρίῳ ᾠδὴν χαριστήριον
ὅτι δεδόξασται.

Ὠδὴ γ'

Στηριγμὸς καὶ ἑδραίωμα
γενοῦ ἡμῖν, Χριστέ,
ὁ τὴν γῆν ἐφ' ὑδάτων
ἑδράσας ὡς Θεὸς
κραταιώσας ἐν τῇ πίστει σου
διέγειρόν με πρὸς αἴνεσιν·
οὐ γὰρ ἔστιν ἅγιος
πλήν σου, φιλάνθρωπε.

Ὠδὴ δ'

Ῥητορεύων ἄνωθεν
τὴν ἐπ' ἐσχάτων σου, Χριστέ, οἰκονομίαν
προφητικῶς ὁ Ἀββακοὺμ ἐκραύγαζεν·
ἐν τῷ παρεῖναι τὸν καιρὸν
ὁ Θεὸς ἀνθρώποις γνωρισθήσεται.

Ὠδὴ ε'

Ἐκ νυκτὸς ἀγνοίας με ἐξάγαγε, Χριστέ,
τῷ φωτὶ καταυγάσας τῶν ἐντολῶν σου
καὶ εἰρήνην δώρησαι
τοῖς ἐκ νυκτὸς ὑμνοῦσί σε·
ἐκτός σου, Κύριε, Θεὸν
ἄλλον οὐ γινώσκομεν.

Ὠδὴ ς'

Ὁ Ἰωνᾶς προτύπωσις

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

τῆς ταφῆς καὶ τῆς ἐγέρσεώς σου
γεγονὼς ἐκραύγαζε, Χριστέ·
ἐκ σπλάγχνων τοῦ θηρὸς
ἐν θλίψει ἐβόησα πρὸς σὲ
ὁ Θεός μου καὶ ἐλέησόν με.

Ὠδὴ ζ΄

Ἀθέῳ προστάγματι
οἱ τρεῖς σου παῖδες, Κύριε,
στερρῶς ἀντιταττόμενοι
ἐν τῇ φλογὶ ἐβέβληντο·
οἱ δὲ δροσιζόμενοι
τῇ τοῦ ἀγγέλου συγκαταβάσει ἐμέλλον·
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ βλέπων ἀβύσσους
καὶ ἐπὶ θρόνου δόξης καθήμενος.

Ὠδὴ η΄

Τεθραμμένοι ἅσμασι δαυιτικοῖς
οἱ τῆς εὐσεβείας νεανίαι
νόθοις οὐκ ἔχραναν τὰ χείλη
καὶ ἄσμασι καὶ βρώμασιν·
ἀλλ' ἐν καμίνῳ δροσιζόμενοι
Πνεύματος λύρᾳ ἐνθέως ἀνέμελπον
εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ΄

Ὡς πόκῳ γαστρὶ παρθενικῇ
κατέβη ὑετὸς ἐν μήτρᾳ σου
ὁ Λόγος τοῦ πατρὸς
ὡς Γεδεὼν ἐπείρασε
προκατιδὼν τὸν τόκον σου, ἀγνή,
μεθ' οὗ σοι κραυγάζομεν·
εὐλογημένος ,Θεοτόκε,
ὁ καρπὸς τῆς κοιλίας σου.

211

Ποίημα Γεωργίου Σικελιώτου

Β φρ. 179β

Ὠδὴ α΄. Ἦχος πλ. α΄. Ὁ Εἱρμός.

* Ἄσωμεν Χριστῷ τῷ δεδοξασμένῳ·
ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ β΄

Τὴν ἄφατόν μου εὐσπλαγχνίαν
ἴδετε λαοὶ καὶ ἐνωτίσθητε·
ἐνανθρωπῆσαι γὰρ δι' ὑμᾶς
Θεὸς ὢν οὐκ ἀπηξίωσα
ἵνα ἐν ἐμοὶ ἑλκύσω
τὸν πάθει μου δόξαν ἄδοντα.

Ὠδὴ γ΄

Τῷ στερεμνίῳ θεμέθλῳ
τῆς πίστεώς με καθιδρύσας,
Λόγε, στερέωσον εἰς τὸν φόβον σου
ὅτι οὐκ ἔστι πλὴν σου ἅγιος, Κύριε.

Ὠδὴ δ΄

Θεοπτικῶς ὁ προφήτης Ἀββακοὺμ
τὴν ἔνσαρκόν σου, Λόγε,
οἰκονομίαν θεώμενος ἐκραύγαζε·
Κύριε, δόξα τῇ δυνάμει σου.

Ὠδὴ ε΄

Γνόφῳ ἀχλύος
ἐσκοτισμένος ὁ τάλας
παθῶν ἐκ ψυχοφθόρων
πρὸς σὲ ὀρθρίζω, Δέσποτα,
τὸ ἄδυτον φῶς
καταύγασον καὶ σῶσόν με.

Ὠδὴ ς΄

Ἐκ κατωδύνου καρδίας
ἐν θλίψει μου βοῶ σοι, Χριστὲ ὁ Θε
τῶν κακῶν ἐκ τῆς φθορᾶς
ἀνάγαγε καὶ σῶσόν με.

Ὠδὴ ζ΄

Ὑμνολόγους παῖδας οὐκ ἐθρόησε
Χαλδαϊκῆς καμίνου
ἑπταπλάσιον γαυρίαμα·
οἳς γὰρ εὐσεβοῦσι τὸ ζῆν οὐκ αἴρε
τούτοις ἀσεβοῦσι τὸ θανεῖν μακάρ
ψάλλουσιν· εἰς αἰῶνας ὁ Θεὸς εὐλογητὸς

Ὠδὴ η΄

Τερατουργῶν ὁ ἄγγελος
ἐπὶ τῇ ἀσσυρίῳ φλογὶ
τοὺς παῖδας ἐθαυμάτωσεν
ἐν μέσῳ τῆς καμίνου·
ὅθεν παρεσκεύασεν ὑμνεῖν τοὺς πολεμ
εὐλογεῖτε. ὑμνεῖτε
τὸν μόνον ὄντως Θεὸν δημιουργ
ὃν πᾶσα κτίσις ὑμνεῖ εἰς τοὺς αἰῶ

Ὠδὴ θ΄

Μεγαλύνομέν σε, Θεοτόκε ἄχρα
σὺ γὰρ συνέλαβες τὸν ζωοδότην
καὶ ἐκύησας ἡμῖν Χριστὸν τὸν Θ
αὐτὸν ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡ

212

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Γεωργίου Σικελιώτου

Β φρ. 180β

Ὠδὴ α΄. Ἦχος πλ. α΄. Ὁ Εἱρμός.

* Συνεχύθη πόλεμος δυνάμει Θε
καὶ ὁ βραχίων Κυρίου ἔθραυσε Φ
καὶ τὴν δύναμιν αὐτοῦ
καὶ αἶνον Ἰσραηλίτης λαὸς

Χριστῷ τῷ Θεῷ ᾠδῆς ἀνέμελπ
ἄσωμεν τῷ Κυρίῳ ὅτι δεδόξασται

Ὠδὴ β΄

Ἴδετε ἴδετε ὅτι ἐγώ εἰμι Θεὸς
ὁ μὴ ἐκστὰς ὅλως τοῦ πατρὸς

καὶ ὑμῖν ἐπὶ τῆς γῆς ὁμοίως φανείς
καὶ σώσας τὸν κόσμον
εἰς καύχημα τῆς μεγαλωσύνης μου.

Ὠδὴ γ΄

Παντοκράτορ ὕψιστε,
ὁ κρίνων ἅπασαν δικαίως τὴν γῆν
τῇ σῇ με χρηστότητι
τὸν ἁμαρτίᾳ φθαρέντα καινοποίησον
εἰς τὸ ὑμνεῖν καὶ δοξάζειν σε,
μόνε φιλάνθρωπε,

Ὠδὴ δ΄

Γηγενῶν εἰς σωτηρίαν
ἔθου συμπαθῶς
ἀγάπησιν, Κύριε,
ἀναλλοίωτος τὸ ἀλλότριον προσλαβών·
διὸ ἐπλήσθη τὰ σύμπαντα
αἰνέσεως τῆς δόξης σου.

Ὠδὴ ε΄

Ὑψηλέδου Θεὲ θεῶν
καὶ Κύριε κυρίων ὑπεράγαθε,
ταπεινωθέντας ἐκ πλήθους ἡμῶν ἁμαρ
[τημάτων
εἰς φῶς καθοδήγησον τῶν ἐντολῶν σου
ὅτι ἄλλον Θεὸν ἐκτός σου οὐ γινώσκομεν.

Ὠδὴ ς΄

Μυστικῶς ὁ Ἰωνᾶς
προτυπῶν σου, Κύριε
τὴν ταφὴν τὴν τριήμερον
ὡς ἐξ ᾅδου τοῦ θηρὸς
ἐκ λαγόνων ἀσινὴς
προήρχετο βοῶν πρὸς τὸν Θεόν·
ἐκέκραξα
καὶ ἐπήκουσέ μου ἐν τῇ κραυγῇ μου.

Ὠδὴ ζ΄

Συμφωνικῆς εὐρυθμίας
ἦχῳ δυσσεβεῖ
παῖδες Ἑβραίων οὐχ ὑπαχθέντες
πυρὸς ἀπειλὴν κατεπάτησαν
χορευτικῶς μελῳδοῦντες·
ὁ αἰνετὸς τῶν πατέρων τῆς δόξης
Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄

Τῶν εὐσεβῶν ἀντεχόμενοι δογμάτων
μείρακες ἔνδοξοι
ἄπονον παρεδειγμάτισαν
ἐν Βαβυλῶνι πάλαι ξόανον
καὶ φρύσιν πυρὸς κατεπάτησαν
δροσοποιῶς μελῳδοῦντες·
Κυρίου τὰ ἔργα
τὸν Κύριον ὑμνεῖτε
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄

Εὐλογημένη μήτηρ Χριστοῦ τοῦ Θεοῦ
σὲ δυσωποῦμεν
τὰς βουλὰς τῶν ἀθέων κατάβαλε
γνώτωσαν ἔθνη
ὅτι Θεὸν τέτοκας σαρκὶ
ἵνα σε καὶ τὸν ἐκ σοῦ
τεχθέντα μεγαλύνωμεν.

213

ΑΝΑΣΤΑΣΙΜΟΣ
ΚΑΙ ΕΙΣ ΤΟΥΣ ΑΣΩΜΑΤΟΥΣ

Ποίημα Κυπριανοῦ μοναχοῦ

Β φρ. 181β

Ὠδὴ α΄. Ἦχος πλ. α΄. Ὁ Εἱρμός.

* Ἄσωμέν σοι ὕμνον ἐπινίκιον
ὅτι πήξας ὕδατα θαλάσσης
διήγαγες λαὸν
ὑμνοῦντά σε, Κύριε.

Εἱρμὸς ἄλλος

Ἄσωμεν τῷ διασχίσαντι
Θεῷ τὴν θάλασσαν ῥάβδῳ
καὶ ἐκ τῆς τυραννίδος
ῥυσαμένῳ τὸν Ἰσραήλ·
ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ γ΄

Νεοποίησόν με, Χριστέ,
τὸν πεπαλαιωμένον ὑπὸ τῆς ἁμαρτίας
καὶ στερέωσον
ἐν καινῇ σου διαθήκῃ, φιλάνθρωπε.

Ὠδὴ δ΄

Χαρᾷ καὶ τρόμῳ συνεσχέθη
εἰσακηκοώς σου τὴν κένωσιν
δι' ἧς τὸ κενωθὲν πλάσμα σου
πρὸς τὴν ἀρχαίαν ἐπανήγαγες
κλήρωσιν, Κύριε.

Ὠδὴ ε΄ 1

Λόγε Θεοῦ ἐνυπόστατε
καὶ εἰρήνη πάντα νοῦν ὑπερέχουσα
καὶ φῶς ἀληθινὸν
εἰρήνευσον καὶ φώτισον
τοὺς ἐκ νυκτός σοι ὀρθρίζοντας.

Ὠδὴ ς΄

Ναὸν εἰς ἅγιόν σου
τὸν ἐπουράνιον ἔλθοι μου ἡ προσευχὴ
βοῶ σοι ὡς Ἰωνᾶς
ἐκ βάθους οὐ θαλάσσης ἀλλ' ἁμαρτίας
ἀφ' οὗ με ἀνάγαγε, Κύριε.

---

(1) Αἱ ε΄, ς΄ καὶ ζ΄ ᾠδαὶ αἱ αὐταὶ τυγχάνουσι τοῦ Κανόνος τοῦ Ἁγιοπολίτου Γεωργίου τοῦ ἐν τοῖς ἔμπροσθεν γεγραμμένου· μὴ ἄρα καὶ ἡ παροῦσα Ἀκολουθία τοῦ αὐτοῦ Γεωργίου εἶνε ποίημα ;

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

Ὠδὴ ζ'

Λαβρότατον πῦρ κατεδουλώσαντο
θεοσεβοῦντες παῖδες·
διὸ παρὰ φύσιν ἐδρόσιζε
τοὺς εὐκαταρλέκτους κατὰ φύσιν
ἀλλ' ὑπὲρ φύσιν ἀνδρείως βοῶντας·
εὐλογημένος εἶ, Κύριε,
ἐπὶ θρόνου δόξης τῆς βασιλείας σου.

Ὠδὴ η' [1]

Ἱερῶν δογμάτων ἀντιποιούμενοι παῖδες
καὶ τοῖς ἀνιέροις ἀντιτατόμενοι
τὴν κάμινον τοῦ πυρὸς εἰς ὑμνῳδίας
μετεσκεύασαν ἐργαστήριον·
διὸ δροσιζόμενοι ἔψαλλον·
εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Εἱρμὸς ἄλλος

Τὸν ἐν μέσῳ παῖδας
ἐν μορφῇ ἀγγέλου φανέντα
καμίνου τῆς καιομένης
ὑμνολόγους ρυσάμενον
Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Ἀνθρωπότητος καὶ θεότητος σύνοδος
ἐν σοί, Θεοτόκε, πέπρακται·
τῆς μὲν προσληφθείσης
τῆς δὲ προσλαβούσης
καὶ μεινάσης ἑκατέρας ἀτρέπτου·
ἐν δυσὶ ταῖς φύσεσιν ἕνα Χριστὸν
τὸν ἐκ σοῦ προελθόντα μεγαλύνομεν.

214

ΑΚΟΛΟΥΘΙΑ ΑΝΑΤΟΛΙΚΗ

[Ποίημα Γεωργίου Ἀνατολικοῦ]

Β φ. 182α

Ὠδὴ α'. Ἦχος πλ. α'. Ὁ Εἱρμός.

Πόντον ἔρρηξε ῥάβδῳ
τύπῳ σταυροῦ Μωσῆς
Ἰσραὴλ διασώζων
ὑμνοῦντα καὶ λέγοντα·
Κυρίῳ ἄσωμεν
ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ γ'

Νεοποίησόν με, Χριστέ,
τὸν πεπαλαιωμένον ὑπὸ τῆς ἁμαρτίας
καὶ στερέωσον
ἐν καινῇ σου διαθήκῃ, φιλάνθρωπε.

(1) Αἱ η' καὶ θ' ᾠδαὶ προεγράφησαν καὶ ἐν τῇ Ἀκολουθίᾳ τοῦ Ἀνδρέου Τυφλοῦ.

Ὠδὴ δ'

Ἐξ ὄρους, Χριστέ, ἐτμήθης λίθος
ἐκ τῆς παρθενικῆς νηδύος·
ὅθεν ὁ προφήτης ἐκπλαγεὶς
τὰς ἀκοάς ἐβόα·
Κύριε, τὴν ἀκοήν σου
εἰσακήκοα καὶ ἐφοβήθην.

Ὠδὴ ε'

Τὴν σὴν εἰρήνην δὸς ἡμῖν,
ὁ μὴ Θεοῦ ὁ σωτὴρ ἡμῶν,
πάντα γὰρ ἀπέδωκας ἡμῖν
γενόμενος ἄνθρωπος
καὶ σώσας τὸν πρωτόπλαστον.

Ὠδὴ ς'

Μὴ καταβυθίσῃ με, Κύριε,
ὁ κλύδων τῶν ἀθεμίτων μου πταισμάτων
ἀλλ' ὡς εὔσπλαγχνος Θεὸς
ἀνάγαγέ μου τὴν ζωὴν
ἐκ φθορᾶς καὶ σῶσόν με.

Ὠδὴ ζ'

Ἐν καμίνῳ τρεῖς παῖδας
ἀβλαβεῖς διέσωσας ὁ ὑπερυψούμενος·
ὅθεν θεολογοῦντες
ὁμοφρόνως ἔψαλλον·
εὐλογητὸς εἶ, λυτρωτά·
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Σὲ τὸν πρωτότοκον υἱὸν τοῦ κτίσεως
ὕπαρξιν ἅπασαν συνελόμενοι
ἐν τῇ φλογὶ νεανίαι ὑμνῶμεν
εὐρύθμῳ ἤχῳ μελῳδοῦντες·
εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ'

Ἐξ οὐρανίων θάκων
μέσον ἥψατο γῆς
γαστρός σου, Θεοτόκε,
ὁ τοῦ Θεοῦ Θεὸς Λόγος
καὶ ὡς ἐν θρόνῳ ἐν σοὶ ἐπανεπαύσατο
σὰρξ γενόμενος ὅλος
ἀνθρώποις συναναστράφη
καὶ σωτηρίαν ἀπειργάσατο·
διό σε πάντες ἀκαταπαύστως μεγαλύνομεν.

215

ΑΚΟΛΟΥΘΙΑ ΣΙΝΑΪΤΙΚΗ

Β φ. 183α

Ὠδὴ α'. Ἦχος πλ. α'. Ὁ Εἱρμός.

Τῷ ἐν ὕδατι σφοδρῷ
Φαραὼ τὸν νοητὸν
σὺν ἅρμασι βυθίσαντι
Χριστῷ ἐπινίκιον

ἄσμα καινὸν ἄσωμεν
ὅτι δεδόξασται.

Ὠδὴ γ'

Ἐν στηριγμῷ ὀρθοδοξίας
ὁ Θεὸς βεβαιωθέντα συνέτισόν με
ποιεῖν σου τὰ θελήματα.

Ὠδὴ δ'

Ἔδωκεν ἡ ἄβυσσος φωνὴν αὐτῆς
σὲ τὸν Θεὸν ἡμῶν δοξάζουσα
τὸν ἐν ἀῤῥήτῳ σοφίᾳ
τὰ σύμπαντα κτίσαντα.

Ὠδὴ ε'

Τὸν ἀρχηγὸν τῆς σωτηρίας
Χριστὸν τὸν Θεὸν ἡμῶν
ἐκ νυκτὸς ὀρθρίζοντες
ἐνδόξως ἀνυμνήσωμεν.

Ὠδὴ ς'

Μὴ καταβυθίσῃ με, Κύριε
ὁ κλύδων τῶν ἀθεμίτων μου πταισμάτων,
ἀλλ' ὡς εὔσπλαγχνος Θεὸς
ἀνάγαγέ μου τὴν ζωὴν
ἐκ φθορᾶς καὶ σῶσόν με.

Ὠδὴ ζ'

Τὴν ἐκκαυθεῖσαν κάμινον τῶν Χαλδαίων
οἱ ὑμνολόγοι παῖδες κατεπάτουν
ἐν παῤῥησίᾳ βοῶντες·
εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Τὸν τερατουργήσαντα Θεὸν ἐν Βαβυλῶνι
καὶ ἐκ φλογὸς τοὺς ὁσίους διασώσαντα [παῖδας
ὑμνεῖτε πάντες λαοὶ
καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'

Μεγαλύνομέν σε, παρθενομῆτορ
Μαρία θεοχάριτωτε,
ὁ σὸς γὰρ ἄχραντος τόκος σώζει ἀεὶ
ἐν ἀληθείᾳ σε Θεοτόκον μεγαλύνοντας.

216

ΑΚΟΛΟΥΘΙΑ ΣΙΝΑΪΤΙΚΗ

188β

Ὠδὴ α'. Ἦχος πλ. α'. Ὁ Εἱρμός.

Ὃ διὰ Μωσέως ὁδηγήσαντι τὸν Ἰσραὴλ
ἀντίπαλον δὲ ἐχθρὸν
βυθῷ στρώσαντι Θεῷ
ᾠδὴν ἐπινίκιον
λαοὶ πάντες ἄσωμεν.

Ὠδὴ γ'

Ὁ τῷ λόγῳ σου πηξάμενος
τοὺς οὐρανοὺς ἐν ὑψηλοῖς
καὶ ἑδράσας τὴν ξηρὰν
ἐπὶ ὑδάτων πολλῶν
στερέωσόν με, Κύριε.

Ὠδὴ δ'

Σὺν τῷ προφήτῃ κατιδών σου τὰ θαυμάσια
ἐν εὐφροσύνῃ, Χριστέ, κραυγάζω σοι·
δόξα τῇ δυνάμει σου.

Ὠδὴ ε'

Τὴν ἐν σκότει ἁμαρτημάτων
ὑπάρχουσαν ψυχήν μου
τῷ φωτὶ τοῦ προσώπου σου
καταύγασον, Χριστὲ ὁ Θεός.

Ὠδὴ ς'

Ἀναβήτω ἐκ φθορᾶς
ἡ ζωή μου πρὸς σὲ
καὶ ἐλθέτω πρὸς ναὸν
ἁγιόν σου ἡ προσευχή μου
ὡς τὸν προφήτην βοῶντα,
σωτήρ, διάσωσόν με.

Ὠδὴ ζ'

Ὑψουμένη κάμινος
καὶ θυμὸς τυραννικὸς
τοὺς εὐσεβεῖς οὐκ ἐπτόησε παῖδας
θαρσαλέως βοῶντας·
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Τὸν βασιλέα τῆς δόξης
ὃν λειτουργοῦσιν ἀπαύστως
τῶν οὐρανῶν αἱ δυνάμεις
Χριστὸν τὸν Θεὸν
ἱερεῖς εὐλογεῖτε
λαὸς ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Μεγαλύνομέν σε, ἁγνὴ Παρθένε,
ὅτι ἐποίησέ σοι μεγαλεῖα
ὁ μόνος ζωοδότης
Χριστὸς ὁ παντοδύναμος.

217

ΕΙΣ ΤΟΝ ΕΥΑΓΓΕΛΙΣΜΟΝ
ΑΝΑΤΟΛΙΚΗ

[Ποίημα Γεωργίου Ἀνατολικοῦ]

Β φ. 184β

Ὠδὴ α'. Ἦχος πλ. α'. Ὁ Εἱρμός.

Τῷ γεώσαντι Θεῷ
πέλαγος Ἐρυθρὸν
καὶ ἐν αὐτῷ κατακαλύψαντι
τὸν ὀλετῆρα Φαραὼ
ὡς ἀντίθεον ἐχθρὸν

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

ἄσωμεν Κυρίῳ·
ἐν τυμπάνῳ καὶ χορῷ
ἐν χορδαῖς καὶ ὀργάνῳ
θεοφάντορας ὕμνους
ὡς βασιλεῖ ἡμῶν καὶ Θεῷ.

Ὠδὴ β'

Ἴδετε ἴδετε ὅτι ἐγώ εἰμι Θεὸς
ὁ καινουργήσας τὴν κτίσιν
καὶ τοῦ Ἀδὰμ ἀναλαβὼν τὴν πτωχείαν
καὶ σώσας τὸ γένος τῶν ἀνθρώπων.

Ὠδὴ γ'

Ὁ στερεώσας τοὺς οὐρανοὺς
καὶ ἑδράσας γῆν
καὶ κοσμήσας, Κύριε,
ὡραιότητι τὰ σύμπαντα
στερέωσον ἡμᾶς
ἐν τῇ πέτρᾳ τῆς ἐκκλησίας σου.

Ὠδὴ δ'

Ὁ προφήτης ἀκήκοε
τὴν ἀκοήν σου καὶ ἐφοβήθη
κατενόησε τὰ ἔργα σου
καὶ ἐδόξασε, Χριστέ,
τὴν ἐκ Παρθένου σου γέννησιν.

Ὠδὴ ε'

Οὐ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου, Κύριε,
οὐδὲ τοῖς βλεφάροις μου νυσταγμὸν
ἕως οὗ ὀρθρίσας
ἀξίως ὑμνήσω τὴν φιλανθρωπίαν σου.

Ὠδὴ ς'

Τὴν μυστικὴν εἰκόνα
τῆς τριημέρου σου ταφῆς
ὁ Ἰωνᾶς ἐν τῷ κήτει προεζωγράφησεν
ἀλλ' ὡς ἐκεῖνον ἐκ τοῦ θηρὸς ἐλυτρώσω
καμὲ ὁ Θεὸς ἀνάγαγε
ἐκ φθορᾶς καὶ διάσωσόν με.

Ὠδὴ ζ'

Παῖδες θεοσεβεῖς ἐν Βαβυλῶνι
τῶν πατρώων νομοφύλακες
τοῖς προστάγμασι τοῦ τυράννου οὐχ ὑπέ-
[κυψαν
ἀλλ' ἐν καμίνῳ πυρὸς
θεοπτικῶς δροσιζόμενοι
τὴν ὠδὴν ἀνέμελπον·
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Ὡς τὴν κάμινον
τῶν ἡδονῶν τὴν φλόγα
ἀπαθείας πνεύματι, Κύριε,
δροσοποίησον ἡμῶν
εὐλογούντων ἀπαύστως
σὲ ὡς ποιητὴν τῶν ὅλων
καὶ κτίστην εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Κινῶν τὴν λύραν ἔψαλλεν
ὁ θεοπάτωρ Δαυίδ·
ἄκουσον, βλύγατερ, καὶ κλῖνον τὸ οὖς σου
πρὸς τὴν τοῦ ἀγγέλου φωνήν·
ἐπελεύσεται γὰρ ἐπὶ σὲ
Πνεῦμα τὸ πανάγιον
καὶ τέξεις υἱὸν Κύριον
καὶ Θεὸν τοῦ Ἰσραὴλ
κέρας σωτηρίας ἀνυμνοῦντα
καὶ σέ, Θεοτόκε, μεγαλύνοντα.

218

ΑΝΑΤΟΛΙΚΗ

[Ποίημα Γεωργίου Ἀνατολικοῦ]

13 φ. 183β

Ὠδὴ α'. Ἦχος πλ. α'. Ὁ Εἱρμός.

Ὡς πάλαι τὸν Ἰσραὴλ
ἐλυτρώσω, Κύριε,
δουλείας τῶν Αἰγυπτίων
καὶ νῦν ἐξελοῦ ἡμᾶς
τοῦ κρυπτοῦ Φαραὼ
καὶ σύντριψον αὐτοῦ
ἵππους καὶ ἀναβάτας
ὡς μόνος παντοδύναμος.

Ὠδὴ β'

Ἴδετε ἴδετε
ὅτι Θεὸς ἐγώ εἰμι
ὁ ζῶν καὶ οὐκ ἠλλοίωμαι
ἐγὼ ἀποκτενῶ καὶ ζῆν ποιήσω
πατάξω καὶ ἰάσομαι
ὅτι νεκρῶν καὶ ζώντων
μόνος ὑπάρχω Θεός.

Ὠδὴ γ'

Στερέωσον, Κύριε,
τὸν σεσαλευμένον μου λογισμὸν
καὶ ἐν τῇ πέτρᾳ τῆς πίστεως
τὴν καρδίαν μου στήριξον
ὅτι οὐκ ἔστιν ἅγιος
πλὴν σου, μόνε φιλάνθρωπε.

Ὠδὴ δ'

Εἰσακήκοα τὴν ἀκοήν σου, Κύριε,
κατενόησα τὴν δυναστείαν σου
καὶ ἐξέστην, ἅγιε,
ὅτι ἐτέχθης ἐκ τῆς Παρθένου ὡς
[θρω

Ὠδὴ ε'

Φώτισόν με, Κύριε, ἐν τοῖς προστάγμασί
καὶ σῶσόν με δόξαι ὡς εὔσπλαγχ

Ὠδὴ ς'

Ἡ κεφαλή μου ἔδυ

εἰς χοῦν πλημμελημάτων πολλῶν
ἀλλ' ἀνάγαγε, σωτήρ, καὶ σῶσον
ἐκ φθορᾶς τὴν ζωήν μου ὡς φιλάνθρωπος.

Ὠδὴ ζ'

Εὐλογητὸς εἶ, δεδοξασμένε Κύριε
ὁ Θεὸς τῶν πατέρων ἡμῶν
ὁ ὑπ' ἀγγέλων ἀνυμνούμενος,
καὶ ὑπερύμνητος ὑπάρχεις
ἐν πάσῃ τῇ σοφίᾳ σου.

Ὠδὴ η'

Λόξα ἐν ὑψίστοις Θεῷ
τῷ ἐν Βαβυλῶνι ὀφθέντι ἐν φλογὶ
καὶ ἐν τῇ καμίνῳ δροσίσαντι τὸ πῦρ
ὧν οἱ παῖδες ἀνυμνοῦντες ἔψαλλον·
εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ'

Ὦ τοῦ παραδόξου μυστηρίου!
ψαύει Θεὸς βροτείαν φύσιν
διὰ φιλανθρωπίαν χρησάμενος
σῶμα δανικὸν ἐκ τῆς Παρθένου·
φοβερὸν τὸ τελούμενον!
διὸ τὴν πανύμνητον
Θεοτόκον μεγαλύνομεν.

Εἱρμὸς ἄλλος

Πάναγνε μῆτερ Θεοτόκε Παρθένε
ἡ χωρήσασα τὸν ἀχώρητον Λόγον
καὶ τεκοῦσα ἀφράστως τὸ πῦρ τῆς θεότητος
σὲ μακαρίζομεν
καὶ ἀπαύστως μεγαλύνομεν.

219

ΤΗ ΚΥΡΙΑΚΗ ΤΗΣ ΟΡΘΟΔΟΞΙΑΣ

Ποίημα Βασιλείου μοναχοῦ μονῆς τῶν Ἀκοιμήτων

Β φ. 186β

Ὠδὴ α'. Ἦχος πλ. α'. Ὁ Εἱρμός.

Ὡς ἐν θαλάσσῃ τρίβον
νῦν τελοῦντες οἱ πιστοί, πανάμωμε,
αἱρετικῶν τὸ φρύαγμα
καθορῶντες, ἄχραντε, ποντούμενον
ὡς Μωυσῆς σοῦ τῇ εἰκόνι συνελθόντες
ἄδομεν τῷ σῷ υἱῷ ἆσμα ἐπινίκιον
ὅτι δεδόξασται.

Ὠδὴ β'

Τῶν οὐρανῶν ὁ κτίστης
τοὺς οὐρανοὺς ἔκλινε, Παρθένε,
καὶ ἐσκήνωσεν ἐν σοὶ
εἰδώλων πλάνην λύσας·
διό σου τὸν χαρακτῆρα σέβοντες
μεγαλωσύνην Κυρίῳ προσάγομεν.

Ὠδὴ γ'

Τόξον ἠσθένησε
δυσφημηγόρων τε νῦν
τεθειγμένον ταῖς γλωσσαλγίαις ὅπλοι
εὐρημίαις δὲ καὶ τὴν σήν, πανάμωμε,
γεραίρει μορφὴν ὀρθοδόξων ὁ λαὸς
καὶ βοᾷ τῷ υἱῷ σου· πλήν σου
οὐκ ἔστιν ἅγιος, Κύριε.

Ὠδὴ δ'

Ἀββακοὺμ σοῦ τὸν τόκον προμηνύων
ὄρος σε ἐτρίανε,
ὀλβοφόρε ἄνανδρε,
ἐκ σοῦ ἐτμήθη λίθος
συντρίβων κέρας δυσφημολόγων·
διό, Χριστέ, σοὶ βοῶμεν
τὴν μορφήν σου σέβοντες·
Κύριε, δόξα τῇ δυνάμει σου.

Ὠδὴ ε'

Ἐρήνης ἐξέλαμψεν ἔνθεος στύλος
πῦρ δὲ κατέτηξεν
ἐναντίων δυσηγορίας
τῶν εἰς σὲ βλασφημούντων, Θεοτόκε,
ὅθεν φωταυγούμενοι
ἐκ νυκτὸς ὀρθρίζοντες
σὺν τῷ υἱῷ σου
δόξαν σοι προσάγομεν.

Ὠδὴ ς'

Εἰς ἄβυσσον ταπεινώσεως
ὑπάρχοντας ἡμᾶς
ἀνάγαγε, Θεοτόκε,
σῇ μεσιτείᾳ ἐν τῷ ναῷ σου
συνελθόντες γὰρ τῷ υἱῷ σου
ὑμνοῦμεν, πανάμωμε,
μετὰ φωνῆς αἰνέσεως.

Ὠδὴ ζ'

Παίδων εὐαγῶν ὁ ὕμνος
δύσθεον γλωσσαλγίαν
τυράννου κατέτηξεν·
διὸ καὶ νῦν αἶνος πιστῶν ἐξηχούμενος
φληναφούντων στόματα
κατέπτηξεν ἐν τῷ ψάλλειν·
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Ἰνδάλματος φόβος πρὶν
λαοὺς κατεδάμαζε
προσκυνεῖσθαι προστάζοντος·
ἡ δὲ νῦν ὑμνουμένη
σεπτὴ μορφὴ τῆς Παρθένου
πιστοῖς ἔφεσιν ἤγειρεν
εὐσεβῶς ἀνακραυγάζειν
ταύτην καὶ ἀσπάζεσθαι·

http://www.verypdf.com
Created by Image2PDF

τὸν δημιουργὸν καὶ Κύριον ὑμνεῖτε
πάντα τὰ ἔργα εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Ξενίζει τὰ ἐπὶ σοὶ τελεσθέντα, Θεοτόκε,
τὴν φύσιν τῶν βροτῶν·
σύλληψις ἄσπορος
τόκος ἄνανδρος
καὶ ἡ ἄφθορος γέννησις·
διό σου τὴν εἰκόνα
θαυματουργοῦσαν βλέποντες
καὶ ταύτην ἀσπαζόμενοι
ἀσμένως, Παναγία, σὲ μεγαλύνομεν.

220

[ΤΗ ΚΥΡΙΑΚΗ ΤΗΣ ΟΡΘΟΔΟΞΙΑΣ]
ΑΝΑΤΟΛΙΚΗ

[Ποίημα Γεωργίου Ἀνατολικοῦ]

Β φ. 187α

Ὠδὴ α'. Ἦχος πλ. α'. Ὁ Εἱρμός.

Β φ. 187β

* Ὁ λαὸς τοῦ Ἰσραὴλ
ἐν θαλάσσῃ Ἐρυθρᾷ
λυτρούμενος τῆς δουλείας Φαραὼ
ἐδιδάσκετο βοᾷν·
τῷ Κυρίῳ ἄσωμεν
ὅτι δεδόξασται.

Ὠδὴ γ'

Στερέωσόν με, Χριστέ,
ὁ κατάγων εἰς ᾅδου καὶ ἀνάγων·
οὐκ ἔστιν γὰρ ἅγιος
πλὴν σοῦ, Κύριε.

Ὠδὴ δ'

Τῆς οἰκονομίας σου, Χριστέ, τὸ μυστήριον
ἐξεστηκὼς ὁ Ἀββακοὺμ ἐβόα·
εἰς σωτηρίαν λαοῦ σου ἐλήλυθας
δόξα τῇ δυνάμει σου.

Ὠδὴ ε'

Τὸν φωτισμὸν τῆς γνώσεώς σου
καταύγασον ἐν ἐμοὶ
ἐκ νυκτὸς ὀρθρίζοντι πρὸς σὲ ὁ Θεός.

Ὠδὴ ς'

Ὡς Ἰωνᾶν ὁ Θεὸς
ἐλυτρώσω τοῦ κήτους
πάλαι στενάξαντα
καμὲ τῶν παθῶν
ὡς ἐκ βυθοῦ ἀνάγαγε
δέομαι καὶ σῶσόν με.

Ὠδὴ ζ'

Εὐλογητὸς εἶ, Κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν
ὁ ἐν καμίνῳ τοῦ πυρὸς
τοὺς παῖδας τῶν Ἑβραίων διασώσας
ὁ ὑπερύμνητος καὶ δεδοξασμένος

Ὠδὴ η'

Ὃν δοξάζει ὁ χορὸς
τῶν ἀσωμάτων ἀγγέλων
ἱερεῖς εὐλογεῖτε
λαὸς ὑπερυμνεῖτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν κάκωσιν τῶν ὀρθο-[δόξων
μεγαλύνομεν πάντες τὸν Κύριον·
ἰδοὺ γὰρ τὴν εἰκόνα σου,
Θεοτόκε, ἠγείρεν ἡμῖν
κέρας σωτηρίας·
ἣν εὐσεβῶς ἀνιστοροῦντες
φόβῳ καὶ πόθῳ προσκυνοῦντες
σὲ μεγαλύνομεν.

221

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΙΩΑΝΝΗΝ ΤΟΝ ΘΕΟΛΟΓΟΝ

Ποίημα Κυπριανοῦ μοναχοῦ

Β φ. 188α

Ὠδὴ α'. Ἦχος πλ. α'. Ὁ Εἱρμός.

* Τῷ διελόντι θάλασσαν
καὶ ἄβυσσον ἀναξηράναντι Θεῷ
ὁ θαυμαστὸς Ἰσραὴλ
πεζοπορῶν ἀνέμελπεν
ᾠδὴν μωσαϊκὴν
ὅτι πόντῳ τοὺς Αἰγυπτίους ἐκάλυψεν.

Ὠδὴ γ'

Εἰς τὴν βοήθειαν ἡμῶν
πρόσχες ὁ Θεός·
ἐπὶ σοὶ γὰρ ἠλπίσαμεν
μὴ καταισχυνθῶμεν
γενοῦ ἡμῖν καταφυγὴ καὶ στερέωμα.

Ὠδὴ δ'

Νοῦν φρένα καὶ ὅπα
καθαρεὺς ὁ Ἀββακοὺμ νοερῶς
τὴν σὴν οἰκονομίαν τρόμῳ ἐκήρυττεν·
ἐπ' ἐσχάτων τῶν ἡμερῶν
ὁ Θεὸς ἐπελεύσεται
σαρκούμενος ἐκ κόρης
εἰς σωτηρίαν ἡμῶν.

Ὠδὴ ε'

Μὴ ἀναγάγῃς με, Κύριε,
ἐν ἡμίσει ἡμερῶν μου
ἀλλὰ φώτισόν μου
ψυχῆς τὰ βήματα
ἵνα ὀρθρίζων ὑμνῶ σε
τῆς εἰρήνης, Χριστέ, τὸν θεμέλιον.

Ὠδὴ ς'

Ἠρειδηκότες πλώτιοι τὸν Ἰωνᾶν
ἐν τῷ βυθῷ καθῆκαν· ἐκ κήτους
λαγόνων ἀφανοῦς ἀνεβόα·
πρός σὲ ὁ Θεὸς ἡ ζωή μου
δέομαι ἀναβήτω ἐκ φθορᾶς
ἵνα δοξάζω τὴν σὴν θεότητα, Κύριε.

Ὠδὴ ζ'

Ἡ ἐκχυθεῖσα ποτὲ
δροσοβόλος ἔλλαμψις
τοῖς θεοφόροις μαθηταῖς,
Κύριε τῆς δόξης,
τοὺς παῖδας ἐδρόσισεν
ἐν Βαβυλῶνι ψάλλοντας·
ὁ τῶν πατέρων καὶ ἡμῶν
Θεὸς εὐλογητὸς εἶ καὶ ὑπερένδοξος.

Ὠδὴ η'

Πρὸ βήματος ἀγόμενοι
παῖδες αἰχμάλωτοι
τυραννικοῦ ἠμβλυναν
ἰνδάλματος σέβασμα
καὶ πῦρ κατεπάτησαν
Θεὸν ὑμνοῦντες ἀεὶ
εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ'

Ἐν τῇ συλλήψει σου ἄσπορος
καὶ ἐν τῷ τόκῳ ἀμώμητος
ἐχρημάτισας, νύμφη θεόκλητε,
παστὰς ἐπουράνιε
καὶ τῆς ἡμῶν σωτηρίας πρόξενε·
διό σε, Θεοτόκε, μεγαλύνομεν.

222

ΑΝΑΣΤΑΣΙΜΟΣ ΑΝΑΤΟΛΙΚΗ

[Ποίημα Γεωργίου Ἀνατολικοῦ]

Β φ. 189α

Ὠδὴ α'. Ἦχος πλ. α'. Ὁ Εἱρμός.

* Θρηνήτω ἡ Αἴγυπτος
οὐ μόνον τὰ πρωτότοκα
ἀλλὰ καὶ τοὺς τεκόντας
ἀθρόως βυθισθέντας
ἐρυθραίοις κύμασιν·
ἀγαλλιάσθω δὲ τῇ τούτων ἐκχωρήσει
λαὸς Ἰσραὴλ
καὶ ὡς ἐν ξηρᾷ τὴν ὑγρὰν
ἐπισωστρον ᾠδὴν μελπέτω·
τῷ ποιήσαντι θαυμάσια
Θεῷ ἄσωμεν
ὅτι δεδόξασται.

Ὠδὴ γ'

Ἔστη καὶ ἐξιλάσατο ὑπὲρ ἡμῶν
ὁ μέγας Φινεές,
Χριστὸς ὁ ἀρχιερεύς,
καὶ ἐκόπασεν ἡ θραῦσις·
ἐλυτρώθημεν γὰρ τῆς κατάρας
στερεωθέντες ἐν Κυρίῳ
Θεῷ παντοκράτορι.

Ὠδὴ δ'

Ἔνυλος καὶ σαρκοφόρος Ἀββακοὺ
ἐξ ὀρίων Ἰερουσαλὴμ
πρὸς Βαβυλῶνα ἀθρόως ἐπιφερόμενος·
ὁ προφήτης τῷ συμπροφήτῃ
τροφὴν Δανιὴλ
λακκοφόρῳ τυγχάνοντι
εἰσίει καὶ ἐξίει ἀπήμαντος
τύπον Χριστοῦ φέρων τὸν ζωηφόρον.

Ὠδὴ ε'

Ἀξίωσόν με, Κύριε,
ἐκ νυκτὸς ἐξεγειρόμενον
τῆς ἀγνωσίας ἀχλύϊ
καὶ ἀφεγγίᾳ μηδαμῶς καταληφθῆναι
εἰρήνην δωρούμενος
ὅπως τὴν σὴν ἀνυμνήσω ἀγαθότητα.

Ὠδὴ ς'

Ὑποδὺς ἐν τῷ βυθῷ,
οὗ τὸ εἶδος ἄδου,
ὁ μελάνδετος οὐχ ὑπήκουον ἐκεῖ
φορολόγου ψάλλοντος
οὐδὲ ἔμαθον ἐκεῖ ἐξομολογήσεως·
οἴμοι ! οἷον σκότος
σκότος ἀμείβεται !
οὐ μόνον ἐν καρδίᾳ,
Χριστέ, ἀπεμνημόνευον.

Ὠδὴ ζ'

Πῦρ δροσίζον οὐκ ὤφθη ποτέ,
εἰμὴ τὸ Βαβυλώνιον
οὐδὲ Παρθένος τίκτουσα
εἰμὴ Μαριὰμ ἡ ἀπείρανδρος·
καὶ τύπον ἔφερε τῆς Παρθένου κάμινος·
παῖδες δὲ ἐδροσίζοντο θεολογοῦντες
τῶν τεραστίων ὁ Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'

Ἀσεβοῦς τυράννου πάλαι
ἀγνωμοσύνῃ ἐξεφαυλίσθη ἐν Βαβυλῶνι·
τὴν γὰρ κάμινον ὑπερεκπερισσοῦ ἐκκαύσας
καὶ χρυσοῦν ἴνδαλμα προσκυνῆσαι θεσπίσας
θαρσαλέως οἱ τρεῖς παῖδες
ἐφετμῆς καταφρονήσαντες
καὶ ἐν αὐτῇ βληθέντες
ἀσινεῖς διέμειναν ψάλλοντες·
εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

Ὠδὴ θ'

Χαίροις πύλη νοερὰ
ἣν διώδευσε μόνος
ἐκ μόνου μονογενὴς
Χριστὸς ὁ Θεὸς ἡμῶν
ὁ ἐκ σοῦ ἀφράστως ἐνανθρωπήσας
καὶ μορφωθεὶς τὸ καθ' ἡμᾶς,
Θεοτόκε ἄχραντε,
διό σε μεγαλύνομεν.

Εἱρμὸς ἄλλος

Τοῦ πατρὸς τὸν συνάναρχον
καὶ συναίδιον Λόγον,
Θεοτόκε Παρθένε,
ἀπεράνδρως ἐκύησας
διπλοῦν ἅμα Θεὸν καὶ ἄνθρωπον
τὸν ἐκουσίως δι' ἡμᾶς
σταυρὸν ὑπομείναντα
καὶ ἀναστάντα ἐκ νεκρῶν
Χριστὸν τὸν Θεὸν ἡμῶν
ὃν εὐσεβῶς προσκυνοῦντες
σὲ ἀνυμνοῦντες μεγαλύνομεν.

223

ΕΙΣ ΤΗΝ ΑΝΑΛΗΨΙΝ

Ἴαμβοι

Ποίημα Θεογνώστου ἡγουμένου

Β φ. 190β

Ὠδὴ α'. Ἦχος πλ. α'. Ὁ Εἱρμός.

Λίγυπτον αἰσχρὰν ἐμπαθῶς δουλούμενοι
ἐσθλῶς [1] διαδράσωμεν Ἰσραὴλ νέος
νέαν βιοῦντες ἐντολῶν Χριστοῦ τρίβον
ὅσοι κατεχράνθημεν ἐσμῷ πταισμάτων
ὕμνον προσευκτὸν ἐκβοῶντες Κυρίῳ.

Ὠδὴ γ'

Βέβηλοι μὴ καυχᾶσθε λέξει ῥητόρων
ἔνθα φθόνος κόμπος τε καὶ λέσχη βρύει
βέλη κατ' ἀλλήλων τε πέμπουσι μάχη
ἤδη προφῆτις Ἄγνα προσφωνεῖ φίλοι
λόγοις Θεοῦ κηρυχῶ δὲ πᾶς ὁ χριστό-[φρων.

Ὠδὴ δ'

Λίνει προφήτης Ἀββακοὺμ εὐκτῶς λέγων
ἐν τοῖς ποταμοῖς καὶ θαλάσσῃ μηδόλως
παρορμῶ ὀργισθήσῃ τοῖς ὑπευθύνοις·
ἡμεῖς δέ σοι βοῶμεν αὐτῷ, Χριστέ μου,
εὐεκτικὴν δέχοιο δόξαν ἁσμάτων.

Ὠδὴ ε'

Καταύγασόν μου, Χριστέ, τὰς νοὸς φρένας
ὑμνεῖν ἐν ὄρθροις παννύχοις πρὸς εὐκτίαις
Ἡσαΐας πρὶν ὡς ἔφησε τὸν μόνον
σωτῆρα καὶ παντουργὸν ὡς εὐεργέτην
ἄκος νέμοντα ῥᾳδῶς χάριν μοι καὶ λύτρον.

Ὠδὴ ς'

Εἰς κῆτος αἰσχρῶν ἐμπεσὼν προσκομμάτων
βοῶν προσαυδῶ τοῦ πρὶν Ἰωνᾶ λόγους·
ὦ Χριστέ, γαστρὸς πταισμάτων ἐξελκύσας
γυμνὸν παθῶν γειρῶν ἄσμασι μέλπειν
εὐοδῶν ἀξίωσον καὶ ψυχῶν λύτρου.

Ὠδὴ ζ'

Νέους προετρέποντο Ἑβραῖοι τοῦ σέβειν
ὀθνεῖον ἀνδρεῖκελον εὔμουσον βίᾳ
ὡς σύμφρονες νῦν δεῦτε δ' ὠδὴν τῶν νέων
μέλψωμεν εὐκτῶς . . . . . Κυρίῳ
εἰς λύτρον ἡμῶν, σωτῆρ, εὐλογητὸς εἶ.

Ὠδὴ η'

Οἱ τὴν φλόγα σβέσαντες ὑμνῳδοὶ νέοι
ὕμνον προεξένησαν ἡμῖν εὐκταῖον
πάντες πρὸς ὄρθρον εὐκαίρως φιλοφρόνως
ὡς συμπαθῆ περ ὄχλοντες εὐκτῶς δεῦτέ μοι
ἐν ἅπασι ξὺν ἴχνῳ εὖ Θεῷ δότε.

Ὠδὴ θ'

Ὑπερφερὲς κατάχημα τῆς οἰκουμένης,
ὦ παντάνασσα μῆτερ εὐλογημένη,
σὲ τῶν προφητῶν ἐσμὸς ἐκάλει βλέπων
φρέαρ πόλιν τράπεζαν καὶ πύλην βάτον
ὡς μᾶλλον ἡμεῖς οἶκον ἐνθέου κράτους.

(1) Ὁ Κῶδ. ἐσθιῷ διαδράσωμεν.

ΕΙΡΜΟΙ ΠΛ. Β' ΗΧΟΥ

224

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Ἰωάννου μοναχοῦ

149α. Β φ. 193β

Ὠδὴ α'. Ἦχος πλ. β'. Ὁ Εἱρμός.

Ὡς ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραὴλ
ἐν ἀβύσσῳ ἴχνεσι
τὸν διώκτην Φαραὼ
καθορῶν ποντούμενον, Θεῷ
ἐπινίκιον ᾠδὴν
ἐβόα ἄσωμεν.

Ὠδὴ γ'

Οὐκ ἔστιν ἅγιος ὡς σύ,
Κύριε ὁ Θεός μου,
ὁ ὑψώσας τὸ κέρας
τῶν πιστῶν σου, ἀγαθέ,
καὶ στερεώσας ἡμᾶς
ἐν τῇ πέτρᾳ
τῆς ὁμολογίας σου.

Ὠδὴ δ'

Χριστός μου δύναμις
Θεὸς καὶ Κύριος
ἡ σεπτὴ ἐκκλησία
θεοπρεπῶς
μέλπει ἀνακράζουσα
ἐκ διανοίας καθαρᾶς
ἐν Κυρίῳ ἑορτάζουσα.

Ὠδὴ ε'

Τῷ θείῳ φρέγγει σου, ἀγαθέ,
ὡς τῶν ὀρθριζόντων σοι ψυχὰς
πόθῳ καταύγασον δέομαι
εἰδέναι, Λόγε Θεοῦ,
τὸν ὄντως Θεὸν
ἐκ ζόφου τῶν πταισμάτων
ἀνακαλούμενον.

Ὠδὴ ς'

Τοῦ βίου τὴν θάλασσαν
ὑφουμένην καθορῶν
τῶν πειρασμῶν τῷ κλύδωνι
τῷ εὐδίῳ λιμένι σου προσδραμὼν
βοῶ σοι ἀνάγαγε
ἐκ φθορᾶς τὴν ζωήν μου, πολυέλεε.

Ὠδὴ ζ'

Δροσοβόλον μὲν τὴν κάμινον εἰργάσατο
ἄγγελος τοῖς ὁσίοις παισὶ
τοὺς Χαλδαίους δὲ καταφλέγον
πρόσταγμα Θεοῦ·
τὸν τύραννον ἔπεισε βοᾷν·
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Ἐκ φλογὸς τοῖς ὁσίοις
δρόσον ἐπήγασας
καὶ δικαίου θυσίαν
ὕδατι ἔφλεξας·
ἅπαντα γὰρ δρᾷς,
Χριστέ, μόνῳ τῷ βούλεσθαι
σὲ ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'

Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον
ὃν οὐ τολμᾷ ἀγγέλων ἀτενίσαι τὰ τάγ-[ματα
διὰ σοῦ δέ, πάναγνε, ὡράθη βροτοῖς
Λόγος σεσαρκωμένος

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

ὃν μεγαλύνοντες
σὺν ταῖς οὐρανίαις στρατιαῖς
σὲ μακαρίζομεν.

225

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Ἰωάννου μοναχοῦ

Α φ. 149α. Β φ. 192α

Ὠδὴ α'. Ἦχος πλ. β'. Ὁ Εἱρμός.

Αἰγυπτία μὲν χεὶρ
τὸν Ἰσραὴλ τυραννοῦσα
ἐν τῇ θαλάσσῃ ᾤχετο
δυνάμει τοῦ σταυροῦ·
Ἰσραὴλ δὲ ὠδὴν ἀνέμελπε·
τῷ λυτρωτῇ καὶ Θεῷ ἡμῶν ἄσωμεν.

Ὠδὴ γ'

Στερέωσον, Κύριε, τὴν ἐκκλησίαν σου
ὁ ἐν συνέσει μετεωρίσας τοὺς οὐρανοὺς
εἰς τὸ ὑμνεῖν τὴν ἄχραντον
οἰκονομίαν σου, φιλάνθρωπε.

Ὠδὴ δ'

Ἀκηκοώς σου τὰ προστάγματα
παριδὼν δέ, Κύριε,
καὶ τὴν ὁδὸν μὴ φυλάξας τεθανάτωμαι·
αὐτός με ἀνάστησον, σωτήρ,
ἡ ἐλπίς μου, δι' ἐμὲ πτωχεύσας
σάρκα βροτείαν λαβών.

Ὠδὴ ε'

Σὲ ἐπεπόθησα, Κύριε,
καὶ πρὸς σὲ ὀρθρίζω
τὸ ὑπέρθεον κάλλος
τὴν ψυχήν μου εὔφρανον ἐν τῷ φωτὶ
τῆς θεογνωσίας σου καὶ σῶσόν με.

Ὠδὴ ϛ'

Περιεκύκλωσέ με
ἄβυσσος ἐσχάτη τῆς ἁμαρτίας
καὶ καταπέπωκέ με
πλῆθος τῶν κακῶν μου
καὶ στένων βοῶ σοι·
ὁ Θεός μου ὡς τὸν προφήτην Ἰωνᾶν
λύτρωσαί με, πολυέλεε.

Ὠδὴ ζ'

Οἱ εὐτάλαντοι
καὶ θεοκερδέστατοι ἔμποροι
τῷ σῷ ἔρωτι
ἀφειδήσαντες, Χριστέ, τῶν σωμάτων
σὲ τὸν ἄχραντον
κτέαρ ἐκτήσαντο
καὶ ἀπαθῶς τὴν φλόγα πατοῦντες
εὐχαρίστως ἔψαλλον·
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Ξένον πέπραχεν
ἐν Βαβυλῶνι κάμινος πάλαι·
ὑπηρέτας μὲν ἐμμανῶς καταφλέγει
τοὺς δὲ παῖδας θεόθεν
δρόσον ἐν μέσῳ πηγάζει
οὓς ἀφλέκτους ἐτήρησεν
εὐλογοῦντας ὑμνοῦντας
καὶ ὑπερυψοῦντας τὸν Κύριον.

Ὠδὴ θ'

Τὴν αἰωνίαν εὑράμενοι λύτρωσιν
τῆς ἐκ προπάτορος Ἀδὰμ
ἄνωθεν ἐκφυείσης
τῷ γένει φρικτῆς ἀποφάσεως
τὸν τόκον σου σὺν ἀσωμάτοις
τὸν ἀκατάληπτον δοξολογοῦντες,
Θεοτόκε, σὲ ὕμνοις
ἀπαύστως μεγαλύνομεν.

226

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Ἰωάννου μοναχοῦ

Α φ. 151α. Β φ. 193β

Ὠδὴ α'. Ἦχος πλ. β'. Ὁ Εἱρμός.

* Τῷ ἐν θαλάσσῃ Ἐρυθρᾷ
ὡς διὰ ξηρᾶς καθοδηγήσαντι τὸν Ἰσρα
Χριστῷ τῷ Θεῷ ἡμῶν
ἄσωμεν ἆσμα καινόν.

Ὠδὴ γ'

Στερέωσόν με, Χριστέ μου·
καὶ γὰρ σεσάλευμαι
ὑπ' ἐχθρῶν μου ἡττηθείς·
ἀλλὰ σύ με στήριξον
ἵνα ἐχθροὶ ἐπ' ἐμὲ
μὴ καυχήσωνται.

Ὠδὴ δ'

Κύριε, εἰσακήκοα
σῆς οἰκονομίας τὸ μυστήριον·
ἀφάτῳ γὰρ φιλανθρωπίᾳ
δι' ἡμᾶς κατηξίωσας
γενέσθαι καθ' ἡμᾶς·
διό σοι κράζομεν
δόξα τῇ δυνάμει σου.

Ὠδὴ ε'

Εἰρήνης ὁ βασιλεύων
καὶ τῶν αἰώνων δεσπόζων
τὴν ψυχήν μου φώτισον
τῷ φωτὶ τῆς σῆς ἀγαθότητος, Κύρ
ὅτι ἐκτός σου Θεὸν ἄλλον οὐκ οἶδα

Ὠδὴ ϛ'

Ἐβόησα ἐν θλίψει
πρὸς τὸν οἰκτίρμονα
καὶ φιλάνθρωπον Θεὸν
ἀνάγαγέ με ἐκ βάθους
τῶν πολλῶν μου δεινῶν ὡς εὔσπλαγχνος.

Ὠδὴ ζ'

Αἰνετὸς καὶ δεδοξασμένος ὑπάρχεις
ὁ τοὺς παῖδας ἐν καμίνῳ φυλάξας
εὐσεβήσαντας
καὶ πίστει σοι βοήσαντας·
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'.

Τῆς μουσικῆς συμφωνίας
καταφρονήσαντες οἱ παῖδες
θεϊκὴν ὑμνῳδίαν
ἐκ τῆς φλογὸς ἀνέμελπον λέγοντες·
ἱερεῖς εὐλογεῖτε
λαοὶ φυλαὶ καὶ γλῶσσαι
ὑπερυψοῦτε τὸν Κύριον.

Ὠδὴ θ'

Σὲ μεγαλύνομεν, Παρθένε ἀπειρόγαμε,
τὴν τεκοῦσαν τὸν κλίναντα
τοὺς οὐρανοὺς καὶ καταβάντα
καὶ ἐπὶ σταυροῦ ὑψωθέντα
τὸν μόνον ἐργασάμενον
τὴν σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

227

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Ἰωάννου μοναχοῦ

Α φ. 152α. Β φ. 194β

Ὠδὴ α'. Ἦχος πλ. β'. Ὁ Εἱρμός.

* Τῷ διαρρήξαντι Θεῷ
τὴν Ἐρυθρὰν θάλασσαν
καὶ ὁδηγήσαντι τὸν Ἰσραὴλ
ἐν μέσῳ αὐτῆς
ἐν εὐφροσύνῃ ἄσωμεν
ὠδὴν ἐπινίκιον
ὅτι δεδόξασται.

Ὠδὴ γ'

Τὸ στόμα μου πλάτυνον
ἐπὶ τοὺς ἐχθρούς μου, Κύριε,
καὶ στερέωσον τὴν καρδίαν μου ἐπὶ σοὶ
ἀπαύστως κραυγάζειν
ἅγιος εἶ, Κύριε.

Ὠδὴ δ'

Κύριε τὴν ἀκοήν σου
εἰσακήκοα καὶ ἐφοβήθην,
Κύριε, τὰ ἔργα σου
κατενόησα καὶ ἐξέστην
ὅτι Θεὸς ὑπάρχων
γέγονας ἄνθρωπος.

Ὠδὴ ε'

Ὁ τὸ μεσότοιχον τοῦ φραγμοῦ διαρρήξας
καὶ ἀποκτείνας τὴν ἔχθραν ἐν σαρκὶ
τὴν σὴν εἰρήνην παράσχου ἡμῖν, φιλάν-
[θρωπε.

Ὠδὴ ϛ'

Ἄβυσσος πταισμάτων,
φιλάνθρωπε σωτήρ,
μή με καταπιέτω·
πρὸς σὲ γὰρ ἐβόησα
ἐκ τοῦ βάθους τῆς καρδίας μου.

Ὠδὴ ζ'

Θεοσεβείας ἐρασταὶ
οἱ εὐθαρσεῖς τρεῖς παῖδες ὑπάρχοντες
εἰκόνι χρυσῇ οὐ προσεκύνησαν
ἀλλ' ἐν καμίνῳ βληθέντες
καὶ φλόγα εἰς γῆν ποδὶ πατοῦντες ἔψαλλον·
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Τυραννικοῦ προστάγματος
καὶ πυρὸς ὑπεριδόντες ἀπειλὴν
οἱ θεοφόροι παῖδες
ἐν μέσῳ πυρὸς δροσιζόμενοι
ἐν εὐφροσύνῃ ἔλεγον·
τὰ ἔργα Κυρίου τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Ἡ διὰ λόγου τὸν Λόγον μόνη κυήσασα
αἱρετικῶν τὰ στόματα
ἔμφραξον δυσφημούντων εἰς σὲ
ἵνα σε καὶ τὸν ἐκ σοῦ τεχθέντα
ὁμοφρόνως μεγαλύνωμεν.

228

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Ἰωάννου μοναχοῦ

Α φ. 153α. Β φ. 195β

Ὠδὴ α'. Ἦχος πλ. β'. Ὁ Εἱρμός.

* Διελθὼν τὴν Ἐρυθρὰν
θάλασσαν ὁ Ἰσραὴλ
καὶ καθορῶν τὸν Φαραὼ
βυθισθέντα ἐν αὐτῇ
εὐχαρίστως ἔψαλλεν·
τῷ Κυρίῳ ἄσωμεν
ἐνδόξως γὰρ δεδόξασται.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

Ὠδὴ γ΄

Ἐν στέρνοις καρδίας
καὶ ψυχῆς μου κράζω σοι
ὡς ἡ προφῆτις Ἄννα·
ὡς ἐκείνη δέδωκας
δι' εὐχῆς τὸν Σαμουὴλ
κἀμοὶ δώρησαι, Κύριε,
καρπὸν μετανοίας.

Ὠδὴ δ΄

Ἀνεκαίνισας τὸ κάλλος τῆς σῆς εἰκόνος·
πρὸς γὰρ ταύτην ἐκ πατρώων
κατελήλυθας κόλπων
καὶ βοῶμέν σοι· δόξα
τῇ δυνάμει σου, φιλάνθρωπε.

Ὠδὴ ε΄

Τὸ φῶς καὶ τὴν εἰρήνην σου, Χριστέ,
τοῖς δούλοις σου παράσχου, ἀγαθέ,
σὺ γὰρ πέλεις πάντων ἡ εἰρήνη
καὶ σύνδεσμος ἀγάπης, φιλάνθρωπε,
τοῖς σὲ ἐγνωκόσι
ὄρθρον φαεινὸν
καὶ δεσπότην ὄντως καὶ Κύριον.

Ὠδὴ ς΄

Ἐν ἀρρήτοις καὶ βαθείαις θλίψεσι κείμενος
ὁ λαός σου, Κύριε,
κραυγάζει σοι, Λέσποτα,
ἀνάγαγέ μου τὴν ζωὴν ἐκ φθορᾶς
ὁ δείξας τὴν ἀνάστασιν.

Ὠδὴ ζ΄

Τοὺς μὲν τρεῖς νεανίας
οὐ κατερλόγισε πάλαι
κορυφωθεῖσα ἡ φλόξ·
τῶν παθῶν δὲ τὸ πῦρ
ἀρειδῶς με καῦσαν
πρὸς φθορὰν ἀπέθετο·
ἀλλ' ὡς ἐκείνους ἐρρύσω
ἐλλάμψει τῇ σῇ, ἄδοντα
σὺν αὐτοῖς με διάσωσον·
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η΄

Τὸν συνοδεύσαντα Χριστὸν
τοῖς περὶ τὸν Κλεόπα
καὶ τὰς προφητείας ἑρμηνεύσαντα αὐτοῖς
καὶ ἐν τῇ κλάσει τοῦ ἄρτου
τοὺς ὀφθαλμοὺς διανοίξαντα
καὶ ἐπιγνωσθέντα
πάντα τὰ ἔργα ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ΄

Ἅρμα πολυώνυμον
ἄλλος νέος οὐρανὸς
ἄσυλος παράδεισος,
ἄχραντε Θεοτόκε,
σὲ μεγαλύνομεν.

229

ΤΗ ΛΑΪΑ ΚΑΙ ΜΕΓΑΛΗ ΠΕΜΠΤΗ

Ποίημα Κοσμᾶ μοναχοῦ

Α φ. 154α. Β φ. 199α

Ὠδὴ α΄. Ἦχος πλ. β΄. Ὁ Εἱρμός.

Τμηθεῖσα τμᾶται
πόντος ἐρυθρὸς
κυματοτρόφος δὲ ξηραίνεται βυθὸς
ὁ αὐτὸς ὁμοῦ ἄοπλος γεγονὼς βατὸς
καὶ πανοπλίτας τάφος·
ᾠδὴ δὲ θεοτερπὴς ἀνεμέλπετο·
ἐνδόξως δεδόξασται
Χριστὸς ὁ Θεὸς ἡμῶν.

Ὠδὴ β΄

Ποίημα Θεοφάνους

Ὥσπερ ὄμβρος ἐπ' ἄγρωστιν, Χριστέ,
καὶ ὡσεὶ νιφετὸς
ἡ γλυκεῖα γέγονε φωνή
τοῖς μαθηταῖς σου ἐν τῷ νιπτῆρι
τοῦ θείου βαπτίσματος
τὴν χάριν προεμφαίνουσα
καὶ ταπεινώσεως τύπον
ἡμῖν προϋπογράφουσα
ἱερουργεῖν σοι τὰ θεῖα
ὡς Θεῷ ἀληθεῖ.

Ὠδὴ γ΄

Κύριος ὢν πάντων
καὶ κτίστης Θεὸς
τὸ κτιστὸν ὁ ἀπαθὴς
πτωχεύσας ἑαυτῷ ἥνωσε·
καὶ τὸ Πάσχα, οἷς ἔμελε θανεῖν,
αὐτὸς ὢν ἑαυτὸν προετίθη
φάγετε, βοῶν, τὸ σῶμά μου
καὶ πίστει στερεωθήσεσθε.

Εἱρμὸς ἄλλος ὅμοιος

[Ποίημα Θεοφάνους]

Κύριε σωτήρ μου
καὶ κτίστα Θεὲ
ὁ τὴν γὴν ἐπ' οὐδενὸς
προστάξει κατ' ἀρχὰς βρίθουσαν
στερεώσας στερέωσον καὶμὲ
τῇ πίστει τοῦ βοᾶν ἐν εὐφροσύνῃ
σύ μου [εἶ] ἰσχὺς καὶ δύναμις
καὶ ὅπλον καὶ καταφύγιον.

Ὠδὴ δ΄

Προκατιδὼν ὁ προφήτης
τοῦ μυστηρίου σου τὸ ἀπόρρητον,
Χριστέ, προανεφώνει σοι·
ἔθου κραταιὰν
ἀγάπησιν ἰσχύος,
πάτερ οἰκτίρμον,
τὸν μονογενῆ υἱὸν γάρ, ἀγαθέ,
ἱλασμὸν εἰς τὸν κόσμον ἀπέστειλας.

Εἱρμὸς ἄλλος ὅμοιος

[Ποίημα Θεοφάνους]

Προβλεπτικῶς Ἡσαΐας
κατανοῶν τὴν ἄσπορον κύησιν
τὴν σήν, Παρθένε, ἐκραύγαζε·
ἰδοὺ ἐν γαστρὶ
συλλήψεται Παρθένος
τεκοῦσα Λόγον
τὸν μονογενῆ υἱόν τε τοῦ πατρὸς
τὸν σὺν Πνεύματι θείῳ δοξολογούμενον.

Ὠδὴ ε΄

Τῷ συνδέσμῳ τῆς ἀγάπης
συνδεόμενοι οἱ ἀπόστολοι
τῷ δεσπόζοντι τῶν ὅλων
ἑαυτοὺς Χριστῷ ἀναθέμενοι
ὡραίους πόδας ἐξαπενίζοντο
εὐαγγελιζόμενοι πᾶσιν εἰρήνην.

Εἱρμὸς ἄλλος ὅμοιος

[Ποίημα Θεοφάνους]

Οἱ ἐκ νυκτὸς ἀγνωσίας
ἐσχηκότες φῶς τῆς σῆς γνώσεως
ἱκετεύομέν σε, Λόγε
τοῦ πατρός, ἡμῖν ἐξανάτειλον,
Χριστέ, εἰρήνην τὴν ὑπερέχουσαν
πάντα νοῦν καὶ ἔννοιαν, σῶτερ, ἀνθρώπων.

Ὠδὴ ς΄

Ἄβυσσος ἐσχάτη
ἁμαρτημάτων ἐκύκλωσέ με
καὶ τὸν κλύδωνα μηκέτι φέρων
ὡς ὁ Ἰωνᾶς τῷ Δεσπότῃ βοῶ σοι·
ἐκ φθορᾶς με ἀνάγαγε.

Ὠδὴ ζ΄

Οἱ παῖδες ἐν Βαβυλῶνι
καμίνου φλόγα οὐκ ἔπτηξαν
ἀλλ' ἐν μέσῳ φλογὸς ἐμβληθέντες
δροσιζόμενοι ἐψάλλον·
εὐλογητὸς εἶ, Κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὠδὴ η΄

Νόμων πατρώων οἱ μακαριστοὶ
ἐν Βαβυλῶνι νέοι προκινδυνεύοντες
βασιλεύοντος κατέπτυσαν
προσταγῆς ἀλογίστου
καὶ συνημμένοι, ὦ οὐκ ἐχωνεύθησαν πυρί
τοῦ κρατοῦντος ἐπάξιον
ἀνέμελπον τὸν ὕμνον·
τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄

Ξενίας δεσποτικῆς
καὶ ἀθανάτου τραπέζης
ἐν ὑπερῴῳ τόπῳ
ταῖς ὑψηλαῖς φρεσὶ
πιστοὶ δεῦτε ἀπολαύσωμεν
ἐπαναβεβηκότα λόγον
ἐκ τοῦ Λόγου μαθόντες
ὃν μεγαλύνομεν.

230

ΤΗ ΛΑΪΑ ΚΑΙ ΜΕΓΑΛΗ ΠΑΡΑΣΚΕΥΗ

Ποίημα Κοσμᾶ μοναχοῦ

Α φ. 155α. Β φ. 200α

Ὠδὴ α΄. Ἦχος πλ. β΄. Ὁ Εἱρμός.

Πρὸς σὲ ὀρθρίζω
τὸν δι' εὐσπλαγχνίαν
σεαυτὸν τῷ πεσόντι
κενώσαντα ἀτρέπτως
καὶ μέχρι παθῶν
ἀπαθῶς ὑποκύψαντα,
Λόγε Θεοῦ,
τὴν εἰρήνην παράσχου μοι, φιλάνθρωπε.

Ὠδὴ η΄

Στήλην κακίας ἀντιθέου
παῖδες θεῖοι παρεδειγμάτισαν
κατὰ Χριστοῦ δὲ φρυαττόμενον
ἄνομον συνέδριον
βουλεύεται κενά·
κτεῖναι μελετᾷ
τὸν ζωῆς κρατοῦντα παλάμῃ·
ὃν πᾶσα κτίσις εὐλογεῖ
δοξάζουσα εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ΄

Τὴν τιμιωτέραν τῶν χερουβὶμ
καὶ ἐνδοξοτέραν
ἀδιαφθόρως
τὴν ἀδιαφθόρως
Θεὸν Λόγον τεκοῦσαν
τὴν ὄντως Θεοτόκον
σὲ μεγαλύνομεν.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

231

ΤΩ ΑΓΙΩ ΚΑΙ ΜΕΓΑΛΩ ΣΑΒΒΑΤΩ

Ποίημα Κασιανῆς μοναχῆς [1]

Λ φ. 156α. Β φ. 200β

Ὠδὴ α'. Ἦχος πλ. β'. Ὁ Εἱρμός.

Κύματι θαλάσσης
τὸν κρύψαντα πάλαι
διώκτην τύραννον
ὑπὸ γῆν ἔκρηψαν
τῶν σεσωσμένων οἱ παῖδες·
ἀλλ' ἡμεῖς ὡς αἱ νεάνιδες
τῷ Κυρίῳ ἄσωμεν
ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ γ'

Σὲ τὸν ἐπὶ ὑδάτων
κρεμάσαντα πᾶσαν τὴν γῆν ἀσχέτως
ἡ κτίσις κατιδοῦσα
ἐν τῷ κρανίῳ κρεμάμενον
θάμβει πολλῷ συνείχετο·
οὐκ ἔστιν ἅγιος
πλήν σου, Κύριε, κραυγάζουσα.

Ὠδὴ δ'

Τὴν ἐν σταυρῷ σου θείαν κένωσιν
προορῶν Ἀββακοὺμ
ἐξεστηκὼς ἐβόα·
σὺ δυναστῶν διέκοψας
κράτος, ἀγαθέ,
ὁμιλῶν τοῖς ἐν ἅδου
ὡς παντοδύναμος.

Ὠδὴ ε'

Θεοφανείας σου, Χριστέ,
τῆς πρὸς ἡμᾶς συμπαθῶς γενομένης
Ἡσαΐας φῶς ἰδὼν ἀνέσπερον
ἐκ νυκτὸς ὀρθρίσας ἐκραύγαζεν·
ἀναστήσονται οἱ νεκροὶ
καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις
καὶ πάντες οἱ ἐν τῇ γῇ
ἀγαλλιάσονται.

(1) Ἐν τῷ Λαυριωτικῷ Κώδ. Β 32 οἱ Εἱρμοὶ οὗτοι τῶν δ' ᾠδῶν ἀναγράφονται ἐσφαλμένως εἰς Μάρκον τὸν μητροπολίτην Νικαίας, ἐν δὲ τῷ Παρισινῷ 220 Coislin εἰς τὸν μοναχὸν Κοσμᾶν· ἡ τοιαύτη σύγχυσις παρατηρεῖται εἰς πολλοὺς Κώδικας. Τὸ βέβαιον εἶνε καὶ πάσης ἀμφιβολίας ἐκτὸς ὅτι ἡ Κασιανὴ ἐποίησε τοὺς Εἱρμοὺς τῶν τεσσάρων πρώτων ᾠδῶν μετὰ τῶν ἀπαραιτήτων Τροπαρίων ἅτινα ἐσώθησαν εὐτυχῶς ἐν Βατοπεδινῷ Κώδικι, ὁ δὲ ἐπίσκοπος Ἰδροῦντος Μάρκος παραλαβὼν τοὺς Εἱρμοὺς τῆς Κασιανῆς ἐφιλοτέχνησε τὰ γνωστὰ Τροπάρια· τὸ δὲ λοιπὸν τοῦ Κανόνος μετὰ τῶν Εἱρμῶν εἶνε ἔργον τοῦ μοναχοῦ Κοσμᾶ.

Ποίημα Κοσμᾶ μοναχοῦ

Ὠδὴ ς'

Συνεσχέθη
ἀλλ' οὐ κατεσχέθη
στέρνοις κητώοις Ἰωνᾶς·
σοῦ γὰρ τὸν τύπον φέρων
τοῦ παθόντος καὶ ταφῆ δοθέντος
ὡς ἐκ θαλάμου τοῦ θηρὸς ἀνέθορε
προσεφώνει δὲ τῇ κοιλίᾳ·
οἱ φυλασσόμενοι μάταια καὶ ψευδῆ
ἔλεον αὐτοῖς ἐγκατελίπατε.

Ὠδὴ ζ'

Ἄφραστον θαῦμα !
ὁ ἐν καμίνῳ ῥυσάμενος
τοὺς ὁσίους παῖδας ἐκ φλογὸς
ἐν τάφῳ νεκρὸς
ἄπνους κατατίθεται
εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων·
λυτρωτὰ
ὁ Θεός, εὐλογητὸς εἶ.

Εἱρμὸς ἄλλος ὅμοιος

Μένος τυράννου
δι' εὐσεβείας τρισόλβιοι
νεανίαι ἤμβλυναν σαφῶς
καὶ φλόγα πυρὸς
δροσοβόλον ἔδειξαν
θεολογοῦντες καὶ πίστει μελῳδοῦντες·
λυτρωτὰ
ὁ Θεός, εὐλογητὸς εἶ.

Ὠδὴ η'

Ἐκστῆθι, φρίττων οὐρανὲ
καὶ σαλευθήτωσαν
τὰ θεμέλια τῆς γῆς·
ἰδοὺ γὰρ ἐν νεκροῖς λογίζεται
ὁ ἐν ὑψίστοις οἰκῶν
καὶ τάφῳ σμικρῷ ξενοδοχεῖται
ὃν παῖδες εὐλογεῖτε
ἱερεῖς ἀνυμνεῖτε
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

Εἱρμὸς ἄλλος ὅμοιος

Ἔσβεσαν δύναμιν πυρὸς
καὶ καθυπέταξαν
τοῦ τυράννου τὴν ὀργὴν
οἱ παῖδες Ἀβραὰμ παγκόσμιοι
καὶ ὑπηρέτας δεινοὺς
καθεῖλαν τῷ Θεῷ μελῳδοῦντες·
ἡ κτίσις ἀνυμνείτω
τὸν τῶν ὅλων Δεσπότην
καὶ ὑπερυψούτω
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Μὴ ἐποδύρου μου, μῆτερ,
καθορῶσα ἐν τάφῳ
ὃν ἐν γαστρὶ ἄνευ σπορᾶς
συνέλαβες υἱόν·
ἀναστήσομαι γὰρ καὶ δοξασθήσομαι
καὶ ὑψώσω ἐν δόξῃ
ἀπαύστως ὡς Θεὸς
τοὺς ἐν πίστει καὶ πόθῳ
σὲ μεγαλύνοντας.

232

ΕΙΣ ΤΗΝ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΙΝ ΚΑΙ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΑΓΑΘΟΝΙΚΟΝ

Ποίημα [Ἀναστασίου] Κυέστορος

Λ φ. 156α. Β φ. 217α

Ὠδὴ α'. Ἦχος πλ. β'. Ὁ Εἱρμός.

Κύματι θαλάσσης
τὸν κρύψαντα πάλαι
διώκτην τύραννον
φάτνῃ κρυπτόμενον·
κτεῖναι ζητεῖ ὁ Ἡρώδης·
ἀλλ' ἡμεῖς σὺν μάγοις μέλψωμεν·
τῷ Κυρίῳ ἄσωμεν
ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ β'

Ἴδετε ἴδετε
ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν
ὁ ἐν ἐρήμῳ ξένον λαὸν
καὶ φυγάδα διαθρέψας
καὶ νόμιον δοὺς πρὸς βίου τελείωσιν
καὶ τὴν σκιὰν εἰς ἀλήθειαν διὰ τῆς χάριτος
μεταμφιάσας τῇ ἰσχύϊ μου.

Ὠδὴ γ'

Σὲ τὸν ἐπὶ ὑδάτων
κρεμάσαντα πᾶσαν τὴν γῆν ἀσχέτως
ἡ κτίσις κατιδοῦσα
ἐν τῷ σπηλαίῳ κρυπτόμενον
θαμβητικῶς συνείχετο
οὐκ ἔστιν ἅγιος
πλήν σου, Κύριε, κραυγάζουσα.

Εἱρμὸς ἄλλος ὅμοιος

Πέτρας ἐξ ἀκροτόμου
τῶν θηλασάντων οἱ ἀπόγονοι μέλι
ὑπὸ πέτραν ἐσφραγίσαντο
σὲ τὸν θησαυρὸν τῆς ζωῆς τῶν ἁπάντων
ὧν τὴν τόλμαν ἡ κτίσις
ἐρυθριῶσα ὑπὸ τρόμου ἐκραύγαζεν·
οὐκ ἔστιν ἅγιος
πλήν σου, Κύριε, φιλάνθρωπε.

Ὠδὴ δ'

Τὴν ἐκ Παρθένου παρουσίαν σου
προϊδὼν Ἀββακοὺμ
ἐξεστηκὼς ἐβόα·
σὺ ἐκ Θαιμὰν σαρκούμενος
ἥκεις, λυτρωτά,
τὸν Ἀδὰμ ἀπωσμένον
ἀνακαλέσασθαι.

Ὠδὴ ε'

Θεοφανείας σου, Χριστέ,
τῆς πρὸς ἡμᾶς συμπαθῶς γενομένης
Ἡσαΐας φῶς ἰδὼν ἀνέσπερον
ἐκ νυκτὸς ὀρθρίσας ἐκραύγαζεν·
ἡ Παρθένος ἰδοὺ γαστρὶ
ἕξει καὶ τέξεται σαρκούμενον Λόγον
καὶ πάντες οἱ γηγενεῖς ἀγαλλιάσονται.

Εἱρμὸς ἄλλος

Ὁ πρὸ ἑωσφόρου ἄδυτος ἥλιος
ἐκ πατρὸς ἀνατείλας
ὡς τὸ ἀρχέγονον σκότος
τὸν τῆς ψυχῆς μου διασκέδασον ζόφον
καὶ τῷ φωτί σου τῶν προσταγμάτων
κατεύθυνόν μου τὰς τρίβους
υἱὲ Θεοῦ καὶ Λόγε
ἵνα ὀρθρίζων δοξάζω σου
τὸ ἀνέσπερον τῆς θεότητος.

Ὠδὴ ς'

Συνεσχέθη
ἀλλ' οὐ κατεσχέθη
στέρνοις κητώοις Ἰωνᾶς
σοῦ γὰρ τὸν τόκον, Λόγε,
προμηνύων τὸν ἐκ τῆς Παρθένου
γαστρὸς κητώας ἀσινὴς ἀνέθορε
προσεφώνει δὲ τῷ μιαφόνῳ Ἡρῴδῃ
μάταια καὶ κενὰ μελετᾶς κατὰ Χριστοῦ
Θεὸν φονεῦσαι ζητῶν.

Ὠδὴ ζ'

Ἄφραστον θαῦμα !
ὁ ἐν καμίνῳ ῥυσάμενος
τοὺς ὁσίους παῖδας ἐν φλογὶ
φάτνῃ πενιχρᾷ
βρέφος ἀνακέκλιται
εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων·
λυτρωτὰ
ὁ Θεός, εὐλογητὸς εἶ.

Εἱρμὸς ἄλλος

Ἐν Δειρᾷ τῇ καμίνῳ
δροσίζει παῖδας ὁ κτίστης
καὶ ποιητὴς τοῦ παντὸς
ὕμνον ἀναβοῶντας·
ὁ Θεὸς ὁ τῶν πατέρων
ἡμῶν εὐλογητὸς εἶ.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

Ὠδὴ η'

Ἔκστηθι φρίττων οὐρανὲ
καὶ σαλευθήτωσαν
τὰ θεμέλια τῆς γῆς·
ἰδοὺ γὰρ σπαργάνοις συμπλέκεται
ὁ πάντα φέρων δρακὶ
καὶ φάτνῃ σμικρᾷ ξενοδοχεῖται
ὃν παῖδες εὐλογεῖτε
ἱερεῖς ἀνυμνεῖτε
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

Εἱρμὸς ἄλλος

Τυράννου χρυσοχώνευτον στήλην
ὡς ἀντίθεον ἄγαλμα
οὐ προσεκύνησαν παῖδες οἱ Σιωνῖται
ἀλλὰ θεοφορούμενοι
τὴν περσικὴν ἀνθρακιὰν
ὥσπερ λειμῶνα ἡγοῦντο
καὶ τὴν φλόγα ὡς ψεκάζουσαν νεφέλην
καὶ χορεύοντες ἔψαλλον·
εὐλογεῖτε τὰ ποιήματα
πάντα τὸν Κύριον.

Ὠδὴ θ'

Μὴ διαπόρει μου μήτηρ
καθορῶσα ὡς βρέφος
ὃν ἐκ γαστρὸς πρὸ ἑωσφόρου
τέτοκε πατήρ·
ἀναστῆσαι καὶ γὰρ καὶ συνδοξάσαι βροτῶν
πεπτωκυῖαν τὴν φύσιν
ἐλήλυθα σαφῶς
τοῖς ἐν πίστει καὶ πόθῳ
σὲ μεγαλύνουσιν.

Εἱρμὸς ἄλλος

Παρθενίας σεμνότατον ἄγαλμα
καὶ ἁγνείας κειμήλιον πάντιμον
ἀπορρήτως τεκοῦσα
καὶ μητρικὰς ὠδῖνας φυγοῦσα
σὺ ἀναδέδειξαι·
ἀξιοχρέως ἄσμασι
ὅθεν σε μεγαλύνομεν.

233

ΑΝΑΣΤΑΣΙΜΟΣ ΑΝΑΤΟΛΙΚΗ

Ποίημα Ἰωάννου μοναχοῦ

Α φ. 157α. Β φ. 196β

Ὠδὴ α'. Ἦχος πλ. β'. Ὁ Εἱρμός.

* Διαμείβεταί σου βουλουμένου
πόντιον οἶδμα
καὶ πυθμὴν ἐρυθραῖος
χερσοβατεῖται θαλάσσης
ἀναμέλποντι λαῷ
ἄσωμεν ἆσμα καινὸν
ὅτι δεδόξασται.

Ὠδὴ β'

Ἐγώ εἰμι Θεὸς
νῦν ἴδετε καὶ γνῶτε
ὁ τῶν πατρώων κόλπων μὴ ἐκστὰς
καὶ σάρκα ἐνδυσάμενος
ἐκ τῆς Παρθένου Μαρίας
τῇ ἐξουσίᾳ μου.

Ὠδὴ γ'

Ὁ περιγράφων τὰ πάντα
τῇ ἀπείρῳ οὐσίᾳ
καὶ ἐν τοῖς κενεῶσι
τῆς Παρθένου συλληφθεὶς
οὐκ ἔστι σοι ὅμοιος
οὐδὲ πλὴν σου ἅγιος·
διὰ σοῦ γὰρ τὰ ὄντα ἐστερέωται.

Ὠδὴ δ'

Λι' οἶκτον ἐλέους σου, Δέσποτα,
τῶν ἀπ' αἰῶνος προφητῶν σου
τὰς προρρήσεις ἐπίστωσας·
ἐκ Παρθένου γὰρ ἐμφανισθεὶς
τῷ κόσμῳ ἐπεδήμησας
καὶ δοξάζομέν σε, Κύριε.

Ὠδὴ ε'

Πρὸς σὲ ὀρθρίζομεν, Χριστέ,
τὸν μόνον εὔσπλαγχνον
μὴ ἀποστρέψῃς ἀφ' ἡμῶν τὸ πρόσωπόν σου
ἀλλ' ἐπίσκεψαι καὶ ἴδε
τὴν κάκωσιν ἡμῶν
ὅτι ἐπτωχεύσαμεν σφόδρα
βοήθησον ἡμῖν
ὁ Θεὸς ὁ σωτὴρ ἡμῶν.

Ὠδὴ ϛ'

Ἐν θλίψει ἐβόησα πρὸς σὲ
τὸν οἰκτίρμονα Θεὸν
καὶ ἐπήκουσάς μου
τὴν ψυχήν μου ρυσάμενος
ἐξ ᾅδου κατωτάτου τῆς ἁμαρτίας.

Ὠδὴ ζ'

Φρικτοῦ ὡράθης ἔνδον πυρὸς
μυστικῶς, θαυματουργέ,
δυσμενεῖς καταφλέγων
εὐσεβεῖς δὲ δροσίζων
καὶ τύραννον ἐφέλκων
σὺν παισὶ ψάλλοντα, δροσοδότα
τῶν πατέρων ὁ Θεὸς
εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας.

Ὠδὴ η'

Τὸ τῆς εὐδοκίας τοῦ πατρὸς μυστήριον
ἐν Ἰορδάνῃ σήμερον
ἐκτελεῖ Χριστὸς ὁ Θεὸς
ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου

ἐν τοῖς ὕδασιν ἑστὼς
τὸν Ἀδὰμ ἀνέπλασεν
τὸ μεσότοιχον τοῦ φραγμοῦ διέλυσε
τὴν ὁδὸν τῆς ζωῆς ἡμῖν ὑπέδειξε·
διὸ οἱ πιστοὶ βοῶμεν
καὶ ὑπερυψοῦμεν
αὐτὸν εἰς τοὺς αἰῶνας.

Εἱρμὸς ἄλλος

Τῆς πυριφλέκτου καμίνου
τὴν ἑπταπλάσιον φλόγα
οἱ γενναιότατοι παῖδες
τῇ πίστει τῆς Τριάδος
ἀνδρείως κατεπάτησαν
καὶ δροσιζόμενοι εὐχαριστήριον
ὕμνον ᾄδοντες ἀνεβόων·
εὐλογεῖτε ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
Χριστὸν τὸν ζωοδότην εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Μεγαλύνομέν σε τὴν πύλην τὴν νοερὰν
ἐν ᾗ ἄσαρκος Λόγος εἰσελθὼν σοι
σαρκὶ προέρχεται
φυλάξας ἀδιάφθορον
τὴν τεκοῦσαν αὐτὸν θεομήτορα.

234

ΑΝΑΣΤΑΣΙΜΟΣ ΑΝΑΤΟΛΙΚΗ

Ποίημα Ἰωάννου μοναχοῦ

Α φ. 159α. Β φ. 197β

Ὠδὴ α'. Ἦχος πλ. β'. Ὁ Εἱρμός.

* Τὴν ἄτομον ἡ κεκομμένη ῥάβδος διέτεμεν
καὶ Φαραὼ τὸν ἐχθρὸν
Χριστὸς κατεπόντισε
καὶ Ἰσραὴλ ὁδῷ ἀβάτῳ
διήγαγε ᾄδοντα
ὠδὴν ἐπινίκιον
τῷ Κυρίῳ ἄσωμεν·
ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ β'

Φρίξον οὐρανὲ
γῆ κλονήθητι
καὶ αἰθὴρ τῷ ἐρέβῳ καλύφθητι
τὸν ποιητὴν τῶν ἁπάντων
ὡς κατάκριτον βλέποντες
παλάμας τείναντα
ἵνα τοῦ προπάτορος
τῆς ἀρᾶς ἡμᾶς λυτρώσηται.

Ὠδὴ γ'

Ἐν τῇ πέτρᾳ τῆς πίστεως
στερέωσόν μου τὴν διάνοιαν
καὶ ἐν τῇ βάσει τῶν ἐντολῶν σου
ὁδήγησον, Κύριε, καὶ σῶσόν με.

Ὠδὴ δ'

Κατανοήσας ὁ προφήτης Ἀββακοὺμ
τὴν ἐπ' ἐσχάτων σου, Λόγε, σάρκωσιν
τὴν συγκατάβασιν ἐξιστάμενος
ἐκραύγαζε λέγων·
δόξα τῇ δυνάμει σου.

Ὠδὴ ε'

Λυτρωτὰ τοῦ παντὸς
καὶ τοῦ φωτὸς χορηγὲ
νεκρωθεῖσαν τοῖς πταίσμασι
τὴν ψυχήν μου ἀνάστησον
διὰ τὴν σὴν φιλανθρωπίαν
καὶ πρὸς φῶς τὸ σὸν ὁδήγησον.

Ὠδὴ ϛ'

Περιεχύθη ὕδωρ ἕως ψυχῆς μου, Κύριε,
καὶ ἐξέλιπεν ἐν ὀδύνῃ ἡ ψυχή μου, Χριστέ,
ἀλλὰ σὺ ὡς ἀγαθὸς
ἐκ βυθοῦ κακῶν με ἀνάγαγε.

Ὠδὴ ζ'

Ὁ τὴν κάμινον ἐν Βαβυλῶνι
καιομένην δροσίσας
καὶ τοὺς παῖδας ἐν αὐτῇ
ἀφλέκτους διασώσας
εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Τὸ ἄφλεκτον τῆς βάτου
καὶ τῆς Παρθένου τὸ θαῦμα
ἑστῶτες ἐν καμίνῳ παῖδες
ἐν τῇ γῇ τῶν Χαλδαίων
ἐμήνυον καὶ ἔλεγον·
εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ'

Τῆς παρθενίας τὸ ἄνθος
Θεοτόκε, διεφύλαξας
καὶ μετὰ τόκον ἀμάραντον·
Θεὸς γὰρ ἦν τὸ τικτόμενον·
εἰ καὶ ἀνέλαβε σάρκα τὸ ὁρώμενον
Χριστὸς τὸ συναμφότερον φαινόμενος
εἰς ἡμῶν σωτηρίαν
τῶν μεγαλυνόντων σε.

235

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Γερμανοῦ πατριάρχου

Α φ. 160α. Β φ. 202β

Ὠδὴ α'. Ἦχος πλ. β'. Ὁ Εἱρμός.

Ἄσωμεν τῷ Κυρίῳ τῷ ἐκ δουλείας
τὸν Ἰσραὴλ ἐλευθερώσαντι
τῶν Αἰγυπτίων διὰ Μωσέως

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

ὕμνον ἀπαύστως
Χριστῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν.

Ὠδὴ β΄

Πρόσεχε οὐρανὲ καὶ λαλήσω
καὶ ἀνυμνήσω Χριστὸν
τὸν ἐκ Παρθένου σαρκὶ ἐπιδημήσαντα.

Ὠδὴ γ΄

Στερέωσόν με, Χριστέ,
βεβαίωσόν με ἐν σοὶ
καὶ τῷ φωτισμῷ τῆς γνώσεώς σου δίδα-
[ξόν με.

Ὠδὴ δ΄

Εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην
κατενόησα τὰ ἔργα σου
καὶ ἐξέστην, Κύριε.

Ὠδὴ ε΄

Ὁ τὸ φῶς ἀνατέλλων τῷ κόσμῳ, Χριστέ,
φώτισον τὴν καρδίαν μου
ἐκ νυκτός σοι κραυγάζοντα
καὶ σῶσόν με.

Ὠδὴ ϛ΄

Τῷ κήτει καταποθεὶς
τῷ τῆς ἁμαρτίας
κραυγάζω σοι, Χριστέ,
ὡς τὸν προφήτην
ἐκ φθορᾶς με ἐλευθέρωσον.

Ὠδὴ ζ΄

Σὺ τοὺς παῖδας ἐν καμίνῳ, ζωοδότα,
δι' ἀγγέλου ἐδρόσισας λέγοντας·
εὐλογητὸς εἶ ὁ Θεὸς ὁ ἄναρχος.

Εἱρμὸς ἄλλος

Ὁ τῶν ὁσίων σου παίδων
τὸν ὕμνον ἐπακούσας
καὶ τὴν κάμινον καιομένην δροσίσας
εὐλογητὸς εἶ, Κύριε.

Ὠδὴ η΄

Τῷ βασιλεῖ τῶν αἰώνων Χριστῷ
τὸν ὕμνον εἴπωμεν
τῶν παίδων, πιστοί·
εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον.

Ὠδὴ θ΄

Τὴν βάτον τὴν νοητὴν
τὴν πάλαι ἐν τῷ ὄρει
θεαθεῖσαν Μωυσῇ
ἀφλέκτως καιομένην
τὴν ἄχραντον καὶ ἁγίαν Παρθένον
ἀπαύστως ὕμνοις μεγαλύνομεν.

Εἱρμὸς ἄλλος

Ἡ τὸ χαῖρε δι' ἀγγέλου δεξαμένη
καὶ τεκοῦσα τὸν κτίστην τὸν ἴδιον,
Παρθένε, σῶσον τοὺς σὲ μεγαλύνοντας.

236

[ΑΝΑΣΤΑΣΙΜΟΣ]

Ποίημα Γερμανοῦ πατριάρχου

Λ φ. 161β. Β φ. 202α

Ὠδὴ α΄. Ἦχος πλ. β΄. Ὁ Εἱρμός.

* Ἄσωμεν τῷ Κυρίῳ
τῷ τὸν λαὸν δουλείας
Αἰγύπτου ἀπαλλάξαντι
καὶ Φαραὼ βυθίσαντι.

Ὠδὴ β΄

Πρόσεχε οὐρανὲ καὶ λαλήσω
καὶ ἀνυμνήσω Χριστὸν τὸν φιλάνθρωπον.

Ὠδὴ γ΄

Στερέωμά μου γενοῦ
καὶ καταφυγή μου
ὁ στερεώσας οὐρανούς,
Χριστὲ ὁ Θεὸς ἡμῶν.

Ὠδὴ δ΄

Εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην
δόξα τῇ δυνάμει σου.

Ὠδὴ ε΄

Ὀρθρίζει τὸ πνεῦμά μου, Χριστὲ ὁ Θεός,
καὶ σὲ δοξάζει, Κύριε.

Ὠδὴ ϛ΄

Ἐβόησά σοι ἐπάκουσόν μου, σωτήρ,
ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Ὠδὴ ζ΄

Ὁ τῶν πατέρων καὶ ἡμῶν
Θεὸς εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας.

Ὠδὴ η΄

Οὐρανῶν πᾶσαι αἱ δυνάμεις
ὑμνοῦσί σε τὸν ἀληθινὸν Θεόν.

Ὠδὴ θ΄

Λεῦτε πάντα τὰ ἔθνη
ἐν φωνῇ ἀγαλλιάσεως
τὴν παναγίαν Παρθένον
καὶ Θεοτόκον μεγαλύνωμεν.

Εἱρμὸς ἄλλος

Μεγαλύνομέν σε πᾶσαι αἱ γενεαί,
Θεοτόκε Παρθένε,
τὴν πηγὴν τῆς ζωῆς ἡμῶν.

Εἱρμὸς ἄλλος

Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον
τὸν ποιοῦντα μεγάλα θαυμάσια.

237

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Γερμανοῦ πατριάρχου

Β φ. 202β

Ὠδὴ α΄. Ἦχος πλ. β΄. Ὁ Εἱρμός.

* Ἄσωμεν τῷ Κυρίῳ

τῷ ὑψίστῳ τῷ δεδοξασμένῳ
ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ β΄

Ὅτι ὄνομα Κυρίου ἐκάλεσα
μεγαλωσύνην αὐτῷ δώσομεν.

Ὠδὴ γ΄

Ἐπλατύνθη ἐπ' ἐχθροὺς τὸ στόμα μου
ὅτι ἐστερεώθη ἐν Κυρίῳ ἡ καρδία μου.

Ὠδὴ δ΄

Ἐκάλυψεν οὐρανοὺς
ἡ ἀρετή σου, Χριστέ,
καὶ τῆς σῆς αἰνέσεως, Κύριε,
τὰ πάντα πεπλήρωται.

Ὠδὴ ε΄

Ἐκ νυκτὸς τὴν ὠδὴν ἀναπέμπομέν σοι
ἀντικατάπεμψον ἡμῖν τὸ ἔλεός σου, Κύριε,
σὺ γὰρ εἶ Θεὸς ἡμῶν
ἐκτός σου ἄλλον οὐκ οἴδαμεν.

Ὠδὴ ϛ΄

Περιεχύθη μοι ὕδωρ ἕως ψυχῆς μου
ἀνάγαγέ με ἐκ φθορᾶς ὁ Θεός μου.

Ὠδὴ ζ΄

Ὁ Θεὸς τῶν πατέρων ἡμῶν
εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας.

Ὠδὴ η΄

Τῶν παίδων τὴν ὠδὴν
ἀναμέλψωμεν Χριστῷ
συμψάλλοντες αὐτοῖς
εὐλογείτω πᾶσα ἡ κτίσις τὸν Κύριον.

Ὠδὴ θ΄

Μεγαλύνομέν σε πᾶσαι αἱ γενεαί,
Θεοτόκε Παρθένε,
τὴν πηγὴν τῆς ζωῆς ἡμῶν.

238

Ποίημα Ἀνδρέου Κρήτης

φ. 162α. Β φ. 205α

Ὠδὴ α΄. Ἦχος πλ. β΄. Ὁ Εἱρμός.

* Δεξιὰ Κυρίου ἐποίησε δύναμιν
δεξιὰ Κυρίου ὕψωσε λαόν
καὶ ἐξήγαγεν ἐκ δουλείας·
ἄσωμεν αὐτῷ ἆσμα καινὸν
ὅτι ἐνδόξως δεδόξασται.

Ὠδὴ β΄

Ἴδετε ἴδετε
ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν
ὁ ἐν ἐρήμῳ ξένον λαὸν
καὶ φυγάδα διαθρέψας
καὶ νόμον δοὺς πρὸς βίου τελείωσιν
καὶ τὴν σκιὰν εἰς ἀλήθειαν
διὰ τῆς χάριτος
μεταμφιάσας τῇ ἰσχύϊ μου.

Εἱρμὸς ἄλλος

Ἐγώ εἰμι Θεὸς
νῦν ἴδετε καὶ γνῶτε
ὁ τὸν πατρῷον κόλπον μὴ λιπὼν
καὶ σάρκα ἐνδυσάμενος
ἐκ τῆς Παρθένου Μαρίας
τῇ εὐσπλαγχνίᾳ μου.

Ὠδὴ γ΄

Στηριγμός μου γενοῦ, Χριστέ,
φωτισμὸν παράσχου τῇ καρδίᾳ μου
καὶ σῶσόν με
ὅτι σὺ εἶ μόνος Θεὸς
καὶ οὐκ ἔστιν ἅγιος
πλὴν σου, Κύριε.

Ὠδὴ δ΄

Τὴν ἀκοὴν ὁ προφήτης ἀκήκοε τὴν σὴν
καὶ ἐν φόβῳ συσχεθεὶς
μελῳδικῶς ἐβόα·
θαυμαστὲ Κύριε,
δόξα σοι καὶ αἴνεσις.

Ὠδὴ ε΄

Τῆς ἐπισκοτούσης με ἁμαρτίας
τῷ φωτὶ τοῦ προσώπου σου, Χριστὲ ὁ Θεός
τὴν ἀχλὺν ἐκμειώσας
οἰκτειρον καὶ σῶσόν με.

Ὠδὴ ϛ΄

Τὴν τοῦ προφήτου φωνὴν
ἀναμέλπω σοι, Χριστέ,
ἐκ φθορᾶς ἀνάγαγε τὴν ζωήν μου
καὶ σῶσόν με ὡς μόνος φιλάνθρωπος.

Ὠδὴ ζ΄

Ὁ χερουβικῷ ἐποχούμενος θρόνῳ
καὶ πάντων κυριεύων, σωτὴρ ἀγαθέ,
ὑπερύμνητόν σου τὸ ὄνομα, Χριστὲ ὁ Θεός,
καὶ δεδοξασμένον εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ η΄

Τὸν πᾶσαν κτίσιν δημιουργήσαντα
ὃν φρίττουσιν ἄγγελοι
καὶ δοξολογοῦσι τὰ σεραφὶμ
ἱερεῖς ἅπαντες
καὶ πνεύματα δικαίων
ὑμνεῖτε τὸν Κύριον
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ΄

Τὴν πρὸ τοῦ τόκου Παρθένον ἁγνὴν
καὶ μετὰ τόκον πάλιν
Παρθένον μείνασαν
ἅπαντες ὡς μητέρα τοῦ Θεοῦ
συμφώνως ὕμνοις μεγαλύνομεν.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

239

[ΑΝΑΣΤΑΣΙΜΟΣ]

Ποίημα Ἀνδρέου Κρήτης

Λ φ. 163β. Β φ. 204β

Ὠδὴ α'. Ἦχος πλ. β'. Ὁ Εἱρμός.

Ὁ αἰσθητὸς Φαραὼ
κατεποντίσθη πανστρατὶ
Ἰσραὴλ δὲ διελθὼν
ἐν μέσῳ τῆς θαλάσσης
ἀνεβόα· Κυρίῳ
τῷ Θεῷ ἡμῶν ἄσωμεν
ὅτι δεδόξασται.

Ὠδὴ β'

Ἴδετε ἴδετε ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν
ὁ σταυρῷ τὸν ᾅδην καθελὼν ὡς δυνατὸς
καὶ ἀπάθειαν τῷ πάθει τῆς σαρκός μου
τελέσας τοῖς βροτοῖς.

Ὠδὴ γ'

Ἐν τῇ στερρᾷ τῆς πίστεώς σου πέτρᾳ
τὸν λογισμὸν ἑδράσας τῆς ψυχῆς μου
στερέωσον, Κύριε·
σὲ γὰρ ἔχω, ἀγαθέ,
καταφυγὴν καὶ στερέωμα.

Ὠδὴ δ'

Ἀκήκοα, Κύριε,
τὴν ἀκοήν σου καὶ ἐφοβήθην
κατενόησα τὰ ἔργα σου καὶ ἐξέστην
δόξα τῇ δυνάμει σου, Κύριε.

Ὠδὴ ε'

Ἐκ νυκτὸς τὴν ὠδὴν ἀναπέμπομέν σοι
ἀντικατάπεμψον ἡμῖν τὸ ἔλεός σου, Κύριε,
σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν
ἐκτός σου ἄλλον οὐκ οἴδαμεν.

Ὠδὴ ς'

Τῷ κήτει συνεχόμενος τῶν πταισμάτων
βοῶ σοι, Χριστέ μου,
σὺν τῷ προφήτῃ ἀνάγαγε
ἐκ φθορᾶς τὴν ζωήν μου
καὶ διάσωσόν με.

Ὠδὴ ζ'

Ἐπεφάνη ἐφ' ἡμᾶς ἡ χάρις τοῦ σωτῆρος
καὶ τὸ φῶς τοῦ σταυροῦ
κατέλαμψε τὸν κόσμον
εὐλογητὸς εἶ, Κύριε.

Ὠδὴ η'

Οἱ ὅσιοί σου παῖδες ἐν τῇ καμίνῳ
τὰ χερουβὶμ ἐμιμήσαντο
τὸν τρισάγιον ὕμνον βοῶντες
εὐλογεῖτε ὑμνεῖτε
καὶ ὑπερυψοῦτε τὸν Κύριον.

Ὠδὴ θ'

Χαῖρε σεμνὴ παναγία
Παρθένε μόνη παγκοσμίως
σὲ δοξάζει πᾶσα κτίσις
τὴν μητέρα τοῦ Κτίστου.

240

ΤΟΥ ΜΕΓΑΛΟΥ ΚΑΝΟΝΟΣ

Ποίημα Ἀνδρέου Κρήτης

Λ φ. 164β. Β φ. 205α

Ὠδὴ α'. Ἦχος πλ. β'. Ὁ Εἱρμός.

Βοηθὸς καὶ σκεπαστὴς
ἐγένετό μοι εἰς σωτηρίαν
οὗτός μου Θεὸς
καὶ δοξάσω αὐτόν
Θεὸς τοῦ πατρός μου
καὶ ὑψώσω αὐτόν·
ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ β'

Ἴδετε ἴδετε
ὅτι ἐγώ εἰμι Θεὸς
ὁ μάννα ἐπομβρήσας
καὶ τὸ ὕδωρ ἐκ πέτρας πηγάσας
πάλαι ἐν ἐρήμῳ τῷ λαῷ μου
τῇ μόνῃ δεξιᾷ
καὶ τῇ ἰσχύι τῇ ἐμῇ.

Ὠδὴ γ'

Στερέωσον, Κύριε,
ἐπὶ τὴν πέτραν τῶν ἐντολῶν σου
σαλευθεῖσαν τὴν καρδίαν μου
ὅτι μόνος
ἅγιος ὑπάρχεις καὶ δίκαιος.

Εἱρμὸς ἄλλος

Ἐπὶ τὴν ἀσάλευτον, Χριστέ,
πέτραν τῶν ἐντολῶν σου
στερέωσόν μου τὴν διάνοιαν.

Ὠδὴ δ'

Ἀκήκοεν ὁ προφήτης
τὴν ἔλευσίν σου, Κύριε, καὶ ἐφοβήθη
ὅτι μέλλεις ἐκ Παρθένου τίκτεσθαι
καὶ ἀνθρώποις δείκνυσθαι καὶ ἔλεγεν·
ἀκήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην
δόξα τῇ δυνάμει σου.

Ὠδὴ ε'

Ἐκ νυκτὸς ὀρθρίζοντα, φιλάνθρωπε,
φώτισον δέομαι
καὶ ὁδήγησόν με
ἐν τοῖς προστάγμασί σου
καὶ δίδαξόν με, σωτήρ,
ποιεῖν τὸ θέλημά σου.

Ὠδὴ ς'

Ἐβόησα ἐν ὅλῃ καρδίᾳ μου
πρὸς τὸν οἰκτίρμονα Θεὸν
καὶ ἐπήκουσέ μου
ἐξ ᾅδου κατωτάτου
καὶ ἀνήγαγεν
ἐκ φθορᾶς τὴν ζωήν μου.

Ὠδὴ ζ'

Ἡμάρτομεν ἠνομήσαμεν
ἠδικήσαμεν ἐνώπιόν σου
οὐδὲ συνετηρήσαμεν
οὐδὲ ἐποιήσαμεν
καθὼς ἐνετείλω ἡμῖν·
ἀλλὰ μὴ παραδιδοὺς ἡμᾶς εἰς τέλος
ὁ τῶν πατέρων Θεός.

Ὠδὴ η'

Ὃν στρατιαὶ οὐρανῶν δοξάζουσι
καὶ φρίττει τὰ χερουβὶμ
καὶ τὰ σεραφὶμ
πᾶσα πνοὴ καὶ κτίσις
ὑμνεῖτε εὐλογεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'

Ἀσπόρου συλλήψεως
ὁ τόκος ἀνερμήνευτος
μητρὸς ἀνάνδρου
ἄφθορος ἡ κύησις·
Θεοῦ γὰρ ἡ γέννησις
καινοποιεῖ τὴν κτίσιν·
διό σε πᾶσαι αἱ γενεαὶ
ὡς θεόνυμφον μητέρα
ὀρθοδόξως μεγαλύνομεν.

241

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Ἀνδρέου Κρήτης

Λ φ. 165β

Ὠδὴ α'. Ἦχος πλ. β'. Ὁ Εἱρμός.

Θαυματουργὸς ὑπάρχει
τοῦ Ἰσραὴλ ὁ ῥύστης
αὐτῷ μόνῳ ἄσωμεν
ὅτι δεδόξασται.

Ὠδὴ β'

Προσδοκάσθω ὡς ὑετὸς τὸ ἀπόφθεγ-
[μά σου
καὶ καταβήτω ὡς δρόσος τὰ ῥήματά μου
ὅτι ὄνομα Κυρίου ἐκάλεσα
αὐτῷ δῶμεν μεγαλωσύνην.

Ὠδὴ γ'

Σαλευομένην τοῖς κύμασι τοῦ βίου
ἐν σοὶ τῷ Θεῷ στερεωθήτω ἡ καρδία μου
τοῦ βοᾶν εἰλικρινῶς
ἅγιος εἶ, Κύριε.

Ὠδὴ δ'

Σὲ τὸν ἀπερίγραπτον
τοῦ πατρὸς συνάναρχον Λόγον
ἐπ' ἐσχάτων σαρκοῦσθαι
ὁ Ἀββακοὺμ προβλέπων
μεγαλοφώνως ἐβόα, Κύριε,
δόξα τῇ δυνάμει σου.

Ὠδὴ ε'

Συνανάτειλον τῷ φωτί σου
τὸ πλῆθος τῶν οἰκτιρμῶν σου
καὶ καταύγασον ἡμῶν τὰς διανοίας
τοῦ ποιεῖν σου τὰ προστάγματα,
ὑπεράγαθε μόνε φιλάνθρωπε.

Ὠδὴ ς'

Ἐν θλίψει ἐβόησα
πρὸς σὲ τὸν οἰκτίρμονα Θεὸν
καὶ ἐπήκουσάς μου
τὴν ψυχήν μου ρυσάμενος
ἐξ ᾅδου κατωτάτου τῆς ἁμαρτίας.

Ὠδὴ ζ'

Χαλδαϊκὴ κάμινος
τὸν σωτήριον τόκον
τῆς Παρθένου προϋπέφηνεν
ὡς ἀβλαβεῖς φυλάξασα
τοὺς ἐν αὐτῇ ἐμβληθέντας·
καὶ παρθενίας τὰ σήμαντρα
οὐ διαλέλυκεν
ὁ πάντα θαυματουργῶν
Κύριος εὐλογητὸς εἶ.

Ὠδὴ η'

Σὲ τὸν ἐν φλογὶ πυρὸς
καμίνου συγκαταβάντα
τοῖς περὶ τὸν Ἀζαρίαν
καὶ δροσίσαντα τούτοις
τὴν ἐπταπλάσιον φλόγα
τριαδικῶς ὑμνοῦμεν εὐλογοῦμεν
καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'

Τὸ θεόδεκτον χωρίον
τὸ ἐργαστήριον τῆς ἑνώσεως τῶν φύσεων
τὴν ἁπλανῆ πρὸς οὐρανὸν γέφυραν
τὴν ἔνδοξον Θεοτόκον
οἱ πιστοὶ μεγαλύνομεν.

242

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Ἰωάννου μοναχοῦ

Β φ. 198α

Ὠδὴ α'. Ἦχος πλ. β'. Ὁ Εἱρμός.

Θαυματουργὸς ὑπάρχει
τοῦ Ἰσραὴλ ὁ ῥύστης

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

αὐτῷ μόνῳ ἄσωμεν
ὅτι δεδόξασται.

Ὠδὴ γ'

Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ
ὅτι διὰ σταυροῦ τῶν παραπτωμάτων
τὴν ἄφεσίν μοι ἐδωρήσατο.

Ὠδὴ δ'

Εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην
κατενόησα τὰ ἔργα σου
καὶ ἐξέστην, Κύριε.

Ὠδὴ ε'

Ἐκ νυκτὸς τὴν ὠδήν σου ἀναπέμπομέν σοι
ἀντικατιπέμψον ἡμῖν τὸ ἔλεός σου, Κύριε,
σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν
ἐκτός σου ἄλλον οὐκ οἴδαμεν.

Ὠδὴ ς'

Ἐβόησα ἐν θλίψει
πρὸς τὸν οἰκτίρμονα Θεὸν
καὶ ἐπήκουσέ μου
ὁ μόνος ἀναμάρτητος
καὶ διέσωσέ με
ἐκ φθορᾶς θανάτου ὡς εὔσπλαγχνος.

Ὠδὴ ζ'

Ἐν καμίνῳ τοῖς παισὶν
ἐπέστης δι' ἀγγέλου
τρισαγίους χορευτὰς
τῇ δόξῃ σου δοξάσας·
εὐλογητὸς εἶ, λυτρωτὰ
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Τὸν ἐκ Παρθένου τεχθέντα
τὸν προαιώνιον Λόγον καὶ Θεὸν ἡμῶν
ὑμνοῦμεν καὶ ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'

Τὴν βάτον τὴν νοητὴν
τὴν πάλαι ἐν τῷ ὄρει
θεαθεῖσαν Μωσῇ
ἀρλέκτως καιομένην
τὴν ἄχραντον καὶ ἁγίαν Παρθένον
ἀπαύστως ὕμνοις μεγαλύνομεν.

243

[ΑΝΑΣΤΑΣΙΜΟΣ]

Ποίημα Ἀνδρέου Κρήτης

Λ φ. 116β. Β φ. 209α

Ὠδὴ α'. Ἦχος πλ. β'. Ὁ Εἱρμός.

* Τῷ ἐν θαλάσσῃ Ἐρυθρᾷ
διασώσαντι πλήθη λαῶν
καὶ Φαραὼ σὺν ἅρμασι βυθίσαντι
Κυρίῳ τῷ Θεῷ ἡμῶν
ἄσωμεν ὅτι δεδόξασται.

Ὠδὴ β'

Κλῖνον τὸ οὖς σου καὶ πρόσχες
τῇ φωνῇ τῆς δεήσεώς μου
ὅτι τὸ ὄνομά σου τὸ ἁγιαστὸν
Κύριε, ἐπεκαλεσάμην.

Ὠδὴ γ'

Ὁ στερεώσας οὐρανὸν
καὶ τὴν γῆν ἐπὶ ὑδάτων
στερέωσόν με, Κύριε.

Ὠδὴ δ'

Εἰσακήκοα τὴν ἀκοήν
τῆς δυναστείας σου, Κύριε,
καὶ ἐδόξασα, φιλάνθρωπε,
τὴν ἀκατάληπτόν σου δύναμιν.

Ὠδὴ ε'

Τὸ πνεῦμά μου ὀρθρίζει
πρὸς σέ, Χριστέ, παντοδύναμε,
ἀνυμνεῖ καὶ δοξάζει καὶ βοᾷ
τὴν σκοτισθεῖσάν μου διάνοιαν
ὑπὸ τῆς ἁμαρτίας
φώτισον ὡς φιλάνθρωπος.

Ὠδὴ ς'

Ὡς ὁ προφήτης βοῶ
κἀγώ σοι, Δέσποτα Κύριε,
ἐκ φθορᾶς τὴν ζωήν μου ἀνάγαγε.

Εἱρμὸς ἄλλος

Ἐβόησα ἐν θλίψει
πρὸς τὸν οἰκτίρμονα Θεὸν
καὶ ἐπήκουσέ μου
ὡς μόνος ἀναμάρτητος
καὶ διέσωσέ με ἐκ φθορᾶς
θανάτου ὡς εὔσπλαγχνος.

Ὠδὴ ζ'

Λαβροτάτην καμίνον
καταπατοῦντες οἱ παῖδες ἐν Βαβυλῶνι
ἐν χαρᾷ ἀνέμελπον
τῷ Θεῷ τῷ ἀπροσίτῳ·
σὺ δεδοξασμένος καὶ αἰνετὸς
ὑπάρχεις εἰς τοὺς αἰῶνας.

Ὠδὴ η'

Ὦ τοῦ θαύματος!
χαλδαϊκῆς καμίνου καιομένης
καὶ παίδων ἐμβληθέντων
δρόσος ἀνεπέμπετο αἰχμαλώτοις·
ὕμνον γὰρ ἀνέμελπον εὐχαριστοῦντα·
εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ'

Ἴδε πύλη ἴδε ὄρος ἅγιον
ἴδε Θεοῦ ἡ Παρθένος καὶ μήτηρ
ἣν μεγαλύνομεν.

244

[ΑΝΑΣΤΑΣΙΜΟΣ]

Ποίημα Ἀνδρέου Κρήτης

Β φ. 206α

Ὠδὴ α'. Ἦχος πλ. β'. Ὁ Εἱρμός.

* Τὴν Ἐρυθρὰν ποσὶν ἀβρόχοις
διοδεύσας Ἰσραὴλ
ὑπὸ νεφέλης φωτεινῆς
καὶ στύλου πυρὸς ποδηγούμενος
ἅπαν ἀνεβόα τῷ Θεῷ εὐχαριστήριον.

Ὠδὴ β'

Πρόσεχε οὐρανὲ καὶ λαλήσω
καὶ ἀνυμνήσω Χριστὸν
τὸν μόνον φιλάνθρωπον.

Ὠδὴ γ'

Ὁ τὸν πόλον συστησάμενος Θεὸς
καὶ συναριθμήσας τὴν κτίσιν
τῷ λόγῳ καὶ τῇ σοφίᾳ σου
κἀμὲ στερέωσον
τοῦ δοξάζειν σε ἀεί.

Ὠδὴ δ'

Ἐξελήλυθας ἀπὸ Θαιμὰν
ὄρους Παρθένου σαρκωθείς
σῶσαι τοὺς χρισθέντας
Πνεύματι, Χριστέ,
διὰ λουτροῦ βαπτίσματος
εἰς κεφαλὰς δὲ ἀνόμων δυσσεβῶν
θάνατον τῆς ἁμαρτίας ἔβαλες·
διὸ ἀκηκοώς σου
τὰ φρικτὰ τεράστια,
σῶτερ, δοξάζω σου τὴν δύναμιν.

Ὠδὴ ε'

Ἐκ νυκτὸς ὀρθρίζοντα, Χριστὲ ὁ Θεός,
φώτισόν με τῇ αἴγλῃ τῆς σῆς φωτοχυ-
[σίας·
σὺ γὰρ εἶ τὸ ἄδυτον φῶς
τοῖς ἐν σκότει καὶ σκιᾷ καθημένοις
καὶ σὲ ὑμνεῖ τὸ πνεῦμά μου.

Ὠδὴ ς'

Ἐκ κοιλίας ᾅδου κραυγῆς μου
ἤκουσας φωνῆς μου
καὶ ἐρρύσω ἐκ φθορᾶς τὴν ζωήν μου,
εὔσπλαγχνε Κύριε.

Ὠδὴ ζ'

Παῖδες τρεῖς θεοσεβεῖς
ἐν τῇ καμίνῳ βληθέντες
ὡς ἐν θαλάμῳ ἔψαλλον·
σὺ δεδοξασμένος
καὶ αἰνετὸς ὑπάρχεις
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Ποίημα Ἰωάννου μοναχοῦ

Τὸ τῆς εὐδοκίας τοῦ πατρὸς
μυστήριον ἐν Ἰορδάνῃ
σήμερον ἐκτελεῖ Χριστὸς ὁ Θεὸς
ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου
ἐν τοῖς ὕδασιν ἐστὼς
τὸν Ἀδὰμ ἀνέπλασε
τὸ μεσότοιχον τοῦ φραγμοῦ διέρρηξε
τὴν ὁδὸν τῆς ζωῆς ἡμῖν ὑπέδειξεν·
διὸ οἱ πιστοὶ ὑμνοῦμεν
καὶ ὑπερυψοῦμεν
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Τὴν τῶν οὐρανῶν ὑψηλοτέραν
θεοχώρητον ἡγιασμένην σκηνήν,
ἀειπάρθενε, θεομήτορα ἀψευδῆ
ἐν φωνῇ ἀγαλλιάσεως σὲ μεγαλύνομεν.

245

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Ἀνδρέου Κρήτης

Β φ. 207α

Ὠδὴ α'. Ἦχος πλ. β'. Ὁ Εἱρμός.

* Θαυμαστὸς εἶ ὁ Θεὸς
καὶ θαυμαστὰ τὰ ἔργα σου
θαυμαστοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης·
ἐπάγη γὰρ ὡσεὶ τεῖχος τὰ ὕδατα αὐτῆς
καὶ διεπέρασεν ὁ πάλαι Ἰσραὴλ
ποντουμένου Φαραώ·
ὁ λαὸς δὲ τοῦ Θεοῦ
μελῳδικῶς ἀνέμελπεν·
ἄσωμέν σοι ἐπινίκιον ᾠδήν.

Ὠδὴ β'

Ἴδετε ἴδετε
ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν
ὁ ἐν τῇ ἐρήμῳ καθοδηγήσας
τὸν πάλαι Ἰσραὴλ
καὶ τὸν ἀγνώμονα λαὸν
εἰσάγων εἰς τρίβον ἁπλανῆ
σωτηρίας τῇ εὐσπλαγχνίᾳ μου.

Ὠδὴ γ'

Μετὰ τῶν ἀνομούντων
μὴ συναπολέσῃς με, Κύριε,
ἀλλ' ὡς στηριγμὸς τῶν ἐλπιζόντων
εἰς σὲ ἀνύψωσόν με
ἐπὶ τὴν πέτραν τῶν ἐντολῶν σου
ἵνα κἀγὼ τῆς προφήτιδος
τὴν ᾠδήν σοι ἀναμέλπω

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

ἅγιος ἅγιος καὶ ὑπεράγιος
καὶ σὲ ὑμνεῖ τὸ πνεῦμά μου.

Ὠδὴ δ΄

Ἀββακοὺμ ὁ θεόπτης
κατανοήσας, Κύριε, τὴν ἔλευσίν σου
πιστούμενος ἐβόα
καὶ χαίρων ἔψαλλε λέγων·
ἀναπαύσομαι ἐν τῷ Θεῷ μου
δόξα τῇ δυνάμει σου.

Ὠδὴ ε΄

Περιτετιμένοι ἐγενήθημεν
ἐν τῷ οἴκῳ Κυρίου·
φώτισον ἡμᾶς,
ὡς ὑπερασπιστὴς ἡμῶν
σὺ εἶ ὁ Θεός,
τοὺς ἐκ νυκτὸς ἀνυμνοῦντας
τὰ σὰ θαυμάσια.

Ὠδὴ ς΄

Ἄβυσσος φθαρτικῆς ἁμαρτίας
ἐκύκλωσέ με ἐσχάτη
καὶ κλύδωνι βιωτικῷ
περιέχομαι, σωτήρ,
αὐτός με ἀνάγαγε
ὡς πρὶν τὸν Ἰωνᾶν
ἐκ κόλπων τοῦ θηρὸς
ὅπως θύσω σοι μετὰ φωνῆς αἰνέσεως.

Ὠδὴ ζ΄

Θείῳ Πνεύματι πυρούμενοι
οἱ ὁσιώτατοι τρεῖς νεανίαι
βασιλέως τὸ ἄθεον πρόσταγμα ἠλόγησαν
καὶ ἐν τῇ καμίνῳ βληθέντες
δροσιζόμενοι ὁμοφρόνως ἔψαλλον·
εὐλογητὸς εἶ ὁ ἐν ὑψίστοις καθήμενος
Θεὸς τῶν πατέρων ἡμῶν.

Ὠδὴ η΄

Ἐξέπληττε τύραννον πάλαι
τῶν αἰχμαλώτων ἡ δοξολογία
παύουσα τὴν ἐναρμόνιον συμφωνίαν
νῦν δὲ ἀποστολικὸς αὐλὸς
τὰς Ἑλλήνων εὐγλωττίας διαλύσας
τοὺς πιστοὺς ἐκδιδάσκει κραυγάζειν σοι·
εὐλογεῖτε ὑμνεῖτε
τὸν ἐν Τριάδι Θεὸν δοξαζόμενον.

Ὠδὴ θ΄

Τὴν παμφαῆ λαμπάδα
τοῦ θείου καὶ ἀπροσίτου φωτὸς
δεῦτε ἀνυμνήσωμεν
τὸν θησαυρὸν τῆς ἀΐδίου ζωῆς
τὸν νυμφῶνα τὸν οὐράνιον
ἐν ᾧ ἐσκήνωσε Χριστὸς
ὃν μεγαλύνομεν.

247

[ΑΝΑΣΤΑΣΙΜΟΣ]

Ποίημα Ἀνδρέου Κρήτης

B φ. 208α

Ὠδὴ α΄. Ἦχος πλ. β΄. Ὁ Εἱρμός.

Βραχίονι ὑψηλῷ
δυνάμει σου κραταιᾷ, Κύριε,
τὸν Φαραὼ ποντίσας
λυτροῦσαι τὸν Ἰσραήλ
καὶ διασώζεις ἐκ πικρᾶς πλινθουργίας·

Ὠδὴ β΄

Πέτραν ἔρρηξε Χριστὸς
καὶ ὕδωρ ἔβλυσε ζωῆς
καὶ λαοὺς ἐκόρεσε
νάματα χρυσόρρειθρα
πηγάσας αὐτοῖς·
ὅθεν κράξωμεν λαοί·
οἴδαμεν ἔγνωμεν
ὅτι αὐτὸς εἶ ὁ Χριστός.

Ὠδὴ γ΄

Τὸ στερέωμά μου σὺ εἶ, Κύριε,
καὶ ἡ καταφυγή μου ἐλέησόν με.

Ὠδὴ δ΄

Ἐξ ὄρους κατασκίου δασέος
ἐκ τῆς ἁγίας Παρθένου,
ζωοδότα προῆλθες·
δόξα τῇ δυνάμει σου, Χριστέ,
καὶ τῇ συγκαταβάσει σου.

Ὠδὴ ε΄

Λιμὸν θαλάσσων
καὶ σταγόνας ὑετῶν
τίς ἐξαριθμήσει
πλοῦτόν καὶ δωρεάν
τίς ἐξιχνιάσει
εἰμὴ ὁ ποιήσας αὐτὰ Θεὸς ἡμῶν
ὁ ἐκ νυκτὸς ἀγνωσίας
τῆς ἡμέρας τὸν ὄρθρον ἡμῖν δωρούμενος;

Ὠδὴ ς΄

Κἀγὼ κραυγάζω, Κύριε,
ὡς ποτὲ ὁ Ἰωνᾶς
ῥῦσαι τὴν ψυχήν μου
καὶ τὴν ζωήν μου ἐκ φθορᾶς.

Ὠδὴ ζ΄

Καμίνου πυρὸς φλόγα ἔσβεσαν
οἱ περὶ τὸν Ἀζαρίαν ψάλλοντες·
ὁ Θεὸς τὸ ὄνομά σου
ὑπερύμνητον καὶ δεδοξασμένον.

Ὠδὴ η΄

Ὃν τρέμει πᾶσα ἡ κτίσις
καὶ φρίττουσιν ἄβυσσοι
καὶ νοερῶν ταγμάτων ὑμνοῦσι

ἐν οὐρανῷ αἱ ὑποστάσεις
στόμασιν ἀσιγήτοις
χείλεσι δὲ φλογεροῖς
ὑμνεῖτε λαοὶ καὶ ὑπερυψοῦτε
εὐλογεῖτε ἱερεῖς.

Ὠδὴ θ΄

Ἄπορον τὸ ἐν σοί, Παρθένε,
καὶ φαινόμενον καὶ νοούμενον μυστήριον·
ὁ γὰρ πλάσας κατὰ μόνας τὰς καρδίας
τῇ σῇ ὑπέδυ γαστρὶ
καινίσας ἐμὲ τὸν ἐνήδονον·
διό σε ὡς μητέρα τοῦ Θεοῦ ἡμῶν
συμφώνως μεγαλύνομεν.

247

[ΑΝΑΣΤΑΣΙΜΟΣ]

Ποίημα Στεφάνου τοῦ Σαββαΐτου

B φ. 210α

Ὠδὴ α΄. Ἦχος πλ. β΄. Ὁ Εἱρμός.

Διαμείβεταί σου βουλομένου
πόντιον οἶδμα
καὶ πυθμὴν ἐρυθραῖος
χερσοβατεῖται θαλάσσης
ἅσμα εὐῆχον ἀναμέλποντι
τῷ Κυρίῳ ἄσωμεν
ὅτι δεδόξασται.

Ὠδὴ ς΄ 1

Ἐκ πελάγους με, σῶτερ, τῶν ἀνομιῶν μου
ἀνάγαγε ὥσπερ τὸν Ἰωνᾶν
ἐκ βυθοῦ ἀνήγαγες
ὅπως θύσω σοι ὕμνον
μετὰ φωνῆς αἰνέσεως.

248

ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΒΑΣΙΛΕΙΟΝ

Ποίημα Βασιλείου Παγουριώτου

φ. 167β. B φ. 210β

Ὠδὴ α΄. Ἦχος πλ. β΄. Ὁ Εἱρμός.

Ἠπειρωμένην θάλασσαν
ἀβρόχοις τοῖς ποσὶ
διαπερῶν ὁ πάλαι Ἰσραὴλ
ὡς ἑώρα ποντούμενον
τὸν ἀλιτζόνα Φαραὼ

(1) Αἱ γ΄, δ΄, ε΄, ζ΄, η΄ καὶ θ΄ ὠδαὶ ὅμοιαι τὰς ὑπ' ἀριθμὸν 241 τοῦ Ἀνδρέου Κρήτης.

χαρμονικῶς ἀνεκραύγαζεν·
ἄσωμεν τῷ ποιήσαντι
παράδοξα τέρατα.

Ὠδὴ β΄

Ἴδετε ἴδετε
ἔργα δυνάμεως Θεοῦ
τοῦ τοὺς οὐρανοὺς ὡσεὶ δέρριν ἐκτείναντος
καὶ καταβάντος ἐπὶ γῆς
δι' εὐσπλαγχνίαν πολλὴν
καὶ δῶμεν μεγαλωσύνην
τῇ φιλανθρώπῳ αὐτοῦ ἐξουσίᾳ
καὶ δυνάμει κραταιᾷ.

Ὠδὴ γ΄

Εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα
ἡ ἐξ ἐθνῶν ἐκκλησία
ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδίνουσα
ὅτι ἐπέστη ὁ λυτρωτής μου καὶ Θεὸς
ἐκ δαιμόνων πλάνης λυτρούμενος.

Ὠδὴ δ΄

Τῆς σῆς ἀῤῥήτου σαρκώσεως,
λυτρωτὰ τοῦ παντός,
ὁ προφήτης Ἀββακοὺμ
καθαρθεὶς Πνεύματι
τὸ μυστήριον ἐξεστηκὼς ἐκραύγαζεν·
ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσεται
ἀμήτωρ ἐκ πατρὸς
ἐπ' ἐσχάτων δὲ τῶν χρόνων
ἐκ μητρὸς σαρκούμενος.

Ὠδὴ ε΄

Σκοτομήνη σε, ψυχή μου, κατέλαβε
τῶν ἀθέσμων πράξεων
ὧν εἰργάσω ἐν τῷ βίῳ τούτῳ
ἀλλὰ μὴ παύσῃ κράζουσα
ὁδηγὲ τοῦ φωτὸς
καὶ λυτρωτὰ τοῦ παντὸς
τὴν ἐσκοτισμένην μου ψυχὴν
φωταγώγησον πρὸς φῶς τὸ ἀνέσπερον.

Ὠδὴ ς΄

Θηρὶ ἀβυσσίῳ παραδίδοται
ὁ προφήτης Ἰωνᾶς
μυχοῖς θαλάττης
προτυπῶν σου, Λόγε,
τὴν τριήμερον ἔγερσιν·
διὸ καὶ ἀνεβόα
ἐκ βυθοῦ κατωτάτου
ἀνάγαγε τὴν ζωήν μου
δέομαι, Κύριε.

Ὠδὴ ζ΄

Ἐν Βαβυλῶνι αἰχμάλωτοι
τρισαρίθμῳ ψήφῳ
βασιλεῖ ἀνόμῳ ἀνθίσταντο
προσκαλουμένῳ τούτους

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

εἰς ἄθεον προσκύνησιν
εἰκόνος ψυχοφθόρου κεχρυσωμένης·
ὅθεν μὴ πεισθέντες
ἐν καμίνῳ τοῦ πυρὸς ἀπερρίφθησαν
καὶ μελῳδοῦντες ἔψαλλον·
ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας.

Ὠδὴ η'

Ἀπειλῶν ὁ ἄναξ
ποτὲ τοῖς νεανίαις
κάμινον παρεσκεύασε
καὶ τοὺς ἀθλίους προσέταξε βληθῆναι
ὁμολογοῦντας Θεὸν τὸν ὑπερένδοξον
ὃν εὐλογοῦσι τὰ ποιήματα
πάσης κτίσεως εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Μητρικαῖς ἀγκάλαις,
σεμνή, ἐβάστασας
τὸν καθήμενον ἐπὶ τῶν χερουβὶμ
καὶ τοῦτον μαζοτροφεῖς
δι' ἄκρον πάσης ἀγαθότητος
τοῦ Ἀδὰμ τὴν εἰκόνα ἀναμορφούμενον·
διὸ συνέλθωμεν βροτῶν τὸ σύστημα
καὶ σὲ τὴν κυήσασαν
τὸ φῶς τοῦ κόσμου μεγαλύνωμεν.

249

Ποίημα Γεωργίου Ἀνατολικοῦ

Β φ. 212α

Ὠδὴ α'. Ἦχος πλ. β'. Ὁ Εἱρμός.

* Ἤπειρον πάλαι Ἰσραὴλ
τὴν Ἐρυθρὰν ὡς ξηρὰν διήγαγεν
καὶ φαραωνίτας ἄρδην συνεκάλυψε
χειρὶ Θεοῦ διασωθείς·
ὅθεν ἐβόα· ἄσωμεν τῷ Κυρίῳ
ἐπινίκιον ᾠδὴν
παράδοξα ποιοῦντι ἐξαίσια·
ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ β'

Οὐρανοὺς οὐ λιπὼν
ἐπὶ γῆς ἐσαρκώθης ἀληθῶς, Κύριε,
καὶ τὴν φύσιν ἡμῶν καινίσας
συνανύψωσας σαυτῷ·
διὸ δικαιωθέντες τῇ σῇ χάριτι
μεγαλοπρεπῶς σὲ δοξάζομεν.

Ὠδὴ γ'

Οὐρανίων αἴτιε ποιημάτων
ἐπιγείων ἔρωρε χαρισμάτων
πρὸς σέ μου τὸν νοῦν ἀνακάλεσαι
στηρίζων εἰς τὸ θέλημά σου
ἐν ἰσχύϊ ὑπάρχων
ἅγιος καὶ ὑπεράγιος.

Ὠδὴ δ'

Ἄφραστον τὸ μυστήριον, Χριστέ,
τῆς σῆς οἰκονομίας·
Θεὸς γὰρ ὁ ἀναλλοίωτος
σεσωματωμένος ἄνθρωπος ἐφάνθη τοῖς ἀνθρώποις
ἄνευ παθῶν ἁμαρτίας·
διὸ καὶ τῆς σῆς ἀνέσεως, Κύριε,
τὰ σύμπαντα πεπλήρωται.

Ὠδὴ ε'

Τῇ αἴγλῃ τῆς θεότητος
τὸ Πνεῦμά σου τὸ ἅγιον
ἐν ἐμοὶ οἴκησον
καὶ φωτίσει τὸν νοῦν, Κύριε,
ἵνα ἐν εἰρήνῃ τὰ προστάγματά σου τελῶν
δικαιοσύνης ὁδὸν εὕρωμαι.

Ὠδὴ ς'

Τῷ πλήθει, Κύριε,
τῆς ἀφράστου χρηστότητός σου
τῶν κακῶν μου τὰ πλήθη
ἐκ φθορᾶς ταχὺ ἀνάγαγε
ὅπως τύχω ζωῆς ἀρίστου
παρὰ σοῦ, φιλάνθρωπε.

Ὠδὴ ζ'

Τῶν παίδων πάλαι χορεία
πυρὸς σβεστήριον γέγονεν
ὅτι θράσος τυραννικὸν οὐκ ἔπτηξεν
πόθῳ ἑνούμενοι·
διὸ καὶ ὕμνον ἔμελπον·
τῶν πατέρων τῆς δόξης
ἐν τῷ ναῷ σου, Κύριε,
ὁ Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'

Σοῦ ἡ βασιλεία, Κύριε,
εἰς τὸν αἰῶνα μένει
καὶ ἐπ' αἰῶνα καὶ ἔτι
ὃν ὑμνοῦμεν ὡς παντουργὸν
σωτῆρα καὶ Κύριον ἀπαύστως
καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'

Τῆς φύσεως ἀκλονήτως οἱ ὅροι
ἐν σοὶ ἥττηνται, Παρθένε,
διπλοῦς συντρέχει γὰρ τόκος τῆς παρθενίας
συλλήψεως καὶ τόκου
κατ' ἀμφότερα μένει·
διὸ ἐκπλησσόμενοι
πόθῳ σε μεγαλύνομεν.

250

Ποίημα Θεοδώρου Ἀνατολικοῦ

Β φ. 213α

Ὠδὴ α'. Ἦχος πλ. β'. Ὁ Εἱρμός.

* Σὲ τὸν ἐν θαλάσσῃ δόντα ὁδὸν
καὶ ἴδιασι τρίβον
σὲ τὸν κρύψαντα τοὺς Αἰγυπτίων
κλύδωνι βιαίῳ λαοὺς
τῇ ἀνικήτῳ ἀπειθήσαντας
δεξιᾷ σου, σῶτερ, δοξάζομεν.

Ὠδὴ γ'

Ἐν σοί, Χριστέ, τῶν οὐρανῶν στερεωθεῖσα
πᾶσα, Λόγε Θεοῦ, ἡ δύναμις
διηγεῖται δόξαν ἀνεκλάλητον
τῆς παντουργοῦ χειρός σου τὴν ποίησιν
οὐκ ἔστιν ἅγιος πλὴν σου, φιλάνθρωπε.

Ὠδὴ δ'

Ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ
μηκότος τὰ παράδοξα τῆς σῆς οἰκονομίας·
κραταιώθη ἡ ἀγάπησις τῆς σῆς συγκατα-
[βάσεως·
σὺ γὰρ τὴν ἐμὴν πτωχείαν οὐκ ἀπηξί-
[ωσας.

Ὠδὴ ε'

Εἰρήνῃ πολλῇ τοῖς ἀγαπῶσί σε
νὺξ φωτισμὸς ἐν τῇ τρυφῇ τῶν λόγων
[σου
διὰ τοῦτο ὀρθρίζοντες αἰτοῦμεν
ἱλασμὸν παρὰ σοῦ, φιλάνθρωπε.

Ὠδὴ ς'

Ἐβόησα, Κύριε, κακοῖς συνεχόμενος
ἀνάγαγε δέησιν
τὸν ἀπωσμένον με ἐκ τῆς φθορᾶς·
σοῦ γὰρ ἐμνήσθην, Κύριε,
καὶ εὐφράνθη ἡ καρδία μου.

Ὠδὴ ζ'

Τοὺς εὐσεβείας τροφίμους
τὸ σύνδουλον πῦρ οὐ κατέφλεξεν
ἔργῳ πιστωσαν ὅτι Θεὸς αὐτός ἐστιν
ὁ ἐκ φλογὸς ῥυόμενος
ὃν μελῳδοῦντες βοῶμεν·
εὐλογητὸς εἶ, λυτρωτά, εἰς τοὺς αἰῶνας.

Ὠδὴ η'

Τὸν ἐν τῷ ὄρει τῷ Μωυσῇ
ὀφθέντα ἐν βάτῳ καιομένῃ
καὶ μὴ φλεγομένῃ
σύμβολον αὐτῷ τοῦ τόκου
τῆς Θεοτόκου γνωρίσαντα
ὑμνεῖτε καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Τῆς ἐπὶ σὲ τοῦ ἁγίου Πνεύματος
ἐπελεύσεως, Παρθένε,
καὶ τῆς τοῦ πατρὸς εὐδοκίας
τῆς ἐκ σοῦ σαρκώσεως
τοῦ παντοδυνάμου Λόγου
ἄφραστος ὁ τρόπος,
σωτήριος δὲ παντὸς ἀνθρώπων γένους
διό σε πάντες, Θεοτόκε, μεγαλύνομεν.

251

Ποίημα Λαμπανοῦ μοναχοῦ

Α φ. 169α. Β φ. 214α

Ὠδὴ α'. Ἦχος πλ. β'. Ὁ Εἱρμός.

* Ὑποβρυχίους ὁ Θεὸς
ἀναβάτας τριστάτας
Αἰγυπτίους πάλαι
ἐν βυθῷ πεποίηκε·
τοὺς υἱοὺς δὲ Ἰσραὴλ
πόντῳ ἐρυθρῷ
ἀβρόχοις ἴχνεσι διήγαγεν
ὠδὴν ἀναμέλποντες αὐτῷ
ἐπινίκιον ὅτι δεδόξασται.

Ὠδὴ β'

Ἴδετε ἴδετε λαοὶ
τὰ μεγαλεῖα τοῦ Θεοῦ
ὅτι αὐτὸς κατῆλθεν
ἐπὶ τῆς γῆς τοῦ σῶσαι ἡμᾶς
καὶ σάρκα προσελάβετο
ἐκ τῆς Παρθένου ὡς εὐδόκησεν.

Ὠδὴ γ'

Ἱλασμὸς καὶ στερέωμα
γενοῦ ἡμῖν, Χριστὲ ὁ Θεός,
καὶ στήριξον ἡμᾶς εἰς τὸν φόβον σου
ἐν τῇ πέτρᾳ τῆς πίστεως
στερέωσόν σου τὴν ἐκκλησίαν.

Ὠδὴ δ'

Ἰδών σου τὴν ἐπ' ἐσχάτων ἔλευσιν
προφητικῷ ὄμματι ὁ Ἀββακοὺμ
ἐβόα, Χριστέ·
εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην
κατενόησα τὰ ἔργα σου
καὶ ἐξέστην, Κύριε.

Ὠδὴ ε'

Ὑπὸ δεινῆς ἀχλύος
σκοτισθέντα, Χριστὲ ὁ Θεός,
τῷ φωτί σου καταύγασον
τὰς διανοίας ἡμῶν
καὶ εἰρήνευσον τὴν ζωὴν ἡμῶν
ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Ὠδὴ ς'

Προτύπωσιν ὁ προφήτης τοῦ πάθους σου
ποιούμενος ἀνεβόα Ἰωνᾶς·

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

ἐκ φθορᾶς ἀνάγαγε
ὁ Θεὸς καὶ σῶσόν με, φιλάνθρωπε.

Ὠδὴ ζ'

Εἰκόνος ἀψύχου λατρευομένης
καὶ δόξης ὑψίστου παρορωμένης
οἱ ἐν εὐσεβείᾳ τραφέντες
ἐν καμίνῳ τοῦ πυρὸς παῖδες βληθέντες
μέσον ἑστῶτες ἔψαλλον·
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Ὑμνῳδοὺς ἐν Βαβυλῶνι κάμινος πάλαι
παῖδας δεξαμένη
ἀφλέκτους διεφύλαξε
θεολογοῦντας καὶ λέγοντας
εὐλογεῖτε τὰ ἔργα Κυρίου
καὶ ὑπερυψοῦτε τὸν Κύριον.

Εἱρμὸς ἄλλος

Ξενοπρεπὲς καὶ παράδοξον θαῦμα
οἱ θεόπνευστοι παῖδες
θεοσεβείᾳ ἀπειργάσαντο·
τῆς καμίνου γὰρ τὴν φλόγα
δροσοβολοῦσαν δείξαντες
ὕμνοις τῷ Χριστῷ ἐμελώδουν
εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ'

Ρεῖθρον ζωῆς ἀένναον
ἐκ σοῦ προῆλθεν, ἄχραντε κόρη,
Χριστὸς ὁ Θεὸς ἡμῶν
ἐν ᾧ οἱ πιστοὶ φωτισθέντες
σὲ καὶ τὸν ἐκ σοῦ, Θεοτόκε,
ὕμνοις μεγαλύνομεν.

252

ΕΙΣ ΤΗΝ ΓΕΝΝΗΣΙΝ ΤΟΥ ΠΡΟΔΡΟΜΟΥ

Ποίημα Λαμιανοῦ μοναχοῦ

Ἴαμβοι

Β φ. 215α

Ὠδὴ α'. Ἦχος πλ. β'. Ὁ Εἱρμός.

* Φαραωνίτας δυσμενεῖς ἐν θαλάσσῃ
ἄρδην ὤλεσε Χριστὸς ὑποβρυχίους
ναυσιπόρων ἰχνῶν δὲ περιούσιον
ὅλον τὸν Ἰσραὴλ ἀόπλως ἔσωσε
τερπτικῶς μετὰ φωνῆς ᾠδὴν ἄδοντα.

Ὠδὴ γ'

Ἐπὶ σοί, Χριστέ μου, τὰ ἴχνη τῆς ψυχῆς μου
στήριξον κλονούμενα ὁ ποιήσας με·
σταυριαίῳ ὅπλῳ δὲ ὡς εὐεργέτης
ἣν ἐκάλλυνας ἀφράστως ἐν Πνεύματι
μόνης τῆς ἐμῆς ἐλπίδος καὶ πίστεως.

Ὠδὴ δ'

Ποθητὸν εὐθέσι Πνεῦμα ἐν καρδίᾳ
ἠχηθεὶς ὁ Ἀββακοὺμ ἀνεκραύγαζε·
τὸ τοῦ σωτηρίου πᾶσιν ἐπεφάνη
ὅλος προσηνὴς καὶ ἀπρόσιτος Θεὸς
υἱὸς ἐκ γυναικὸς δὲ φῶς αἰώνιον.

Ὠδὴ ε'

Κοχέσπερος ὄμφαξ τῆς πικρᾶς ἀπάτης
ἀπλέτως ἀναφυεὶς ἐχθρὸς πανώλης,
Ἰησοῦ, βρετάδος μου ἴδε τὸ τέρμα
οὐράνιον ἀπαυγὴν ἐπιλάμψας μοι,
σωτὴρ τοῦ κόσμου, τοῦτον χειρί σου
[θραῦσον.

Ὠδὴ ϛ'

Υἱὸς καὶ γνώμων Ἰωνᾶς τῶν ἀδήλων
συντηρούμενος ἐξ ἁγίου Πνεύματος
τῇ φθοροποιῷ γαστρὶ προσριπτούμενος
ἵστατο εὐμενίζων τὸν πανθέατον
ῥῆμα τῆς ζωῆς ὄμμα τοῦ θείου Λόγου.

Ὠδὴ ζ'

Ὁμοσθενοῦς λατρείας ἐν μέσῳ φλογὸς
νόμον Χαλδαίων ἐμυκτήρισαν παῖδες·
δεξιᾷ δὲ τοῦ ὑψίστου φρουρούμενοι
ἰταμὸν ἐνέπρησαν κόσμου τύραννον
ἀληθείας Πνεύματος ἐμφορηθέντες.

Ὠδὴ η'

Ἄλωβον τῆς καμίνου τὴν φλόγα θέντε
τῇ τῆς δρόσου ῥύσει οἱ ὅσιοι παῖδες
ῥήσεσιν ἐβόων ταῖς τοῦ Παρακλήτου
ὁ ἐπὶ πάντων Θεὸς ὑμνείσθω μόνος
ἀνυψῶν τοὺς μέλποντας αὐτοῦ τὸ κράτος.

Ὠδὴ θ'

Νοῦς ἅπας, κόρη, ἐκπλήττεται τῷ τόκῳ
ἡ Εὔα πάλιν ἀπήλλακται τῆς λύπης·
σοῦ οὖν μόνης τῆς ἀπεριγράπτως Λόγου
ὃν πιστοὶ γεραίρομεν σεσαρκωμένον,
τοῦτον ἀπαθῶς ἡμῖν, ἁγνή, τεκούσης.

253

Ποίημα Ἀνδρέου Τυφλοῦ

Α φ. 269β. Β φ. 222β

Ὠδὴ α'. Ἦχος πλ. β'. Ὁ Εἱρμός.

* Τῷ καταδιελόντι τὸ ἀνυπόστατον ὕδω
τῆς Ἐρυθρᾶς θαλάσσης
καὶ διὰ ξηρᾶς καθοδηγήσαντι
τὸν λαὸν τοῦ Ἰσραὴλ
Θεῷ ἅπαντες
ἐπινίκιον ᾠδὴν ἀναμέλψωμεν·
ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ β'

Ἴδετε ἴδετε
ὅτι ἐγώ εἰμι Θεὸς
ὁ τὸν λαὸν τοῦ Ἰσραὴλ διαθρέψας
καὶ ἐν ἐρήμῳ κορέσας
καὶ τὴν θάλασσαν διασχίσας
τῇ μόνῃ ἰσχύϊ μου.

Ὠδὴ γ'

Ἐν τῇ πέτρᾳ με τῶν ἐντολῶν σου
στήριξον, Κύριε,
καὶ στερέωσον τὴν καρδίαν μου
εἰς τὸ ψάλλειν συνετῶς
Θεὸς οὐκ ἔστιν ἅγιος
πλήν σου, φιλάνθρωπε.

Ὠδὴ δ'

Ἐκ φοβερᾶς σου ἀκοῆς
ἀκηκοότες, Κύριε,
τὰ φρικτὰ τερατουργήματα
τὴν σὴν ἐνθαύμαστον, σωτὴρ ἡμῶν,
δύναμιν δοξάζομεν.

Εἱρμὸς ἄλλος

Ἀκηκοὼς τὴν ἐπ' ἐσχάτων σου ἔλευσιν,
Ἀββακοὺμ ὁ προφήτης
ἐξεστηκὼς ἐκραύγαζεν·
ἥξει ὁ Θεὸς ἐκ Παρθένου
γενόμενος ἄνθρωπος.

Ὠδὴ ε'

Ὑπεραυγάζουσι παντὸς φωτὸς
αἱ θεαυγεῖς τῶν ἐντολῶν σου ἀκτῖνες
πολυπλασίως τῶν αἰσθητῶν φωστήρων
τῶν σκοτοειδῶν παθῶν ἀπελαύνουσαι
καὶ υἱοὺς ἡμᾶς φωτὸς
καὶ ἡμέρας, Χριστέ, ἀπεργάζονται.

Εἱρμὸς ἄλλος

Ἔχων ὁ μόνος τὴν ἀθανασίαν
καὶ φῶς ἀπρόσιτον οἰκῶν
τὸ τῆς ψυχῆς μου ἀλαμπὲς
φώτισον, μόνε συνοχεῦ
καὶ φωτοδότα Χριστέ.

Ὠδὴ ϛ'

Ἰωνᾶς ὁ προφήτης
ἐν τῷ κήτει ὑπάρχων
προετύπου σου, Χριστέ,
τὴν θείαν ἔγερσιν·
διὸ καὶ ἀνεβόα σοι
πρὸς ζωὴν ἀναγαγεῖν·
κἀμὲ τὸν ἐν πταίσμασι
δεινοῖς συνεχόμενον
ἐξαρπάσας, ἀγαθέ,
ὥσπερ ἐκεῖνον διάσωσον.

Ὠδὴ ζ'

Δόγμα ἠλλοίωσαν βασιλέως ἀσεβοῦς
δαυιτικοὶ παῖδες οἱ θεόφρονες
μὴ πεισθέντες λατρεῦσαι
τῇ εἰκόνι τῇ χρυσῇ
ἀλλ' ἐν καμίνῳ βληθέντες
δροσιζόμενοι ἐμελώδουν ψάλλοντες·
εὐλογητὸς εἶ, λυτρωτὰ
Θεὲ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Ἄψυχον ἐξεφαύλισαν
χρυσότευκτον ἄγαλμα
παῖδες ἐν Βαβυλῶνι
καὶ φλόγα κατέσβεσαν
ἑπταπλασίως ἐπηρμένην
ἀνυμνοῦντες καὶ λέγοντες·
εὐλογεῖτε πάντα τὰ ἔργα
εἰς τοὺς αἰῶνας τὸν Κύριον.

Ὠδὴ θ'

Τὸ ἀλατόμητον ὄρος
ὃ προεῖδε Δανιὴλ ὁ προφήτης
ἐξ οὗ ἐτμήθη λίθος
ἄνευ ἀνθρώπου χειρός,
τὴν κιβωτὸν τὴν ἔντιμον
τὴν τὸ θεῖον μάννα χωρήσασαν γαστρί,
τὴν τεκοῦσαν τῷ κόσμῳ
γλυκασμὸν σωτηρίας
ἅπαντες ἐν ᾠδαῖς ἀσιγήτοις
ἀκαταπαύστως μεγαλύνομεν.

254

ΒΥΖΑΝΤΙΑΙΑ

Α φ. 172α. Β φ. 232β

Ὠδὴ α'. Ἦχος πλ. β'. Ὁ Εἱρμός.

* Τέμνεται προστάξει θεϊκῇ Ἐρυθρὰ
ὑπὸ τοῦ νομοθέτου Μωυσέως
καὶ λαὸς θεόλεκτος βιβάζεται
πλοκὰς τῶν ὕμνων ἀναμέλπων Θεῷ.

Ὠδὴ β'

Προσέχετε πᾶς ὁ λαὸς τοῦ Θεοῦ
τὰ μεγαλεῖα αὐτοῦ·
ἰδοὺ γὰρ γέγονε σωτηρία
τοῖς ἐν ἐκκλησίᾳ ἀναμέλπουσιν
αὐτοῦ τὴν μεγαλωσύνην.

Ὠδὴ γ'

Ὁ στερεώσας τοὺς οὐρανοὺς ἐν συνέσει
καὶ τὴν γῆν ἑδράσας ἐπὶ ὑδάτων πολλῶν
στερέωσον ἡμῶν τὰς καρδίας εἰς τὸν φό-
[βον σου.

Εἱρμὸς ἄλλος

Πόλον ἐκτανύσας
καὶ γῆν ὁ στερεώσας
παντουργικῇ δυνάμει

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

στερέωσον ἡμᾶς
εἰς τὸν φόβον σου, Κύριε.

Ὠδὴ δ'

Ἀββακοὺμ ὁ προφήτης
ἐνωτισθείς σου τὴν ἔλευσιν
τρόμῳ καὶ χαρᾷ
συνεχόμενος ἐβόα σοι·
ἐξελεύσεται Θεὸς ἐκ Παρθένου ἁγνῆς
δόξα τῇ δυνάμει σου.

Ὠδὴ ε'

Ὑπεραυγάζει τὰς τοῦ ἡλίου ἀκτῖνας
ὁ ἥλιος τῆς δικαιοσύνης
Χριστὸς ὁ Θεὸς ἡμῶν
καὶ τοὺς ἐν ζόφῳ ἀγνωσίας καθημένους
πρὸς φῶς ἀνακαλεῖται
καὶ ἐκ νυκτὸς ὀρθρίσαι παρακελεύεται.

Ὠδὴ ς'

Μετεωρισμοὶ κυμάτων
τοῦ βίου τοράττουσί με·
ἀλλ' ὡς Ἰωνᾶς σοι βοῶ
διάσωσόν με
ὡς μόνος ἐλεήμων.

Ὠδὴ ζ'

Παῖδες αἰχμάλωτοι
μὴ πειθόμενοι δόγματι παρανόμῳ
ἐν τῇ καμίνῳ βληθέντες
δρόσον ἐδέξαντο
εὐλογητὸς εἶ βοῶντες
ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Ἔνειλον πῦρ
δειματοῦν ὑπηρέτας κατέπτυσαν
οἱ τῆς Τριάδος ὑπέρμαχοι
πιστῶς κραυγάζοντες·
εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ'

Σὺ μόνη τῶν γηγενῶν
ἐδείχθης παντάνασσα
ὅτι τὸ πῦρ τὸ νοερὸν
ἐν γαστρί σου ἐβάστασας
καὶ οὐκ ἐφθάρης καὶ τὰ παρθενίας
κλεῖθρα διεφύλαξας·
διὸ πιστοὶ κατὰ χρέος
σὲ μεγαλύνομεν.

255

Λ φ. 173α

Ὠδὴ α'. Ἦχος πλ. β'. Ὁ Εἱρμός.

Ἅρματι Φαραὼ
καὶ τὴν δύναμιν αὐτοῦ
ὑψηλῷ βραχίονι
Χριστὸς κατεπόντισε·
καὶ Ἰσραὴλ διέσωσε
ἀναμέλποντα τῷ θαυμαστῷ
Θεῷ ἡμῶν ἄσωμεν.

Ὠδὴ β'

Οὐρανὸς τῷ λόγῳ Θεοῦ ἐνωτισθείς
βρόνος γενόμενος
ἀπίστους διελέγχει·
γῆ δὲ ἐδραιοθεῖσα
τοὺς ἀνθρώπους διεγείρει βοᾶν σοι·
σοὶ δόξα καὶ μεγαλωσύνην προσάγομεν.

Ὠδὴ γ'

Τὴν ἀπόρρητόν σου δύναμιν
καὶ συνεκτικὴν τῶν ἁπάντων σοφίαν σου
φρίττων ἐννοῶ
καὶ βοῶ σοι, ἀγαθέ,
κατ' ἐχθρῶν ὑμνοθήτω, Χριστέ, τὸ κέρας [μου.

Ὠδὴ δ'

Ἀναβήσομαι εἰς ὕψος αἰνέσεώς σου
καὶ λαὸν περιούσιον εὐαγγελίσομαι
ἀνάπαυσιν ἐκ καταδίκης τῆς βρώσεως
ὁ προφήτης ἔλεγεν·
ὁ γὰρ Λόγος παχυνθεὶς
ἐκ Παρθένου ἡμῖν ἐπέφανε.

Ὠδὴ ε'

Ἔθετο ἐπὶ βημάτων μου ἀχλὺν
ὁ παγκάκιστος ἐχθρός, Κύριε,
ἀλλὰ σύ με καταύγασον,
φωτοδότα Λόγε,
καὶ τῆς τούτου με ῥῦσαι κατακρίσεως.

Ὠδὴ ς'

Ὑπερῆραν αἱ ἀνομίαι μου,
Χριστέ, τὴν κεφαλήν μου
καὶ τοῖς πάθεσιν ἐφελκόμενος
ὡς Ἰωνᾶς βοῶ σοι·
ἐκ βυθοῦ ἀνάγαγε
τὴν ζωήν μου, εὔσπλαγχνε.

Ὠδὴ ζ'

Τὴν ἐν ἐρήμῳ βάτον
ἀρλέκτως καιομένην
τυπικῶς τῶν Ἑβραίων τὴν κάμινον
ὑπογράφουσαν ἔδειξε
καὶ Παρθένου τύπον δηλῶν
ὁ τῶν θαυμασίων Θεὸς καὶ ὑπερένδοξος.

Ὠδὴ η'

Λύναμις τελεστικὴ
ἐν Βαβυλῶνι δείκνυται
παῖδας ἐν φλογὶ
θείῳ Πνεύματι δροσίζουσα
καὶ τυράννου ἔπαρσιν καταφλέγουσα
διὸ ἀνεβόων εὐσεβῶς
εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ'

Τὴν ἀλοχεύτως τεκοῦσαν
τὸν ἕνα τῆς Τριάδος
τὸ ἡμέτερον ὅλον
δίχα φθορᾶς ἀναλαβόμενον,
ὃν αἱ πατριαὶ τῶν ἐθνῶν προσκυνοῦσι,
Παρθένε, σὲ μεγαλύνομεν.

256

Λ φ. 174β

Ὠδὴ α'. Ἦχος πλ. β'. Ὁ Εἱρμός.

Παγεῖσα ῥευστὴ ὑδάτων φύσις
διετμήθη Μωσέως ῥάβδῳ χερσὶ
τρίβον προοδοποιοῦσα
Ἰσραηλίτῃ λαῷ
ἵππον τε καὶ ἀναβάτην
βυθίζουσα Φαραώ·
ὅθεν μέλπομεν· ὁ δεδοξασμένος
Θεὸς ἡμῶν δεδόξασται.

Ὠδὴ β'

Ἴδετε ἴδετε Θεοῦ μεγαλεῖα
καὶ μεγαλωσύνην αὐτῷ δῶμεν καὶ δόξαν.

Ὠδὴ γ'

Σύ με στερέωσον, Χριστέ,
πίστει τῇ ὀρθοδόξῳ σου
τῶν οὐρανῶν μετεωροπολήσας τὴν φύσιν
καὶ τὴν γῆν ἐπὶ ὑδάτων ἀκράδαντον
ἐδράσας, Λόγε Θεοῦ,
ὅπως γεγηθὼς σοι βοήσω·
σὺ εἶ μόνος ἅγιος
ὁ ἐν ἁγίοις ἀναπαυόμενος.

Ὠδὴ δ'

Ἐξελήλυθας ἀπὸ Θαιμὰν
ὄρους Παρθένου σαρκωθείς
καὶ τοὺς χρισθέντας Πνεύματι, Χριστέ,
διὰ λουτροῦ βαπτίσματος
εἰς κεφαλὰς δὲ ἀνόμων
δυσσεβῶν θάνατον
τῆς ἁμαρτίας ἔβαλες·
διὸ ἀκηκοώς σου
τὰ φρικτὰ τεράστια, σῶτερ,
δοξάζω σου τὴν δύναμιν.

Ὠδὴ ε'

Κατακοσμήσας τὸν πολυάξονα
τοῦ στερεώματος πόλον..
φωστῆρσιν ἐφαίδρυνας φαεινοῖς·
πω τὴν ἐν ἐμοὶ ζοφώδη νύκτα τῶν παθῶν
τῇ ἐπιλάμψει σου, τὸ ἀπρόσιτον φῶς,
καταυγάσας φώτισον, Χριστέ,
πρὸς σὲ τὸ ἀνέσπερον
σέλας ὀρθρίζοντα.

Ὠδὴ ς'

Ὑποβρύχιος βίου θαλάσσης
ἁμαρτίαις γέγονα πολλαῖς
ἐχθροῦ παμφάγου ὡς σειραῖς
σπλάγχνοις συσχεθεὶς θηρὸς Ἰωνᾶς
ἀλλ' ἐκεῖνος φθορᾶς
θᾶττον ἀλώβητος ἀνέθορεν·
ἐγὼ δὲ τεθνάναι μέλλων βοῶ σοι,
ἐκτείνας, σῶτερ, χεῖρά σου πρός με
τὴν ζωήν μου ἀνάγαγε.

Ὠδὴ ζ'

Υἱῶν οἱ παῖδες Ἱερουσαλὴμ ἐβόων
ἐὰν μὴ μνησθῶμέν σου
ἐπιλησθείη ἡ δεξιὰ ἡμῶν·
θυγάτηρ Βαβυλῶνος ἡμᾶς ἠγνόησε
μακάριος ὃς κρατήσει
καὶ ἐδαφιεῖ πρὸς τὴν πέτραν
Χριστὸν αὐτῆς τὰ νήπια,
τὸν ὑπερένδοξον
καὶ δεδοξασμένον εἰς τοὺς αἰῶνας.

Ὠδὴ η'

Ἰσάριθμοι Τριάδος οἱ παῖδες
θυσίαν ζῶσαν εὐάρεστον
ἑαυτοὺς τεθυκότες
τὸν ἀόρατον ἑώρων
ἐν μέσῳ τῆς καμίνου·
ὅθεν δροσισθέντες ἐβόων
τῷ υἱῷ τοῦ Θεοῦ·
σὺ εἶ τῶν πατέρων Κύριος
ὃν εὐλογοῦμεν
καὶ ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'

Ἄκουσον, θύγατερ, καὶ ἴδε
καὶ κλῖνον τὸ οὖς σου
καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου
καὶ γὰρ πᾶσα ἡ δόξα σου,
Παρθένε, ἔσωθεν
ὡς συλλαβοῦσα τὸν κτίστην σου·
δι' οὗ οἱ πλούσιοι τοῦ λαοῦ
τὸ πρόσωπόν σου λιτανεύοντες
σὲ μεγαλύνομεν.

257

ΕΙΣ ΤΑ ΦΩΤΑ [1]

Ὠδὴ α'. Ἦχος πλ. β'. Ὁ Εἱρμός.

Κύματι θαλάσσης
τὸν κρύψαντα πάλαι

(1) Ἐκ τοῦ ἐντύπου Εἱρμολογίου ἐκδ. Ἰωάννου Νικολαΐδου, ἐν Ἀθήναις, 1906, σελ. 96.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

διώκτην τύραννον
τὰ Ἰορδάνεια
ρεῖθρα συστέλλει καὶ κρύπτει
τὴν ἐμὴν νῦν καθαιρόμενον
ἀνθρωπίνως κάθαρσιν·
ἐνδόξως γὰρ δεδόξασται.

ὨΙδὴ γ'

Κύριος ὢν πάντων
καὶ κτίστης Θεὸς
τὸν Ἀδὰμ ὁ πλαστουργὸς φορέσας
ἑαυτῷ ἥνωσε
καὶ φθαρέντα καινίσαι βουληθεὶς
μολεῖ πρὸς Ἰορδάνην κραυγάζων
ὕδωρ τῆς ζωῆς ἀντλήσατε
καὶ πίστει στερεωθήσεσθε.

ὨΙδὴ δ'

Προκατιδὼν ὁ προφήτης
τοῦ μυστηρίου σου τὸ ἀπόρρητον,
Χριστέ, προανεφώνησεν·
ἔθου κραταιὰν βαπτίσματος
τὴν χάριν τοῖς πίστει
τοῦτο δεχομένοις ἅπασιν
εἰς λύτρωσιν τῶν ἁμπλακημάτων ἡμῶν.

ὨΙδὴ ε'

Πρὸς σὲ ὀρθρίζω
τὸν δι' εὐσπλαγχνίαν
σεαυτὸν τῷ πεσόντι
κενώσαντα ἀτρέπτως
καὶ δούλου χειρὶ
βαπτισθῆναι θελήσαντα,
Λόγε Θεοῦ,
τὴν εἰρήνην παράσχου μοι, φιλάνθρωπε.

ὨΙδὴ ς'

Συνεσχέθη
ἀλλ' οὐ κατεσχέθη
φρόβῳ ὁ θεῖος Βαπτιστής·
εἰ γὰρ καὶ συνεστάλη
προσεγγίσαι τῷ πυρὶ ὁ χόρτος
ἀλλ' ἀκούσας
ἄφες ἄρτι ἔδραμε
τὸ ἐπίταγμα πληρῶν ὡς δοῦλος
θείας τε ἄνωθεν
μαρτυρούσης φωνῆς
ἤκουσεν υἱὸν τὸν προαιώνιον.

ὨΙδὴ ζ'

Ἄφραστον θαῦμα !
ὁ ἐν καμίνῳ ρυσάμενος
τοὺς ὁσίους παῖδας ἐκ φλογὸς
κλίνει κορυφὴν
καὶ αἰτεῖ τὸ βάπτισμα
ὑπὸ τοῦ δούλου καθαίρων τοὺς βοῶντας·
λυτρωτά,
ὁ Θεὸς εὐλογητὸς εἶ.

ὨΙδὴ η'

Ἔκστηθι φρίττων οὐρανὲ
καὶ σαλευθήτωσαν
τὰ θεμέλια τῆς γῆς·
ἰδοὺ γὰρ ὕδωρ περιβάλλεται
ὁ φλέξας ὕδατα πρὶν
δικαίου θυσίας παραδόξως
ὃν παῖδες εὐλογεῖτε
ἱερεῖς ἀνυμνεῖτε
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

ὨΙδὴ θ'

Μὴ ἐποδύρεσθε μάτην
ἀπογνώσεως βρόχοις
ἀποπνιγόμενοι βροτοὶ
ὑπεύθυνοι κακῶν·
ἀλλ' ἐν κατανύξει ψυχῆς προσέλθωμεν
τῷ καθαίροντι πάντας
ὡς μόνῳ καθαρῷ
καὶ διδόντι συγγνώμην
διὰ βαπτίσματος.

258

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα [Ἀναστασίου τοῦ] Κυέστορος

Β φ. 216α

ὨΙδὴ α'. Ἦχος πλ. β'. Ὁ Εἱρμός.

* Ἤνοιξε Μωσῆς Ἰσραηλίταις πάλ
νευσει παναλκεῖ πυθμένας θαλαττίους
θυθῷ δὲ κλείσας τοὺς δμώτας κυκλόθ
ἄρδην ἔκρυψε καὶ Θεῷ τὰς αἰνέσεις
σκιρτῶντες ἐμελπον ὡς κραταιῷ δεσπό

ὨΙδὴ γ'

Ἐξ ἀκάρπου καρπὸς ὤφθη νηδύος
νέος προελθὼν ὁ βλέπων ἐνδημίαν
ἔνθους Σαμουὴλ τοῦ πρὸ αἰώνων Λόγ
ὃς περ πέφυκεν ἐξ ἀχράντου Παρθέν
στηριγμὸς ἡμῖν καὶ βάσις τῆς πίστε

ὨΙδὴ δ'

Θεὸν προελθεῖν ἐξ ὄρους τῆς Παρθέν
ἐκστὰς ἔφριττεν. Ἀββακοὺμ προμηνύ
λαοῖς γὰρ ὤφθη Χριστὸς εἰς σωτηρ
ξένην πορίζων τοῖς πίλαι καὶ νῦν τρί
ἄγουσαν εἰς εὔκλειαν ἐνθέου κράτ

ὨΙδὴ ε'

Ὁ φῶς ἐφαπλῶν καὶ σκεδάζων τὸ σκό
ἄναρχον ὢν φῶς, Χριστὲ τοῦ πατρὸς Λό
μείωσον ἀχλὺν τῆς ἐμῆς ραθυμίας
ἀκτῖσιν αὐγασόν με σῶν προσταγμά
ῥᾷον διελθεῖν τὰς ἐνέδρας τοῦ σκότ

ὨΙδὴ ς'

Ἦν τῷ προφήτῃ πόντιος τάφος λέων
σῶον δὲ τοῦτον εἰς τύπον σοῦ τοῦ πάθους
οἷον καθεῖρξεν ἐκφέρει τριέσπερον
λαοῖς ὑπεμφαίνοντα σῆς τριημέρου
βάθος θεουργόν, Χριστέ, τῆς ἐγέρσεως.

ὨΙδὴ ζ'

Τοὺς παῖδας ἐδρόσιζε πῦρ ἐξ ἀνθράκων
ἐκτὸς ᾠκαίζον τῆς καμίνου τῶν ὅρων
ῥαιζοφλόγον δὲ τοὺς πέριξ καταφλέγον
πείθει βοᾶν τύραννον εὐλογητὸς εἶ
ἡ τρισοφεγγὴς πανσθενὴς θεαρχία.

ὨΙδὴ η'

Θηρῶν ἔφραττε Δανιὴλ τὰ χάσματα
ἐσβέννυον πυρὸς δὲ βροντώδη φλόγα
νεανίαι τρεῖς ἀγγέλου παρουσίᾳ
ὃν, εὐλογοῦσαν νῦν παρῆγον τὴν κτίσιν
νεουργὸν αὐτῆς εἰδότες καὶ Κύριον.

ὨΙδὴ θ'

Ἐν σοὶ τελεῖται θαῦμα, Παρθένε, ξένον·
τῶν πατρικῶν κόλπων γὰρ οὐκ ἐκστὰς ὅλως
ἔνσαρκος ἐκ σοῦ διπλόμορφος τῇ φύσει
ῥύστης Θεὸς προῆλθεν ἄμφω καὶ βροτὸς
ἡμῖν χάριν, Δέσποινα, δοὺς τὴν ἔνθεον.

259

Ποίημα Φωτίου πατριάρχου

Ἰ α μ β ο ι

Β φ. 218α

ὨΙδὴ α'. Ἦχος πλ. β'. Ὁ Εἱρμός.

* Ἐν ἰσχύϊ κραταιότητός σου, Λόγε,
ξενοπρεπῶς ἔσωσας Ἰσραὴλ πάλαι·
Αἰγυπτίων γὰρ ἐκδραμὼν μοχθηρίαν
φυγὰς σέσωστο τῆς θαλάσσης τῇ τρίβῳ
αἶνον φέρων σοι τερπνὸν εὐχαριστίας.

ὨΙδὴ γ'

Νεῦσον πρὸς ἡμᾶς τοὺς τιμῶντάς σε, Λόγε,
ἐχθρῶν ἁπάντων μηχανὰς ἀποτρέπων·
ὑπερβολῇ γὰρ ἐχθρικῆς κακουργίας
εἰς πλῆθος εἰσέδυμεν ἀσχέτου ζάλης
ῥῦσαι δὲ καὶ στήριξον ἡμᾶς σῷ φόβῳ.

ὨΙδὴ δ'

Ἀββακοὺμ ὃς προεῖδεν ἐν μεταρσίοις
σκιρτήμασι δέδειχέ τὴν ἐν ἐσχάτοις
αἰῶσιν ἔμφρικτον Θεοῦ παρουσίαν
συνηγοροῦσαν τῇ ξένῃ θεωρίᾳ
κόσμου λύτρωσιν ἐνθέως ὑπογράφει.

ὨΙδὴ ε'

Ὁ φῶς ὑπάρχων αὐθυπόστατον, Λόγε,
ἔθυνον αὐτὸς πρὸς τρίβους σωτηρίας
βοῶντα δέξαι καὶ σκότους ἁμαρτίας
ἐλευθέρωσον, Χριστέ, τὴν ἐμὴν φρένα·
λύτρον γὰρ ἡμῖν τῶν κακῶν ἐλήλυθας.

ὨΙδὴ ς'

Συνεσχέθην τῆς ἡδονῆς ταῖς ἄρκυσιν
ἐν πλημμελείαις τοῦ βίου πεφυρμένος·
κράζω δέ, σωτήρ, ὡς ἔχων εὐσπλαγχνίαν
αὐτός με ῥῦσαι χειρὶ πανσθενεστάτῃ·
ἰσχὺς γὰρ ἡμῖν σωστικὴ πέλεις, Λόγε.

ὨΙδὴ ζ'

Ἰδὼν τύραννος δυσσεβὴς θαῖμα ξένον
ἄνδρας πυρὸς κρατοῦντας ἐνθέῳ σθένει
πῦρ δὲ δρόσον πηγάζον ἐκστὰς ἐν φόβῳ
ὅλος παρεῖται καὶ βοᾷ τῷ Δεσπότῃ
ἔχεις κράτος μέγιστον εὐλογητὸς εἶ.

ὨΙδὴ η'

Ῥώμην λαβόντες παῖδες ἔνθεον πάλαι
ἀλκὴν κρατοῦντες καὶ θράσος διῃρμένον
στερρῶς καθεῖλον συμπατοῦντες τὴν φλόγα
ἀπαύστως κραυγάζοντες ἐν παρρησίᾳ
Κύριον εὐλογοῦμεν ὃν πᾶσα κτίσις τρέμει.

ὨΙδὴ θ'

Κατὰ χρέος σε πάντες ὑμνοῦμεν πόθῳ,
ἄχραντε μῆτερ εὐλογημένη μόνη·
ῥύστης γὰρ ἡμῖν καὶ Θεὸς καὶ δεσπότης
ἐκ σῶν προῆλθεν ἐγκάτων θεηδόχων
κόσμῳ λύτρωσιν πταισμάτων δωρού-
μενος.

260

ΣΤΑΥΡΩΣΙΜΟΣ

[Ποίημα Ἰωάννου μοναχοῦ]

Β φ. 219α

ὨΙδὴ α'. Ἦχος πλ. β'. Ὁ Εἱρμός.

* Τὸ ἐρυθραῖον πέλαγος
ῥάβδῳ τεμὼν Μωυσῆς
λαὸν διέσωσεν
ἀβρόχως τὸν Ἰσραὴλ
ὁ δὲ Χριστὸς ἐν τῷ σταυρῷ
ἅπαν τὸ γένος τῶν βροτῶν
φθορᾶς ἠλευθέρωσεν
αὐτῷ μόνῳ ᾄσωμεν.

ὨΙδὴ β'

Φρῖξον οὐρανὲ
γῆ κλονίσθητι
καὶ αἰθὴρ τῷ ἐρέβῳ καλύφθητι
τὸν ποιητὴν τῶν ἁπάντων
ὡς κατάκριτον βλέποντες
παλάμας τείνοντα
ἵνα τοῦ προπάτορος
τῆς ποινῆς ἡμᾶς λυτρώσηται.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

'Ωδὴ δ'

Λύτρωσιν ἀπέστειλεν ὁ πατὴρ
υἱὸν τὸν μονογενῆ
παντὶ τῷ λαῷ αὐτοῦ
καὶ τούτου τὴν δόξαν ἐθεασάμεθα
οἱ λαβόντες αὐτὸν διὰ πίστεως
καὶ τέκνα γεγονότες Θεοῦ
δόξαν ὡς μονογενοῦς παρὰ πατρὸς
καὶ λαβόντες ἐκ τοῦ πληρώματος αὐτοῦ
καὶ χάριν ἀντὶ χάριτος
μελῳδοῦμεν· δόξα τῷ θεώσαντι
τὴν φύσιν τῶν βροτῶν.

'Ωδὴ ε'

Θαμβώσει ἐστιλβοῦτο ὁ ἀὴρ
αἵμασιν ἐπορφυροῦτο ἡ γῆ
σοῦ παθόντος καὶ ταφῇ δοθέντος
καὶ σύνδεσμος εἰρήνης ἐπλέκετο
τοῖς ἠγαπημένοις
αὐτὸς φανεὶς ὄρθρος
ἀποστόλοις ἀνέσπερος.

'Ωδὴ ς'

Οἱ τῷ θείῳ σου αἵματι
τῷ ἐκ πλευρᾶς κενωθέντι,
Χριστὲ ὁ Θεός,
οἱ ἐξ αἱμάτων καὶ λύθρου
δαιμονικῆς καθαρθέντες ἀπάτης
ἐν τῷ ναῷ σου ἑστῶτες
δεκτήν σοι προσφέρομεν
μετὰ φωνῆς θυσίαν αἰνέσεως.

'Ωδὴ ζ'

Οἱ φοβούμενοί σε ἥκουσι
καὶ εὐκρανθήσονται
δοξάζοντες τὴν ἀνάστασίν σου, Κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

'Ωδὴ η'

Πᾶσα ἡ κτίσις εὐλόγησέ σε
τὸν ἐπὶ σταυροῦ ὑψωθέντα
καὶ τὴν κτίσιν πᾶσαν δημιουργήσαντα
ὡς νικητὴν τοῦ θανάτου
σὲ ὑπερυψοῦμεν
ὡς Θεὸν καὶ Κύριον εἰς τοὺς αἰῶνας.

'Ωδὴ θ'

Παρεστῶσα τῷ σταυρῷ σου
ἡ ἀμόλυντος ἀμνὰς
καὶ μήτηρ καὶ Παρθένος
διάκρινα πικρότατα
ἐκ σπλάγχνων μητρικῶν κινοῦσα
θερμῶς ἀνεκαλεῖτο·
υἱέ μου πῶς ὑπομένεις
τὴν ἄδικον ταύτην σφαγήν·
βλέπω γάρ σε τὰ πάνδεινα
ὑπὸ τῶν ἀνόμων ἀνδρῶν πάσχοντα,
γλυκύτατόν μου τέκνον,
καὶ τιτρώσκομαι τὴν ψυχὴν
καὶ πάλλω τὴν καρδίαν
καὶ κράζουσα βοῶ σοι·
προπαρασκεύασον πάντας
εἰς τὴν ἐμὴν εὐφημίαν
ὅπως δοξάζωσι καμὲ
ὡς Θεοῦ μήτερα.

261

ΠΡΟΕΟΡΤΙΟΣ
ΤΩΝ ΧΡΙΣΤΟΥΓΕΝΝΩΝ

Β φ. 220β

'Ωδὴ α'. Ἦχος πλ. β'. Ὁ Εἱρμός.

* Κρύπτεται ὡς ἀληθῶς
τῆς Παρθένου τὸ θαῦμα
καὶ ἀβύσσου θαλαττίου
ἴχνος πορθμευόμενον·
ἀλλ' ἀδιστάκτῳ καρδίᾳ
ὕμνους ἀσματίζομεν.

'Ωδὴ γ'

Ξηραίνεται τῆς πολυτέκνου γονῆς ἡ ῥίζα
καὶ ἐκ πέτρας ἀγόνου ὕδωρ Χριστὸς
εἰς εὐφροσύνην τοῖς ἐξ ἁγίων
ἁγίοις ἀνέτειλεν.

'Ωδὴ δ'

Δι' οἶκτον ἐλέους σου, Δέσποτα,
τῶν ἀπ' αἰώνων προφητῶν σου
τὰς προρρήσεις ἐπίστωσας·
ἐκ Παρθένου γὰρ ἐμφανισθεὶς
τῷ κόσμῳ ἐπεδήμησας
καὶ δοξάζομέν σε, Κύριε.

'Ωδὴ ε'

Ὁ Θεός μου ὁρθρίσας
ἔστην κατὰ ἀνατολὰς
ἐποπτεύων τὴν φωτοφανῆ σου κατάλαμψιν
καὶ εἶδον καὶ ἰδοὺ
ὁ ἥλιος τῆς δικαιοσύνης
Κύριος σωματόπεπλος
ἐκ τῆς Θεοτόκου ἐξανέτειλεν.

'Ωδὴ ς'

Ἡ φύσις ἰάθη ἐν τῷ πλήθει τῶν σῶν ο
[κτιρμῶ
καὶ τὴν ἄβυσσον τῆς ἀνθρωπίνης φύσεω
ἄβυσσος ἐπικαλεῖται
φωνῇ τῶν καταρρικτῶν σου
ἐν ᾗ καθῆκας ὑετὸν
Χριστὸν τῇ εὐσπλαγχνίᾳ σου.

'Ωδὴ ζ'

Χορευταὶ πεπνυμένοι τῆς Θεοτόκου
γυμνὴν εἰκόνα ἐν καμίνῳ

ὡς πόκῳ τὴν δρόσον κεχυμένην
κατανοοῦντες προεκήρυττον
ὁ δι' αὐτῆς ἐμφανισθεὶς
Θεὸς εὐλογητὸς εἶ.

'Ωδὴ η'

Σπινθὴρ θείας φλογώσεως
παρθενικὴν νηδὺν εἰσδὺς ἐξεπύρσευσε
καὶ ὡς δρόσος Ἀερμὼν
ὄρη Σιὼν προσωμίλησεν·
διὰ τοῦτο παῖδες μέσον τῆς φλογὸς
δροσισθέντες εὐλογοῦσι
καὶ ὑπερυψοῦσιν
αὐτὸν εἰς τοὺς αἰῶνας.

'Ωδὴ θ'

Ῥήσεις προφητῶν πεπλήρωνται ἐν σοί,
Παρθένε πανύμνητε,
τὸν γὰρ Ἐμμανουὴλ ἐβάστασας
ὡς οὐράνιον ἁγίασμα·
σὺ γὰρ ἡ ἐπανόρθωσις τοῦ γένους ἡμῶν
ὡς τεκοῦσα τὸν ἀχώρητον παντί·
διὸ προεορτάζομεν σήμερον
τῆς ἀχράντου λοχείας σου τὸ μυστήριον
Βηθλεὲμ δὲ εὐτρεπίζει
τὴν φάτνην τὴν ἁγίαν
καὶ τὸ σπήλαιον τὸ οὐρανότυπον·
Μάγοι τοὺς θησαυροὺς προτείνουσιν
ἡμεῖς δὲ ὡς Θεομήτορα
προσκυνοῦντές σε ἀπαύστως
μεγαλύνομεν τὸν τόκον σου.

262

ΑΝΑΤΟΛΙΚΗ

[Ποίημα Γεωργίου Ἀνατολικοῦ]

Β φ. 221β

'Ωδὴ α'. Ἦχος πλ. β'. Ὁ Εἱρμός.

* Θεὲ θεῶν Κύριε,
ὁ δι' ἐμὲ κατ' ἐμὲ γεγονὼς
τοὺς ἐν ἐμοὶ ἀστατοῦντας
τριστάτας τῶν παθῶν πόντισον
ἵνα ᾠδήν σοι ἁγίαν
ἀπαύστως ἄσωμαι.

'Ωδὴ γ'

Ἀκλονήτους στήριξον ἡμᾶς,
Χριστέ, τοὺς ὑμνοῦντάς σε
ὅτι πλὴν σοῦ ἅγιος
οὐκ ἔστι καὶ δίκαιος
ὁ τῇ σοφίᾳ σου ἑδράσας
λόγῳ τὰ σύμπαντα.

'Ωδὴ δ'

Τῆς οἰκονομίας σου τὴν ἀκοὴν
εἰσακήκοα, Χριστέ,
καὶ ἐξιστάμενος τρόμῳ βοῶ
δόξα τῇ ἀνεικάστῳ ἐξουσίᾳ σου.

'Ωδὴ ε'

Τῶν προσταγμάτων σου τὸ φῶ
Κύριε, ἀνάτειλόν μοι
καὶ τοῦ γνόφου τῶν πταισμάτω
ἐξάγαγε καὶ ἐλέησόν με.

'Ωδὴ ς'

Βυθός μοι ἐπανέστη ἁμαρτημάτων π
καὶ ἀνακράζω σοι·
ὡς Ἰωνᾶν με ῥῦσαι
τῆς ζάλης τῶν ἐπταισμένων μοι δ
καὶ σῶσόν με, φιλάνθρωπε, ὡς π

'Ωδὴ ζ'

Ὁ τοὺς παῖδας διασώσας
ἐν Βαβυλῶνι, Χριστέ,
καὶ ἡμᾶς διάσωσον
τὴν ᾠδήν σοι ψάλλοντας·
ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ.

'Ωδὴ η'

Ὑμνοῦσί σε, Χριστέ,
ἀγγέλων τὰ τάγματα
καὶ δοξάζουσί σε
τῆς γῆς τὰ πέρατα
ὡς κτίστην καὶ ποιητὴν
ὑμνολογοῦντες εἰς τοὺς αἰῶνας.

'Ωδὴ θ'

Ἐσκήνωσεν ἐν σοὶ
ὁ ὑπέρθεος, ἁγνή,
καὶ ἐσωμάτωσας αὐτὸν
ἡνωμένον καθ' ὑπόστασιν·
ὅθεν ἀσιγήτως δοξάζοντες
αὐτὸν σὲ μεγαλύνομεν.

263

ΕΙΣ ΤΗΝ ΑΠΟΤΟΜΗΝ
ΤΟΥ ΠΡΟΔΡΟΜΟΥ

Ποίημα Κυπριανοῦ μοναχοῦ

Β φ. 223β

'Ωδὴ α'. Ἦχος πλ. β'. Ὁ Εἱρμός.

* Ἄσωμεν ἆσμα καινὸν πάντες λα
Χριστῷ τῷ Θεῷ ἡμῶν
τῷ συντρίψαντι πολέμους
καὶ ἅρματα Φαραὼ ἐν θαλάσσῃ
λαὸν δὲ διασώσαντι
ἐπινίκιον ᾄδοντα.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

Ὠδὴ γ'

Στείρα ψυχή μου
καρποφόρησον Θεῷ
τῷ ἐπὶ τῶν ὑδάτων
τὴν γῆν θεμελιώσαντι
καὶ οὐρανοὺς ἐν συνέσει στερεώσαντι
ἵνα εὕρῃς ἐν ἡμέρᾳ
κρίσεως εὐίλατον.

Ὠδὴ δ'

Θείῳ Πνεύματι προβλέπων
ὁ θεηγόρος Ἀββακοὺμ
σωτὴρ ἡμῶν, τὴν οἰκονομίαν σου
πᾶσι κατετράνωσεν·
ὅθεν ἐβόα·
ἀπὸ Θαιμὰν ἥξει ὁ Θεὸς
εἰς βροτῶν σωτηρίαν ὡς εὔσπλαγχνος.

Ὠδὴ ε'

Ζοφερά μοι ἀχλὺς τῆς ἁμαρτίας, ἀγαθέ,
ἐπανίσταται, Χριστέ,
ἀλλὰ δέομαί σου τῷ εἰδότι τὰ κρυπτά μου
ἀπερριμμένον δέξαι με πρὸς σὴν αἴνεσιν·
σὺ γὰρ μόνος φωτὸς καὶ εἰρήνης
δεσπόζεις, ἀπροσωπόληπτε.

Ὠδὴ ϛ'

Νηχομένῳ θηρὶ ὁ Ἰωνᾶς ἐμπαρεὶς
τετευχὼς δὲ αὖθις τῆς ζωῆς, ἀναλλοίωτε,
ἐβόα· μετὰ φωνῆς αἰνέσεως
ἀποδώσω σοι, σῶτερ, ὅσα ηὐξάμην.

Ὠδὴ ζ'

Ρήματος φληνάφου κατέπτυσαν
οἱ περὶ Ἀζαρίαν παῖδες ἅγιοι
τὴν ἁρμονικὴν δὲ ξοανόφωνον μὴ προσιέ-
[μενοι
τῷ σωτῆρι ἐκραύγαζον·
ἐν τῷ ναῷ τῆς δόξης σου
ὁ Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'

Φροῦδον δέδειχεν
ἡ τρισοφεγγὴς τῶν νεανιῶν χορεία
ἀλιτήριον μέδοντα
κατασβέσασα ὠκύμορον φλόγα·
ἆσμα ἐκρότουν γὰρ ἐμμελῶς
τῶν κτισμάτων αἱ τάξεις
εὐλογεῖτε ὑμνεῖτε τὸν Κύριον.

Ὠδὴ θ'

Χαίροις κόρη ἀμίαντε
τοῦ ἀδύτου ἡλίου ὑπέρφωτε λαμπάς·
Θεὸν γὰρ μόνη τέτοκας
ὃν τάξεις ἀγγέλων ὁρᾷν οὐ τολμᾷ
ἐν γαστρὶ ἐβάστασας
καὶ σὲ ὡς ἀπείρανδρον
ὕμνοις μεγαλύνομεν.

263

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΘΕΟΔΩΡΟΝ

Ποίημα Κυπριανοῦ μοναχοῦ

Β φ. 224β

Ὠδὴ α'. Ἦχος πλ. β'. Ὁ Εἱρμός.

* Ἤπειρον πάλαι Ἰσραὴλ [1]
τὴν Ἐρυθρὰν ὡς ξηρὰν διήγαγε
καὶ Φαραωνίτας ἄρδην συνεκάλυψε
χειρὶ Θεοῦ διασωθείς·
ὅθεν ἐβόα· ἄσωμεν τῷ Κυρίῳ
ἐπινίκιον ᾠδὴν
παράδοξα ποιοῦντι ἐξαίσια·
ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ γ'

Τῆς σῆς, Χριστέ μου, ἐλπίδος
μὴ σαλευσάτω μου ὁ ἐχθρὸς τὰ διαβή-
[ματα·
σὺ γὰρ μόνος ὑπάρχεις
στηριγμὸς τῶν πεσόντων
καὶ καταφυγὴ ἀπροσμάχητος.

Ὠδὴ δ'

Ἄφραστον τὸ μυστήριον, Χριστέ,
τῆς σῆς οἰκονομίας·
Θεὸς γὰρ ὁ ἀναλλοίωτος
σεσωματωμένος ὤφθη τοῖς ἀνθρώποις
ἄνευ παθῶν ἁμαρτίας·
διὸ καὶ τῆς σῆς αἰνέσεως, Κύριε,
τὰ σύμπαντα πεπλήρωται.

Ὠδὴ ε'

Ἐκ νυκτὸς τῶν πταισμάτων μου
καθῆκέ με πρὸς ἀπόγνωσιν ὁ ἐχθρὸς
ἀλλὰ δέομαί σου
πρὶν εἰς τέλος με, Χριστέ,
καταβάλῃ τῷ ἅδῃ
ὄρθρον μοι ἀνάτειλον τῶν ἐντολῶν σου
ἵνα δοξάζω τὸ μέγεθος τῆς δόξης σου.

Ὠδὴ ϛ'

Ἀπὸ βυθοῦ θαλάσσης
τῶν πονηρῶν ἐννοιῶν
πρὸς τὸν δυνάμενον σώζειν
κεκράξομαι βοῶν·
σῶσον ἀπολύμενόν με κακοῖς, ποιητὰ
καὶ λυτρωτὰ τῶν χειμαζομένων.

Ὠδὴ ζ'

Τὸ τῆς θεογνωσίας πῦρ
ὑπὲρ τὴν καμινιαίαν φλόγα ἐκκαύσαντες
τῆς Σιὼν μελῳδικοὶ παῖδες ἔλεγον·

(1) Αἱ α' καὶ δ' ὠδαὶ ὡς ἐν τῷ ἔμπροσθεν ποιήματι Γεωργίου τοῦ Ἀνατολικοῦ.

τῶν πατέρων εἰς αἰῶνας
ὁ Θεὸς ἡμῶν εὐλογητὸς εἶ.

Ὠδὴ η'

Ξενοπρεπὲς καὶ παράδοξον θαῦμα
οἱ θεόπνευστοι παῖδες
θεοσεβείᾳ ἀπειργάσαντο·
τῆς καμίνου γὰρ τὴν φλόγα
δροσοβολοῦσαν δείξαντες
ὕμνους τῷ Θεῷ ἐμελώδουν·
εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ'

Χαῖρε σεμνὴ
ἡ τὸν προανάρχου γεννήτορος υἱὸν
ἐν χρόνῳ τεκοῦσα δι' ἡμᾶς
εὐδοκήσαντα δὲ ὡς βροτὸν
ἐπὶ γῆς φοιτῆσαι
ἵνα τῆς πρὶν ἁμαρτίας
Ἀδὰμ ἐξάρῃ αἵματι.

264

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΑΘΑΝΑΣΙΟΝ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

Ποίημα Κυπριανοῦ μοναχοῦ

Β φ. 225α

Ὠδὴ α'. Ἦχος πλ. β'. Ὁ Εἱρμός.

* Ἄσωμεν ἆσμα καινὸν πάντες λαοὶ [1]
Χριστῷ τῷ Θεῷ ἡμῶν
τῷ συντρίψαντι πολέμους
καὶ ἅρματα Φαραὼ ἐν θαλάσσῃ
λαὸν δὲ διασώσαντι
ἐπινίκιον ἄδοντα.

Ὠδὴ γ'

Στείρα ψυχή μου
καρποφόρησον Θεῷ
τῷ ἐπὶ τῶν ὑδάτων
τὴν γῆν θεμελιώσαντι
καὶ οὐρανοὺς ἐν συνέσει στερεώσαντι
ἵνα εὕρῃς ἐν ἡμέρᾳ
κρίσεως εὐίλατον.

Ὠδὴ δ'

Θείῳ Πνεύματι προβλέπων
ὁ θεηγόρος Ἀββακοὺμ,
σωτὴρ ἡμῶν, τὴν οἰκονομίαν σου
πᾶσι κατετράνωσεν·
ὅθεν ἐβόα·
ἀπὸ Θαιμὰν ἥξει ὁ Θεὸς
εἰς βροτῶν σωτηρίαν ὡς εὔσπλαγχνος.

(1) Αἱ α', γ' καὶ δ' ὠδαὶ ὡς καὶ ἐν τοῖς ἔμπροσθεν, εἰς τὴν ἀποτομὴν τοῦ Προδρόμου.

Ὠδὴ ε'

Ἐν νυκτί με καθῆκεν ὁ ἐχθρός, Κύ
ζοφερᾶς ἀγνοίας τῶν πταισμάτων
καθορῶν τὴν εἴσοδον·
ἀλλ' αὐτὸς τῷ φωτί σου λαμπρύνα.
τῆς ἡμέρας τὰ ἔργα
τελεῖν με καταξίωσον.

Ὠδὴ ϛ'

Ἐκ τῶν ἐμῶν ἀνομιῶν
ἐξάγαγε τὸ πνεῦμά μου.
ὥσπερ πάλαι τὸν Ἰωνᾶν
τῆς κητώας γαστρὸς ὑπεξήγαγες
ἵνα δοξάζω τὴν σὴν ἀγαθότητα.

Ὠδὴ ζ'

Παῖδες εὐαγεῖς ἐν πυρὶ δροσισθέν
τύραννον ἤσχυναν
Θεὸν ὁμολογοῦντες τὸν ἀναλλοίω
τῶν πατέρων, εὐλογητὸς εἶ ψάλλον
καὶ ὑπερύμνητον τὸ κράτος τῆς βασιλ
[ο

Ὠδὴ η'

Τῷ γλυπτομόρφῳ ξοάνῳ ἀπειπάμε
καὶ ἤχοις ἀσμάτων τὰς φρένας μὴ προ
[έν
Θεῷ λατρεύοντες ἔψαλλον·
τὰ ἔργα εὐλογεῖτε πάντα τὸν Κύριο
καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶν

Ὠδὴ θ'

Ὅσος κόσμος ὁρατὸς καὶ ὅσος ἀόρα
ἡττᾶται πρὸς ἀξίαν σου
ὅτι Θεὸς ὡς μητρὶ ἐποφείλει σοι
σωματωθείς, ἀνύμφευτε,
ἐκ σοῦ ὑπὲρ φύσιν καὶ μεγαλύνει

265

ΣΙΝΑ·Ι·ΤΙΚΗ

Β φ. 226α

Ὠδὴ α'. Ἦχος πλ. β'. Ὁ Εἱρμός.

* Δεῦτε λαοὶ συμφώνως
ἐν τῇ μνήμῃ τῶν ἁγίων
μετὰ τῶν ἀσωμάτων ἄσωμεν
τῷ Κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ γ'

Οὐκ ἔστιν ἅγιος
πλήν σου, Κύριε,
καὶ οὐκ ἔστι δίκαιος
ὡς ὁ Θεὸς ἡμῶν
ὁ στερεώσας, Δέσποτα,
τῷ λόγῳ σου τὰ σύμπαντα.

Ὠδὴ δ'

Τῆς οἰκονομίας σου τὸ μυστήριον

http://www.verypdf.com/
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

Χριστέ, εἰσακήκοα καὶ ἐφοβήθην·
δόξα τῇ δυνάμει σου.

Ὠδὴ ε΄

Ὀρθρίζει τὸ πνεῦμά μου
πρὸς σὲ ὁ Θεὸς
καὶ σὲ δοξάζει, Κύριε.

Ὠδὴ ϛ΄

Ἐκ τοῦ βάθους τῆς καρδίας μου, Κύριε,
βοῶ σοι· ἀνάγαγε
ἐκ φθορᾶς τὴν ζωήν μου.

Ὠδὴ ζ΄

Παραδόξως τῇ φλογὶ δροσιζόμενοι
μελῳδεῖν θεοτερπῶς ἐδιδάσκοντο
ἐν τῇ καμίνῳ οἱ ὅσιοι μάρτυρες
καὶ τῷ σωτῆρι συμφώνως ἀνέμελπον·
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η΄

Πᾶσα κτίσις
δοξολογεῖ τὸν κτίστην
σὲ προσκυνοῦσα
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄

Τὴν Θεοτόκον πάντες
καὶ μητέρα τοῦ φωτὸς
καὶ μετὰ τόκον Παρθένον
ἐν ὕμνοις μεγαλύνομεν.

266

ΒΥΖΑΝΤΙΑΙΑ

Β φ. 226β

Ὠδὴ α΄. Ἦχος πλ. β΄. Ὁ Εἱρμός.

* Ἄπειρον πλῆθος ὑδάτων
πεζοπορῶν Ἰσραὴλ ὁ γεννάδας
τῷ Κυρίῳ ἐμελπεν
ᾠδὴν τὴν ἐπινίκιον.

Ὠδὴ γ΄

Ὁ οὐρανοὺς ὡσεὶ δέρριν τείνας
καὶ γῆν ἑδράσας
στερέωσόν με, Κύριε,
ἵνα χαίρων βοῶ σοι
ᾠδὴν εὐχαριστήριον
ὡς Ἄννα ἡ προφῆτις
οὐκ ἔστιν ἅγιος πλὴν σου
καὶ δίκαιος, ἐλεῆμον.

Ὠδὴ δ΄

Ἀββακοὺμ ὁ θεόπτης
κατανοήσας, φιλάνθρωπε, τὴν ἔλευσίν σου
τρόμῳ καὶ χαρᾷ θεηγορῶν ἀνεβόα·
ἦξει ὁ Θεὸς
ἐπ' ἐσχάτων ἡμερῶν σεσαρκωμένος
καὶ σώσει τοὺς ὑμνοῦντας τῇ ἐπιδημίᾳ
καὶ τῇ συγκαταβάσει αὐτοῦ.

Ὠδὴ ε΄

Ὄρθρον μοι ἀνάτειλον σῶν ἐντολῶν
φώτισόν με δέομαι τὸν ἐν νυκτὶ
ἵνα ὀρθρίζων δοξολογῶ σε
τὸν ἥλιον, Λόγε, τῆς δικαιοσύνης.

Ὠδὴ ϛ΄

Ἀβύσσου κευθμῶνες
καταπέπωκάν με τὸν δείλαιον·
διό με, Λόγε Χριστέ,
καθάπερ τὸν προφήτην
ἀνήγαγες ἐκ κήτους
οὕτως ἀναβήτω ἐκ φθορᾶς
ἡ ζωή μου πρὸς ναὸν τὸν ἁγιόν σου.

Ὠδὴ ζ΄

Αἰνετὸς ὑπάρχεις καὶ δεδοξασμένος
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὠδὴ η΄

Θεὸν πατέρα δημιουργὸν
ὁμοούσιον υἱὸν καὶ θεῖον Πνεῦμα
οἱ εὐσεβεῖς νεανίαι ᾄδειν προτρέπονται·
εὐλογεῖτε τὸν Κύριον τὰ ἔργα
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ΄

Χαῖρος πάναγνε,
τῶν προφητῶν καὶ μαρτύρων τὸ ἐγκαλλώ-
[πισμα·
χαῖρε σεμνὴ, ἡ τῆς Ἐὔας
τὴν ἀρὰν ἐξαρνίσασα·
παῦσον ὀρῶν
σβέσον τὰ φρυάγματα
τῶν ἡμᾶς πολεμούντων
ἵνα σε, Θεοτόκε, μεγαλύνωμεν.

267

ΣΙΝΑΙΤΙΚΗ

Β φ. 227β

Ὠδὴ α΄. Ἦχος πλ. β΄. Ὁ Εἱρμός.

* Ἰσραὴλ πεζεύσας θαλάσσης βυθὸν
παραδόξως, ἀνεβόα εὐσεβῶς
τῷ Κυρίῳ ᾄσωμεν ᾆσμα καινόν.

Ὠδὴ γ΄

Ἐν πίστει με στήριξον, Χριστέ,
τῆς ὁμολογίας σου ὁ Θεός·
σὺ γὰρ στήριγμα καὶ καύχημα
ὑπάρχεις, μόνε σωτήρ.

Ὠδὴ δ΄

Εἰσακήκοα τὴν ἀκοήν σου
καὶ ἐδόξασά σε, φιλάνθρωπε,
τὴν ἀκατάληπτόν σου δύναμιν.

Ὠδὴ ε΄

Ὄρθρον φαεινὸν ἐξανάτειλον ἡμῖν,
Λόγε Θεοῦ ἀγαθέ,
καὶ φώτισον τὰς καρδίας τῶν ὑμνούντων σε
ὅτι ἐκτός σου Θεὸν ἄλλον οἴκ οἴδαμεν.

Ὠδὴ ϛ΄

Ὡς Ἰωνᾶς ἐβόα σοι ἐκ τοῦ κήτους
οὕτω καὶ ἡμεῖς σοι κραυγάζομεν
τῷ σαρκωθέντι ἐκ τῆς Παρθένου
ἵνα λυτρώσῃς ἐκ πλάνης
τοὺς εἰς σὲ καταφεύγοντας.

Ὠδὴ ζ΄

Ὁ Θεὸς τῶν πατέρων ἡμῶν
εὐλογητὸς εἶ εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ η΄

Τὸν ἐν τῇ θείᾳ δυνάμει
καταισθέσαντα τὸ πῦρ
τῆς χαλδαίας καμίνου
καὶ τοὺς παῖδας διασώσαντα
ἱερεῖς ὑμνεῖτε
λαὸς ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ΄

Ὃν οὐχ ὁρᾷ δημιαρχία ἀγγέλων
Θεὸς ἑνοῦται τῇ βροτείᾳ φύσει
καὶ σαρκοῦται ἐκ γυναικὸς δίχα ῥύπου
ἐξ ἀπειράνδρου
διὰ τοῦτο μεγαλύνοντες
τὴν τεκοῦσαν μακαρίζομεν.

268

Ποίημα Θεοδοσίου μοναχοῦ

Β φ. 228α

Ὠδὴ α΄. Ἦχος πλ. β΄. Ὁ Εἱρμός.

* Τὴν ἀβατώδη ἤπειρον
ὡς χέρσον Ἰσραὴλ βαδίζων
θαλασσόμορον δὲ τὸν ὁπλοφόρον Φαραὼ
τύραννον βυθίσας ἀνεβόα·
τῷ Κυρίῳ ἄσωμεν
ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ γ΄

Ὁ ἐν ὑψηλοῖς κατοικῶν Θεὸς
καὶ τὰ ταπεινὰ ἐφορῶν
τὴν ἐκκλησίαν σου στήριξον·
ἐν σοὶ γὰρ καυχωμένη βοᾷ·
ἅγιος οὐκ ἔστι πλὴν σου, Κύριε.

Ὠδὴ δ΄

Τὴν ἔνσαρκον παρουσίαν σου
τὴν δι' ἡμᾶς γενομένην ἐκ Παρθένου,
[Κύριε,
ὁ θεοπέσιος Ἀββακοὺμ
ἐξιστάμενος φόβῳ ἐκραύγαζε·
δόξα τῇ δυνάμει σου, φιλάνθρω
Ὠδὴ ε΄
Ἐκ νυκτὸς ἄδω σοι τὴν ᾠδὴν Ἡσ
ὀρθρίζει τὸ πνεῦμά μου
ἐν τοῖς προστάγμασί σου
εἰρήνην μοι δώρησαι,
μόνε εὔσπλαγχνε σωτήρ,
διότι φῶς τὰ προστάγματά σου
ἐγένοντό μοι, Κύριε.

Ὠδὴ ϛ΄

Ἐκ πελάγους με, σῶτερ,
τῶν ἀνομιῶν μου ἀνάγαγε
ὡς πρὶν τὸν Ἰωνᾶν
ἐκ τοῦ βυθοῦ ἀνήγαγες
ὅπως θύσω σοι ὕμνον
μετὰ φωνῆς αἰνέσεως.

Ὠδὴ ζ΄

Ὑμνορρήτορες παῖδες
ἀγγελικὴν μελῳδίαν
χορευτικῶς ἐν καμίνῳ
Θεῷ τῷ ἐπὶ πάντων
δροσιζόμενοι ἀνέμελπον·
εὐλογητὸς εἶ ὁ τῶν ὅλων δημιουργ
καὶ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὠδὴ η΄

Ὁ τοὺς θεόφρονας παῖδας
ἐν καμίνῳ δροσίσας
καὶ ὑμνῳδίαν ἀγγέλου
αὐτοῖς ὑποδείξας
σὲ εὐλογοῦμεν
ὑμνολογοῦντες εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ΄

Τὶς ἐξειπεῖν ἀνθρώπων
δυνήσεται, πανύμνητε,
τὸ μυστήριον τῆς σῆς κυοφορίας·
πῶς ἐν ἀγκάλαις φέρεις τὸν κτίστην
ὃν οὐ τολμοῦσι βλέπειν ἀγγέλων δυνάμ
διὰ σοῦ, Θεοτόκε, ηὐδόκησε τεχθῆν
ὅθεν σε ὡς μητέρα τοῦ Θεοῦ
ἀπαύστοις ὕμνοις μεγαλύνομεν.

269

Ποίημα Σεργίου Ἁγιοπολίτου

Β φ. 229α

Ὠδὴ α΄. Ἦχος πλ. β΄. Ὁ Εἱρμός.

* Ὁ πάλαι διαβιβάσας Μωυσῆ
ἐν θαλάσσῃ Ἐρυθρᾷ,
Χριστὲ ὁ Θεὸς ἡμῶν,
σὺν τῷ πιστῷ σου λαῷ
ᾠδὴν ἐπινίκιον

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

σοὶ βοῶντες εἴπωμεν·
ὡς θαυμαστὰ τὰ ἔργα σου !
ὅτι τοὺς ὑπεναντίους
ἐκάλυψε θάλασσα.

Ὠδὴ γ'

Ὁ στερεώσας τοὺς οὐρανοὺς ἐν συνέσει
καὶ τὴν γῆν ἑδράσας ἐπὶ ὑδάτων πολλῶν
στερέωσον ἡμῶν τὰς καρδίας εἰς τὸν φό-
[βον σου.

Ὠδὴ δ'

Τί ἐξέστης Ἀββακούμ ;
τί θεωρῶν πεφόβησαι ;
θαῦμα γὰρ παράδοξον
ταῖς ἀκοαῖς μου ἐμφυτευθὲν
σύντρομος γενόμενος
ἐξίσταμαι καὶ λέγω·
δόξα τῇ ἐνανθρωπήσει σου
καὶ τῇ ἀφάτῳ εὐσπλαγχνίᾳ σου.

Ὠδὴ ε'

Ἡ νύξ με τὸν δείλαιον περιέχει
τῶν ἡδονῶν ἡ ἀπόλαυσις,
Κύριε ὁ Θεός μου,
τῷ φωτὶ τῶν ἐντολῶν σου
καθοδήγησον καὶ σῶσόν με.

Ὠδὴ ϛ'

Ἐκ νεότητός μου ἐγὼ ἀσώτως ἐβίωσα
τὴν ψυχὴν μολύνας
σὺν τῷ σώματι, Κύριε,
ἀλλὰ χρηστότητος τῆς σῆς μεμνημένος
οὐκ ἀπελπίζω τὴν σωτηρίαν·
διὸ βοῶ σοι, Κύριε, σῶσόν με.

Ὠδὴ ζ'

Εὐλογητὸς εἶ, Κύριε
ὁ Θεὸς τῶν πατέρων ἡμῶν
καὶ δεδοξασμένος εἰς τοὺς αἰῶνας.

Ὠδὴ η'

Μυστήριον ξένον
ἦν κατιδεῖν ἐν Βαβυλῶνι·
μέγα θαῦμα !
φλὸξ ἠδεῖτο τοὺς δικαίους
καὶ ὁ θυμῷ θωρακισθεὶς κατεφλέγετο
διελύετο δὲ πῦρ
καὶ συνέσφιγγε τὰ σώματα
κάμινος ἐμαραίνετο
παίδων τῶν ὁσίων ἀνακραζόντων·
εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Σὲ μακαρίζομεν
ὡς θρόνον χερουβικόν,
Θεοτόκε Μαρία παναγία θεόνυμφε,
ὅτι ἐν σοὶ ἐπανεπαύσατο
ὁ ἐκ σοῦ σαρκωθεὶς ἀπεριγράπτως Θεός·
διὸ ἐποίησέ σοι μεγαλεῖα ὁ δυνατὸς
καὶ ἡμεῖς ἀκαταπαύστως μεγαλύνομεν.

270

ΣΙΝΑ·Ι·ΤΙΚΗ

Β φ. 230α

Ὠδὴ α'. Ἦχος πλ. β'. Ὁ Εἱρμός.

* Κυρίῳ τῷ Θεῷ ἡμῶν
ᾠδὴν ἐπινίκιον
ἄδοντες βοήσωμεν
ὅτι δεδόξασται.

Ὠδὴ γ'

Στερέωσόν με, Χριστέ,
ἐπὶ τὴν ἄσειστον πέτραν τῶν ἐντολῶν σου
καὶ συνέτισόν με εἰς τὸ ὑμνεῖν σου,
οἰκτίρμον, τὴν ἀγαθότητα.

Ὠδὴ δ'

Εἰσακήκοα, Κύριε,
τὴν ἀκοὴν τῆς σῆς οἰκονομίας
καὶ φοβηθεὶς ἐδόξασα
τὴν ἀκατάληπτόν σου δύναμιν.

Ὠδὴ ε'

Ἐκ νυκτὸς ὀρθρίζω
καὶ δοξάζω σε, φωτοδότα Κύριε,
τὴν σὴν εἰρήνην δὸς ἡμῖν.

Ὠδὴ ϛ'

Ἐβόησα ἐν θλίψει
πρὸς τὸν οἰκτίρμονα
καὶ φιλάνθρωπον Θεὸν
καὶ ἐπήκουσέ μου
καὶ ἐκ φθορᾶς τὴν ζωήν μου ἀνήγαγεν.

Ὠδὴ ζ'

Εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ ἐκ φλογὸς καιομένης
ἀβλαβεῖς διασώσας
τοὺς ὁσίους σου παῖδας
καὶ ὑπερύμνητος ὑπάρχεις εἰς τοὺς αἰ-
[ῶνας.

Ὠδὴ η'

Τὸν ἐν καμίνῳ ὀφθέντα
τοῖς περὶ τὸν Ἀζαρίαν
καὶ τὴν φλόγα εἰς δρόσον
μεταποιήσαντα Κύριον
ὑμνεῖτε καὶ ὑπερυψοῦτε
ὡς Θεὸν καὶ λυτρωτὴν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον
τὸν ποιήσαντα μεγάλα θαυμάσια.

271

ΣΙΝΑ·Ι·ΤΙΚΗ

Β φ. 230β

Ὠδὴ α'. Ἦχος πλ. β'. Ὁ Εἱρμός.

* Ἄσωμεν ἆσμα καινὸν
τῷ βασιλεῖ τῶν αἰώνων Χριστῷ τῷ Θεῷ·
ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ γ'

Στερέωμά μου γενοῦ
καὶ καταφυγή μου
ὁ στερεώσας οὐρανούς,
Χριστὲ ὁ Θεὸς ἡμῶν.

Ὠδὴ δ'

Τῆς οἰκονομίας σου τὴν ἀκοὴν
εἰσακήκοα, Χριστέ,
καὶ ἐξιστάμενος τρόμῳ βοῶ σοι·
δόξα τῇ ἀνεικάστῳ
καὶ θείᾳ ἐξουσίᾳ σου.

Ὠδὴ ε'

Ἐκ νυκτὸς ὀρθρίζοντες
ἀνυμνοῦμέν σε, Χριστὲ ὁ Θεός,
τὴν σὴν εἰρήνην δὸς ἡμῖν
διὰ τῆς Θεοτόκου
διότι φῶς, Κύριε, τὰ προστάγματά σου
ἐπὶ τῆς γῆς ἐποίησας.

Ὠδὴ ϛ'

Ὡς ὁ προφήτης βοῶ
κἀγώ σοι, δέσποτα Κύριε,
ἐκ φθορᾶς τὴν ζωήν μου ἀνάγαγε.

Ὠδὴ ζ'

Ὁ τοὺς παῖδας διασώσας
ἐν Βαβυλῶνι, Χριστέ,
καὶ ἡμᾶς διάσωσον
τὴν ᾠδήν σοι ψάλλοντας·
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Ὁ τοὺς θεόφρονας παῖδας
ἐν καμίνῳ δροσίσας
καὶ ὑμνῳδίαν ἀγγέλου
αὐτοῖς ὑποδείξας
σὲ εὐλογοῦμεν
ὑμνολογοῦντες εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Λέξεσι προφητικαῖς
τὴν πανσθενουργόφωτον
τοῦ Λόγου λοχεύτριαν
λαὸς ὁ χριστόκλητος
τιμῶντες ὕμνοις μεγαλύνομεν.

272

ΣΙΝΑ·Ι·ΤΙΚΗ

Β φ. 231α

Ὠδὴ α'. Ἦχος πλ. β'. Ὁ Εἱρμός.

* Ἄπλετον διενίσσετο ἐν συσσεισμ
σκηπτοῦχος Αἰγυπτίων
φλογμοθυμούμενος τῷ ἐκλεκτῷ Ἰσρα
ἀποπειρᾷ διαδραμεῖν
τῷ τῆς ἀνεικάστου φύσεως Θεοῦ
ποντωθεὶς ἐν Ἐρυθρᾷ κραταιῷ.

Ὠδὴ γ'

Ἐστερεώθη ἡ καρδία μου πρὸς σὲ ὁ Θ
ὑψώθη κέρας μου ἐπ' ἐχθρούς μου
διὰ σταυροῦ σου, παγκραταιότατε,
διὰ τοῦτο ἄδω σοι·
οὐκ ἔστιν ἅγιος πλήν σου, Κύριε.

Ὠδὴ δ'

Σωτηρίας ἐναργοῦς ἡμῖν εἰκόνα
ὁ προφήτης προτιθεὶς ἐβόα τρανῶς
ὅτι Θεὸς ἀπὸ Θαιμὰν
σαρκοφόρος ἐπελεύσεται
τὴν τοῦ Ἀδὰμ οὐσίαν
πρὸς ζωὴν ἀνακαλέσασθαι.

Ὠδὴ ε'

Ἐκ ῥαθυμίας τῶν παθῶν
ἀνάστησόν με, Χριστὲ ὁ Θεὸς
καὶ τῷ ἀΰλῳ φωτί σου
τὴν ψυχήν μου λάμπρυνον
καὶ ἀξίωσόν με ὀρθρίζειν ἐπὶ τὸν νόμον σ
τοῦ ποιεῖν ἀεὶ τὰ σὰ θελήματα.

Ὠδὴ ϛ'

Λόγοις λυσσῶν σου
τὴν ὑπεράρχιον θεότητα
ὁ πρὸς ἄβυσσον κατακριθεὶς προφήτη
ἀπολλὺς ἐν τῷ κήτει, μακρόθυμε,
ἀνεβόα φλοιδούμενος
τὴν ζωήν μου, Κύριε,
ἐκ φθορᾶς ταχὺ ἀνάγαγε.

Ὠδὴ ζ'

Εὐλογητὸς εἶ, Κύριε,
ὁ ἐν καμίνῳ τοὺς παῖδας
διαφυλάξας ἀβλαβεῖς
καὶ αἰνετὸς ὑπάρχεις
εἰς πάντας τοὺς αἰῶνας.

---

(1) Ἐν τῷ Κώδ. φέρεται παρεφθαρμένος καὶ ἀκατανόητος ὁ Εἱρμὸς οὗτος ἔχων οὕτω : « Ἄπλετον διαίνυκτον ... ἀπόπειρα διέδρα τῷ τῆς ἀνεικάστου ... » ἀποκατέστησα τοῦτον ὡς ἀνωτέρω κατ' ἐμὴν κρίσιν μὴ συναντήσας εἰς ἄλλους Κώδικας τὸν Εἱρμὸν πρὸς παραβολὴν καὶ διόρθωσιν.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

Ὠδὴ η΄

Ὑμνοῦσί σε, Κύριε, οἱ οὐρανοὶ τῶν οὐρανῶν
καὶ ὁ χορὸς τῶν ἁγίων ἀγγέλων
προσκυνοῦσί σε τῶν ἀνθρώπων τὰ γένη
ψάλλοντες· σῶσον ἡμᾶς, Κύριε.

Ὠδὴ θ΄

Σὺ τῆς ἀρχαίας κατάρας
ἐχρημάτισας ἀναιρέτις,
Παρθένε ἁγνή,
τεκοῦσα Θεὸν προαιώνιον
ὃν ὑμνοῦσιν οἱ ἄνω θρόνοι
καὶ γεραίρουσι γενεαὶ πάσης τῆς γῆς·
διὰ τοῦτό σε ἐπαξίως,
Θεοτόκε, μεγαλύνομεν.

273

ΣΙΝΑΪΤΙΚΗ

Β φ. 232α

Ὠδὴ α΄. Ἦχος πλ. β΄. Ὁ Εἰρμός.

* Τὴν Ἐρυθρὰν θάλασσαν
τῷ διιστείλαντι τῷ Ἰσραὴλ
ὠδὴν ἐπινίκιον Θεῷ
ἀναμέλψωμεν λαοί
ὅτι δεδόξασται.

Ὠδὴ γ΄

Στερέωσον, Χριστέ, τὴν καρδίαν μου
ὅτι ἐπλατύνθη ἐπ' ἐχθρούς μου τὸ στόμα μου·
οὐ γὰρ ἔστιν ἅγιος πλὴν σοῦ, Κύριε.

Ὠδὴ δ΄

Τῆς οἰκονομίας σου τὸ μυστήριον
εἰσακήκοα, Κύριε, καὶ ἐφοβήθην·
δόξα τῇ δυνάμει σου.

Ὠδὴ ε΄

Φώτισόν με, Χριστέ,
ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σου
καὶ τὸ σκότος ἐκδίωξον
ἐκ τῆς ἐμῆς δυσσώδους ψυχῆς
ἐκ νυκτὸς πρὸς τὸ φῶς σου
καθοδήγησόν με ὡς φιλάνθρωπος.

Ὠδὴ ς΄

Ὡς τὸν προφήτην ἐκ τοῦ κήτους
διέσωσας, Κύριε,
κἀμὲ τοῦ βυθοῦ τῶν πταισμάτων
ἀνάγαγε δέομαι.

Ὠδὴ ζ΄

Τὸ τρισάριθμον τῶν παίδων ἐν καμίνῳ
πῶς οὐχ ἥψατο τὸ πῦρ ἀλλ' ἐσεβάσθη·
ὡς ἐκ στόματος ἑνὸς ἔμελπον ὕμνον
ὁ ἐν θρόνῳ δόξης Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄

Ὃν εὐλογοῦσι στρατιαὶ οὐρανῶν
καὶ δοξάζουσι φυλαὶ γηγενῶν
ὑμνεῖτε καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ΄

Φῶς ἐκ φωτὸς
Θεὸς ἐκ Θεοῦ περιχωρεῖς
τὴν ἡμετέραν οὐσίαν ἐκαινοποίησας
ἐκ Παρθένου ἀπόρως
σαρκωθεὶς ὡς ἠθέλησας·
ὅθεν σε μεγαλύνομεν.

274

ΕΙΣ ΤΟΝ ΑΡΙΟΝ ΝΙΚΟΛΑΟΝ

Ποίημα [Γεωργίου] Σικε[λι]ώτου

Β φ. 233β

Ὠδὴ α΄. Ἦχος πλ. β΄. Ὁ Εἰρμός.

* Ἵππον πάλαι
λαὸς Ἰσραηλίτης
ὑγρὰν πεζεύσας
ἀβρόχως θαλαττίαν
Μωσέως ῥάβδῳ
διελὼν θάλασσαν
Φαραωνίτας ἅρδην συνεκάλυψε
τῷ Θεῷ ἡμῶν ᾠδὴν
ἐπινίκιον ἄσωμεν.

Ὠδὴ γ΄

Ὁ γῆν κρεμάσας ἀσχέτως
καὶ οὐρανοὺς στερεώσας,
Λόγε Θεοῦ καὶ δύναμις,
στερέωσόν μου ἐν τῇ σῇ ἐκκλησίᾳ
ἵνα κἀγώ σοι τὴν ᾠδὴν ἀναμέλπω
ὡς Ἄννα ἡ προφῆτις·
ἡ στεῖρα ἔτεκε
καὶ ἡ πολλὴ ἐν τέκνοις ἠσθένησε·
διό σοι ᾁδομεν·
ἅγιος εἶ, Κύριε.

Ὠδὴ δ΄

Ἀββακοὺμ ὁ θεόπτης [1]
κατανοήσας, φιλάνθρωπε, τὴν ἔλευσίν σου
τρόμῳ καὶ χαρᾷ θεηγορῶν ἀνεβόα·
ἥξει ὁ Θεὸς
ἐπ' ἐσχάτων ἡμερῶν σεσαρκωμένος
καὶ σώσει τοὺς ὑμνοῦντας τῇ ἐπιδημίᾳ
καὶ τῇ συγκαταβάσει αὐτοῦ.

Ὠδὴ ε΄ [2]

Πεφυτευμένοι ἐγενήθημεν
ἐν τῷ οἴκῳ Κυρίου·

(1) Ἡ ὠδὴ αὕτη προεγράφη ἐν τοῖς ἔμπροσθεν ἐν τῇ Ἀκολουθίᾳ τῇ καλουμένῃ « Βυζαντεία » ἀγνώστου πεντοῦ.

(2) Ἡ δὲ ὠδὴ αὕτη ὡς καὶ ἡ ς΄ εἶσιν ὅμοιαι πρὸς τὰς ἐν τῇ Ἀκολουθίᾳ τοῦ Ἀνδρέου Κρήτης τὰς προγραφείσας ἐν τοῖς ἔμπροσθεν.

φώτισον ἡμᾶς
ὡς ὑπερασπιστὴς ἡμῶν
σὺ εἶ ὁ Θεὸς
τοὺς ἐκ νυκτὸς ἀνυμνοῦντας
τὰ σὰ θαυμάσια.

Ὠδὴ ς΄

Ἄβυσσος φθαρτικῆς ἁμαρτίας
ἐκύκλωσέ με ἐσχάτη
καὶ κλύδωνι βιωτικῷ
περιέχομαι, σωτήρ,
αὐτός με ἀνάγαγε
ὡς πρὶν τὸν Ἰωνᾶν
ἐκ κόλπων τοῦ θηρὸς
ὅπως θύσω σοι μετὰ φωνῆς αἰνέσεως.

Ὠδὴ ζ΄

Κάμινος χαλδαϊκὴ πυρὶ φλεγομένη
παῖδας Ἑβραίων οὐκ ἐφλόγισεν·
ἀπειλῇ γὰρ τυράννου
καὶ δυσσεβεῖ προστάγματι
εἰκόνι προσκυνῆσαι βεβορβορωμένῃ
οἱ θεόφρονες παῖδες
μὴ πεισθέντες ἀνέμελπον·
τῶν πατέρων ὁ Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄

Δόγματι τυράννου ἀντέστησαν
παῖδες θεοφόροι καὶ ὑμνήτορες·
ὁ γὰρ ἄγγελος αὐτοῖς συγκαταβὰς
λύει τὰ δεσμὰ
καὶ εἰς δρόσον μεταποιεῖ τὴν κάμινον
ὥστε τοὺς κύκλῳ ἡ φλὸξ κατέκαυσε
καὶ τούτους ἀβλαβεῖς διεφύλαξεν·
ὅθεν καὶ μελῳδοῦντες ἔψαλλον·
εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ΄

Ξένον ἄκουσμα
φρικτὸν διήγημα
τὸ τῆς σῆς, Θεοτόκε, κυοφορίας·
σὺ γὰρ ἀγκάλαις ἐβάστασας τὸν κτίστην
ὡς ἐπὶ θρόνου καθήμενον
καὶ ὑπὸ ἀγγέλων δορυφορούμενον·
χαῖρε ἡ πύλη τοῦ βασιλέως Χριστοῦ
δι' ἧς τυχόντες ἐν σοὶ τὴν σωτηρίαν
σὲ γὰρ ἔχομεν ἐλπίδα οἱ πιστοὶ
ὃν μεγαλύνομεν.

275

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα [Γεωργίου] Σικελιώτου

Γφ. 234β

Ὠδὴ α΄. Ἦχος πλ. β΄. Ὁ Εἰρμός.

* Τεμνομένην θάλασσαν
λαῷ ἀπείρῳ ποτὲ
διῆλθεν ὡς ἤπειρον
ἰχνοβατῶν ὁ Ἰσραήλ·
ἡ γὰρ χείρ μου συναντιλήψεται
καὶ ὁ βραχίων μου κατισχύσει
καὶ φανεῖ τὸ ἔργον μου
Μωσῆ, Θεός φησιν·
τῷ Κυρίῳ ἄσωμεν
ὅτι δεδόξασται.

Ὠδὴ γ΄

Στερέωσόν με ἐν τῇ ὀρθοδόξῳ σου πί
Χριστὲ ὁ Θεός,
στήριγμα καὶ καύχημα
τῶν πιστῶν ὑπάρχεις
ὁ στερεώσας ἐν τῇ σῇ πέτρᾳ τοὺς [στούς
ὅτι οὐκ ἔστιν ἅγιος
οὐκ ἔστι δίκαιος
ὅτι σὺ ὁ λυτρωτὴς ἡμῶν.

Ὠδὴ δ΄

Τὴν σήν, Χριστέ, ἀκήκοα συγκατάβ
καὶ τὴν πρός με σάρκωσιν
ὅτι ἐνηθρώπησας
ἐμὴν μορφὴν ἀναλαβὼν
ὁ μεταμορφούμενος
καὶ ἐδόξασα, Λόγε, τὴν εὐσπλαγχνίαν

Ὠδὴ ε΄

Τὸ θεῖον φέγγος ἐν Παρθένῳ οἰκῆ
διὰ σαρκὸς ἰδὼν Ἡσαΐας
ἐκ νυκτὸς τὴν ᾠδὴν ἀνέμελπε
φρέρων τὴν ἐπὶ γῆς σου, Χριστέ, συγκ
[6
ὅτι ἐκ Παρθένου δι' ἡμᾶς
σωματωθεὶς ἀνέτειλας, Κύριε.

Ὠδὴ ς΄

Ἐκ πελάγους με, σῶτερ,
τῶν ἀνομιῶν μου ἀνάγαγε
ὡς πρὶν τὸν Ἰωνᾶν
ἐκ τοῦ βυθοῦ ἀνήγαγες
ὅπως θύσω σοι ὕμνον
μετὰ φωνῆς αἰνέσεως.

Ὠδὴ ζ΄

Ἐξεραύλισαν δόγμα παράνομον
δαυιτικοὶ παῖδες οἱ θεόφρονες
μὴ πεισθέντες λατρεῦσαι τῇ εἰκόνι τῇ χρ
ἀλλ' ἐν καμίνῳ βληθέντες δροσιζόμ
ὑπ' ἀγγέλου ὁμοφρόνως ἔψαλλον
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η΄

Τοῖς περὶ Ἀζαρίαν
ὁ ἐπιστὰς ἐξ ὕψους ἄγγελος
τὴν φλογοφόρον κάμινον

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

εἰς δροσοβόλον μετεσκεύασε νεφέλην
καὶ τοὺς νέους διήγειρε
πρὸς ὕμνον τοῦ κραυγάζειν·
πάντα τὰ ἔργα Κυρίου
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ΄

Ἐκπλήττονται οὐρανῶν αἱ δυνάμεις
τῷ τόκῳ σου, Παρθένε ἄχραντε,
ὅτι παρθένος ἔτεκες
ὢν οὐ χωρεῖ ἡ φύσις
καὶ μετὰ τόκον παρθένος ἔμεινας·
ἀποροῦμεν γιγενεῖς
φράσαι σοι τοῦ τόκου
τὰ κατ' ἀξίαν τρανῶς·
χαῖρέ σοι κράζομεν
ὃ εὐπορούμεν οἱ πιστοί·
καὶ τὸν ἐκ σοῦ τεχθέντα Θεὸν
ἐν ὕμνοις μεγαλύνομεν.

276

Ποίημα Θεοφάνους Πρωτοθρόνου

Β φ. 235β

Ὠδὴ α΄. Ἦχος πλ. β΄. Ὁ Εἱρμός.

Μωσαϊκῶς ἄσωμεν πάντες Χριστῷ τῷ Θεῷ
τῷ κραταιᾷ παλάμῃ
τὸν ὑπερήφανον ἐχθρὸν
βυθῷ συγκαλύψαντι
τὸν λαὸν δὲ Ἰσραὴλ
ἐν ἀβύσσῳ ἴχνεσιν
ἀνίκμοις διαπεράσαντι
ἐπινίκιον ᾠδὴν
ὅτι μόνος ἐν θεοῖς
ἐνδόξως δεδόξασται.

Ὠδὴ β΄

Ἴδετε ἴδετε
ὁ οὐρανὸς καὶ ἡ γῆ
τοῦ ἠγαπημένου ἀμπελῶνός μου
Ἰσραὴλ τὸ γεώργιον·
ἔμεινα γὰρ τοῦ ποιῆσαί μοι σταφυλὴν
ἀλλ' ἀκάνθας ἐβλάστησεν·
τί οὖν ποιήσω τῷ ἀμπελῶνι τούτῳ ;
ἐπιστραφήσομαι λοιπὸν οἰκέτι πρὸς αὐτὸν
ἐπὶ δὲ πάντα τὰ ἔθνη
ἐν οἷς τὸ ὄνομά μου
μεγαλυνθήσεται λέγει Κύριος.

Ὠδὴ γ΄

Ὁ στερεώσας οὐρανοὺς
τὰς ψυχὰς ἡμῶν στήριξον
δοξάζειν σου τὸ ὄνομα
σὺν πατρὶ καὶ Πνεύματι
Τριάδα ὁμοούσιον
εἰς αἰῶνας βασιλεύουσαν.

Ὠδὴ δ΄

Εἰς φρέγγος ἀστραπῆς σου
τὸ σωτήριον ὅπλον, Χριστέ, διαπορεύεται
ἐν ᾧ ἡμῖν ἐσημειώθη οἰκονομικῶς
τὸ φῶς τοῦ προσώπου σου·
διὸ ἐν θεολήπτῳ ἐκστάσει
προφητικῶς μελῳδοῦμέν σοι κραυγάζοντες·
εὐεργέτα Κύριε,
δόξα τῇ δυνάμει σου.

Ὠδὴ ε΄

Ὁ τῆς εἰρήνης ἔξαρχος
καὶ τῶν ἁπάντων αἴτιος,
Χριστὲ ὁ Θεός,
λάμψον ἐφ' ἡμᾶς τὸ φῶς τῶν ἐντολῶν σου
τοὺς ἐκ νυκτὸς ἁμαρτίας
πρὸς σὲ ὀρθρίζοντας
ὅτι ἐκτός σοῦ ἄλλον
ἀληθινὸν Θεὸν οὐ γινώσκομεν.

Ὠδὴ ς΄

Ὁ ἐν τῷ κήτει τρισημερεύσας
προφήτης σοῦ πρωτότυπον
Ἰωνᾶς τὴν ταφὴν καὶ τὴν ἀνάστασιν
δι' ἧς ἡμᾶς, Κύριε,
τῆς ἁμαρτίας ἀνείλκυσας
ἐν ἐπιγνώσει ὑμνοῦντας
μετὰ φωνῆς αἰνέσεως
τὸ κράτος τῆς ἐξουσίας σου.

Ὠδὴ ζ΄

Δεῦτε καὶ ἡμεῖς
τοῖς περὶ Ἀζαρίαν χοροστατήσωμεν
ὡς ἀντίθεον εἰκόνα
τὰς πυριπλέκτους ἡδονὰς
τῶν παθῶν ἐξουδενήσαντες
καὶ τὸ πῦρ τῆς πορώσεως
τῇ δρόσῳ τῆς σκιᾶς κατεπατοῦντες
συμφώνως εἴπωμεν·
εὐλογημένος εἶ ὁ ἀκοίμητος
ὀφθαλμὸς ἐν τῷ ναῷ,
Κύριε, τῆς ᾠδῆς δόξης σου.

Ὠδὴ η΄

Τῷ μόνῳ ζῶντι Θεῷ
τὰς ἑαυτῶν ψυχὰς παραθέμενοι
οἱ εὐγενέστατοι αἰχμάλωτοι
ὡραίοις ποσὶ τὴν φλόγα τῆς καμίνου
κατεπάτουν κραυγάζοντες·
τὸν ὑπερύμνητον ἡ κτίσις εὐλογεῖτε
τὸν ὑπερένδοξον ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄

Ἐμεγάλυνέ σε γλῶσσα ἅπασα
ἀσματολογοῦσα,
Παρθένε, τὰ μεγαλεῖά σου
καὶ νοῦς ἡττᾶται τοῦ κατὰ σὲ
μυστηρίου τῷ φωτὶ ἐλλαμπόμενος·
διὸ καὶ ἡμεῖς ὡς ἐν ὄρει ἑστῶτες
ἁγίῳ τόπῳ ἐνδόξῳ ναῷ σου
τὸ τῶν χαρίτων πυκασμῷ καταλαμπρυνθέντες
ἵνα πίστει καὶ πόθῳ,
Θεοτόκε, σὲ μεγαλύνωμεν.

277

Ποίημα Ἀγαλλιανοῦ μοναχοῦ

Β φ. 237α

Ὠδὴ α΄. Ἦχος πλ. β΄. Ὁ Εἱρμός.

Τερατουργῶν πάλαι ὁ Θεὸς
ἀβύσσῳ βρύχιος μὲν
τοῦ Φαραὼ γέγονε
στρατοπεδαρχῶν ἡ πληθύς·
ἀνίκμως δὲ διαπεράσας
σώζεται Ἰσραὴλ
τὴν Ἐρυθρὰν εὐχαρίστως μέλπων·
ἄσωμεν ἆσμα καινὸν
τῷ ρυσαμένῳ ἡμᾶς
ὅτι δεδόξασται.

Ὠδὴ γ΄

Ὁ τὴν κτίσιν ἑδράσας τῷ νεύματι
εἰς ἀκίνητον στάσιν
τὴν ἐκκλησίαν, Χριστέ, τῶν φοβουμένων
τὸ ὄνομά σου στερέωσον
ἵνα ἀκλόνητοι ὄντες κραυγάζωμεν·
σὺ εἶ Θεὸς γνώσεων Κύριος
καὶ Θεὸς ἑτοιμάζων ἐπιτηδεύματα αὐτῷ.

Ὠδὴ δ΄

Τὴν ἔλευσίν σου, Κύριε,
ὁ προφήτης Ἀββακοὺμ ἐξιστάμενος
μεγαλοφώνως ἐβόα·
ἐκ Παρθένου Θεὸς
ἐπελεύσεται σαρκούμενος
εἰς τὸ σῶσαι τὸ γένος
τῶν βροτῶν ὡς εὔσπλαγχνος.

Ὠδὴ ε΄

Νὺξ παθῶν με συνέχει, νοητὲ ἥλιε,
καὶ σκοτίζει τὰς πεπωρωμένας
κόρας μου τῆς ψυχῆς·
ἀλλὰ σὺ φῶς νοερὸν
διανάστησόν με τοῦ γνόφου
τὸν πρὶν πεσόντα φθορᾷ
ὡς μόνος φωτοδότης τῶν ἁπάντων Θεός.

Ὠδὴ ς΄

Ζάλη παθῶν με συνέχει
καὶ βυθίζειν πειρᾶται, ἀγαθέ,
ἀλλὰ τῇ σῇ εὐσπλάγχνῳ φιλανθρωπίᾳ
ἔκτεινας χεῖρα δός μοι βοηθείας
καὶ πρὸς εὔδιον λιμένα
ἐγκαθορμίσας σῶσόν με.

Ὠδὴ ζ΄

Τρισόλβιοι νεανίαι
καμίνου μέσον ἑστῶτες
τῇ πίστει τῆς Τριάδος
[τε]τειχισμένοι τύραννον ἴσχυναν
καὶ τὴν φλόγα συμφώνως
καταπατοῦντες ἔψαλλον·
εὐλογητὸς εἶ, Κύριε,
καὶ αἰνετὸς ὑπάρχεις εἰς τοὺς αἰῶνας.

Ὠδὴ η΄

Οἱ πάντων πρόκριτοι τῶν ἐθνῶν
ἐν Βαβυλῶνι προέστησαν
Ἰσραὴλ οἱ ἐν φλογὶ νεανίαι
ὕμνουν κραυγάζοντες·
εὐλογεῖτε τὸν Κύριον τὰ ἔργα
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ΄

Ἄκουσον, θύγατερ, καὶ ἴδε
καὶ κλῖνον τὸ οὖς σου
καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλ-
[λους σου·
καὶ γὰρ πᾶσα ἡ δόξα σου,
Παρθένε, ἔσωθεν
ὡς συλλαβοῦσα τὸν κτίστην σου·
διὸ οἱ πλούσιοι τοῦ λαοῦ
τὸ πρόσωπόν σου λιτανεύοντες
σὲ μεγαλύνομεν.

278

Ποίημα Ἐλισσαὶ μοναχοῦ

Β φ. 238α

Ὠδὴ α΄. Ἦχος πλ. β΄. Ὁ Εἱρμός.

Τοῦ νοητοῦ τῆς ψυχῆς μου
καὶ ὀλεθρίου ἐχθροῦ
ῥῦσαι Φαραὼ
τῶν κυμάτων τοῦ βίου
τῆς ζάλης, σῶτερ, περαιώσας με
ἄδοντα ᾠδὴν τὴν ἐπινίκιον.

Ὠδὴ γ΄

Ἰσχὺν κατ' ἐχθρῶν ἀοράτων
ταῖς φρεσὶ τὸν ἐνδύσιον ὄντα με
περίζωσον τοῦ βαΐν σοι·
ἅγιος οὐκ ἔστι πλὴν σου, φιλάνθρωπε.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

'Ωδὴ δ'

'Επήρθη ὁ ἥλιος
τῆς δικαιοσύνης Χριστὸς ἐπὶ σταυροῦ
ἡ δὲ σεπτὴ ἐκκλησία
ἀκράδαντος ἔστη
ἐν τῇ τάξει τῆς πίστεως
ἀσιγήτως βοῶσα
δόξα τῇ δυνάμει σου.

'Ωδὴ ε'

Πρὸς σὲ ὀρθρίζω
τὸν ἀναβαλλόμενον τὸ φῶς ὥσπερ ἱμάτιον
διότι φῶς τὰ προστάγματά σου
καὶ ἀλήθεια ἐν οἷς με καθοδήγησον.

'Ωδὴ ς'

Πρὸς σέ, Χριστέ, βοῶμεν
ὡς ὁ προφήτης 'Ιωνᾶς
δεόμενοι ῥύσασθαι
τοῦ πανώλους ἡμᾶς ἐχθροῦ
καὶ ἐκ φθορᾶς ἀναγαγεῖν τὴν ζωὴν ἡμῶν.

'Ωδὴ ζ'

Τὸ τῆς θεογνωσίας πῦρ
ὑπὲρ τὴν καμινιαίαν φλόγα ἐκκαύσαντες
τῆς Σιὼν μελῳδικοὶ παῖδες ἔλεγον·
τῶν πατέρων εἰς αἰῶνας
ὁ Θεὸς ἡμῶν εὐλογητὸς εἶ.

'Ωδὴ η'

'Εν πολλῇ εὐσπλαγχνίᾳ
κατέβης, ἐλεῆμον,
καὶ ἐῤῥύσω τοὺς παῖδας
δροσίσας ἐν καμίνῳ λέγοντας·
εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

'Ωδὴ θ'

Τὴν τῷ Μωσῇ ὀρθεῖσαν
ἐν τύπῳ βάτου
τὴν ἀληθῆ σωτηρίαν τῶν πιστῶν
τὴν ἐν γαστρὶ χωρήσασαν
τὸ τῆς θεότητος πῦρ
οἱ πιστοὶ ὁμοφρόνως μεγαλύνομεν.

279

ΑΝΑΤΟΛΙΚΗ

[Ποίημα Γεωργίου 'Ανατολικοῦ]

Β φ. 238β

'Ωδὴ α'. 'Ηχος πλ. β'. 'Ο Εἱρμός.

* "Αβατον ὁδὸν
πεζοπορῶν 'Ισραὴλ
τῷ θαυμαστῷ Θεῷ ἡμῶν [ἔμελπε]·
τὸν Φαραὼ γὰρ πόντῳ ἐκάλυψας
τῇ πανσθενεῖ τροπαιούχῳ
δεξιᾷ σου, ὕψιστε.

'Ωδὴ γ'

Δοτὸν ἡ ἄπαις "Αννα
τὸν Σαμουὴλ ὄρει κάθυπέσχετο, Κύριε,
γονίμους γὰρ ἐξ ἀκαρπίας
τὰς ἄπαιδας ἔδειξας·
διὰ τοῦτο κράζω σοι·
ἐστερεώθη ἡ καρδία μου
ἐν σοὶ τῷ σωτῆρί μου.

'Ωδὴ δ'.

"Ηχους ἐλεύσεως. Κύριε,
ἀκηκοὼς τῆς ἡμῶν μερίτου οἰκονομίας
ὁ προφήτης "Αββακούμ
ἐξεστηκὼς ἐκραύγαζεν·
ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ
ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ
ἐκ Παρθένου μίγιας
δόξα τῇ δυνάμει σου.

'Ωδὴ ε'

Φωτός με πλῆσον, οἰκτίρμον,
ὁ φῶς ἱμάτιον ἔχων·
ἐσκοτισμένη γὰρ πέλει
ζοφερᾶς ἐξ ἀγνοίας
καὶ χαλεπῶν ἐγκλημάτων
ἡ ταπεινὴ ψυχή μου·
ἀλλ' ὡς φωτὸς ὑπάρχων
δημιουργὸς καὶ δεσπότης
ἀπέλασόν μου τὸν ζόφον
ἵνα ὀρθρίζων ὑμνῶ σε
τὸ φῶς τὸ ἀνέσπερον.

'Ωδὴ ς'

Νεύματί σου εὐσπλάγχνῳ
Χριστὲ βασιλεῦ, ἀνάγαγέ με
ἐκ βυθοῦ τῶν κακῶν μου
ὅπως θύσω σοι ὠδὴν
ὡς ὁ προφήτης 'Ιωνᾶς
μετὰ φωνῆς αἰνέσεως καὶ ἐξομολογήσεως.

'Ωδὴ ζ'

Τοῦ τυραννοῦντος ἐχθροῦ
καὶ ἀπειλοῦντος ἐλευθέρωσον, Χριστέ,
τὴν ψυχήν μου δέομαι
ὁ τοὺς ὁσίους παῖδας
ἐκ πυρὸς τῆς καμίνου
τῶν Χαλδαίων ῥυσάμενος
ἵνα πίστει κράζω σοι·
εὐλογεῖτε τὸν μόνον ὄντως ὄντα
δημιούργον ἁπάσης τῆς κτίσεως
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

'Ωδὴ η'

Πυρός, σωτῆρ, τοῦ νοητοῦ
ἐξάγαγε ἡμᾶς
ὡς τοὺς τρεῖς νεανίας ἐν Βαβυλῶνι
ἀβλαβεῖς διέσωσας
ἵνα τὴν τούτων ὠδὴν

εὐχαρίστῳ πίστει
μέλψωμεν βοῶντες·
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ παράδοξα ποιῶν
καὶ ὑπερένδοξος εἰς τοὺς αἰῶνας.

'Ωδὴ θ'

Χάριν λαβοῦσα
τὴν πάντα νοῦν ὑπερέχουσαν
ἔτεκες ἀνερμηνεύτως, θεόνυμφε,
τὸν 'Εμμανουὴλ
Χριστὸν τὸν Θεὸν ἡμῶν
ἐν δυσὶ ταῖς φύσεσι γνωριζόμενον
ὃν ὑμνοῦσιν οἱ ἄνω θρόνοι
καὶ δοξολογεῖ τὰ σεραφὶμ
ἀσιγήτοις φωναῖς
καὶ ἡμεῖς προσκυνοῦντες μεγαλύνομεν.

Εἱρμὸς ἄλλος

Τίς ἡ καινὴ λατρεία
ἣν τὰ χερουβὶμ καὶ σεραφὶμ πόθῳ δο-
[ξάζει

κύρῃ τῇ θεονύμφῳ
ἢ ὅτι Θεὸν γεγέννηκε
ἐξ αὐτῆς σωματωθέντα
ἀπειράνδρως μόνης
τὸν ὑπέρθεον Λόγον·
διὰ τοῦτο πάντες
Θεομήτορα ταύτην
ἀναγορεύοντες μεγαλύνομεν.

Εἱρμὸς ἄλλος

'Ο κενωθεὶς Λόγος
ἐκ θώκων ζωαρ[illegible]
καὶ τούτους [illegible]πῶν
ἐκ σοῦ, σεμνή, προέρχεται
Θεός τε καὶ ἄνθρωπος
καὶ τῷ προσλήμματι τῆς θεονύμου ἀξί
[αὐτ
ὡς μητέρα σε πᾶσι
τοῖς πιστοῖς ἀνέδειξε
Θεοτόκον ἀναγορεύειν σε
ἣν πανευσεβῶς μεγαλύνομεν.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

ΕΙΡΜΟΙ ΒΑΡΕΩΣ ΗΧΟΥ

280

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Ἰωάννου μοναχοῦ

Λ φ. 177α. Β φ. 240β

Ὠδὴ α'. Ἦχος βαρύς. Ὁ Εἱρμός.

Νεύσει σου πρὸς γεώδη
ἀντιτυπίαν μετήχθη
ἡ πρὶν εὐδιάχυτος
ὑδάτων φύσις, Κύριε,
ὅθεν ἀβρόχως πεζεύσας
ᾄδει Ἰσραὴλ σοι
ᾠδὴν ἐπινίκιον.

Ὠδὴ γ'

Ὁ κατ' ἀρχὰς τοὺς οὐρανοὺς
παντοδυνάμῳ σου λόγῳ
στερεώσας, Κύριε σωτήρ,
καὶ τῷ παντουργῷ καὶ θείῳ Πνεύματι
πᾶσαν τὴν δύναμιν αὐτῶν
ἐν ἀσαλεύτῳ με πέτρᾳ
τῆς ὁμολογίας σου στερέωσον.

Ὠδὴ δ'

Ὁ πατρικοὺς
κόλπους μὴ λιπὼν
καταβὰς ἐπὶ τῆς γῆς, Χριστὲ ὁ Θεός,
τὸ μυστήριον ἀκήκοα
τῆς οἰκονομίας σου
καὶ ἐδόξασά σε, φιλάνθρωπε.

Ὠδὴ ε'

Νὺξ ἀφεγγὴς τοῖς ἀπίστοις, Χριστέ,
τοῖς δὲ πιστοῖς φωτισμὸς
ἐν τρυφῇ τῶν θείων λόγων σου·
διὰ τοῦτο πρὸς σὲ ὀρθρίζω
καὶ ἀνυμνῶ σου τὴν ἁγιότητα.

Εἱρμὸς ἄλλος

Κύριε ὁ Θεός μου
ἐκ νυκτὸς ὀρθρίσας σὲ ἱκετεύω
παράσχου μοι ἄφεσιν
τῶν πλημμελημάτων μου
καὶ πρὸς φῶς τῶν σῶν προσταγμάτων
τὰς ὁδούς μου εὔθυνον δέομαι.

Ὠδὴ ς'

Ἐβόησα, Κύριε, ἐν τῷ θλίβεσθαί με πρὸς σὲ
καὶ ἀνήγαγες ἐκ φθορᾶς
τὴν ζωήν μου, πολυέλεε.

Ὠδὴ ζ'

Κάμινον παῖδες
πυρίφλεκτον πάλαι
δροσοβολοῦσαν ὑπέδειξαν
ἕνα Θεὸν ἀνυμνοῦντες καὶ λέγοντες·
ὁ ὑπερυμνούμενος
τῶν πατέρων Θεὸς καὶ ὑπερένδοξος.

Ὠδὴ η'

Τὸν ὄντως ὄντα Θεὸν
καὶ τῆς τῶν πάντων οὐσίας αἴτιον
Χριστὸν ὑπερυμνοῦμεν
καὶ δοξολογοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'

Σεσαρκωμένον τὸν Λόγον ἀσπόρως ἐκ σοῦ
θεοπρεπῶς τέτοκας,
Παρθένε Θεοτόκε,
καὶ σὲ μεγαλύνομεν.

281

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Ἰωάννου μοναχοῦ

Λ φ. 178α. Β φ. 241α

Ὠδὴ α'. Ἦχος βαρύς. Ὁ Εἱρμός.

Τῷ ἐκ ῥείθρων Ἐρυθρᾶς
τειχοποιήσαντι διόδους τῷ λαῷ
καὶ καλύψαντι βυθῷ
Φαραὼ παναστρατιᾷ
ἄσωμεν τῷ Κυρίῳ·
ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ γ'

Ἐστερεώθη τῇ πίστει
Χριστοῦ ἡ ἐκκλησία·
καὶ γὰρ ἀπαύστως ἐν ὕμνοις
βοᾷ καυχωμένη·
ἅγιος εἶ, Κύριε,
καὶ σὲ ὑμνεῖ τὸ πνεῦμά μου.

Ὠδὴ δ'

Ἀκήκοα τὴν ἀκοήν σου, Κύριε,
ὅτι ὤρθωσας ἐπὶ γῆς
διὰ τὸ σῶσαι ἡμᾶς
διὸ βοῶμεν· δόξα τῇ δυνάμει σου.

Εἱρμὸς ἄλλος

Τὴν ἔνσαρκον παρουσίαν σου, Χριστέ,
πιστούμενος ὁ προφήτης
Ἀββακοὺμ ἐκραύγαζε·
δόξα τῇ δυνάμει σου.

Ὠδὴ ε'

Ἡ φωτὸς δοκήσει πρὸς σκότος
καθέλκουσα ἡμαύρωται πλάνη·
φῶς γὰρ τὸ ὄντως ἀπρόσιτον
καὶ ἀληθὲς θεοφανείας ἔλαμψεν·
ὅθεν ἐνθέως ἐκ νυκτὸς ὀρθρίζοντες
ὕμνον ἀναμέλπομεν.

Ὠδὴ ς'

Ἐβόησα, Κύριε, ἐν τῷ θλίβεσθαί με
πρὸς σέ·
ἐνεπάγην γὰρ εἰς ἰλὺν βυθοῦ πταισμάτων
πολλῶν
καὶ ἐκ φθορᾶς ἐπιφανείς με ἀνήγαγες.

Ὠδὴ ζ'

Ἐν τῇ καμίνῳ ἤλεγξας
ὀρθεὶς τὸ τῆς Περσῶν ἀνοίας
χρυσήλατον ἄθυρμα·
διὸ οἱ παῖδες ἐπιγνόντες σε
τὴν ἀπαράλλακτον εἰκόνα τοῦ πατρὸς
εὐλογητὸς εἶ ἔκραζον
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Κάμινον πάλαι πυρὶ φλεγομένην
θεοσεβεῖς ἐπάτησαν παῖδες·
οὐ γὰρ φόβῳ ὑπεῖξαν τυραννικῷ
πόθῳ δὲ μᾶλλον θεοσεβείας
πυρσούμενοι ἔλεγον·
εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ'

Πανύμνητε, τῶν οὐρανῶν εἰ πλατυτέρα
ὡς τὸν ἄναρχον Λόγον
ἀσπόρως συλλαβοῦσα
καὶ σεσαρκωμένον Θεὸν
τεκοῦσα τοῖς ἀνθρώποις·
διὸ πάντες σε ἀεὶ μεγαλύνομεν.

282

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Ἰωάννου μοναχοῦ τοῦ Λαμπασκηνοῦ

Λ φ. 179α. Β φ. 242α

Ὠδὴ α'. Ἦχος βαρύς. Ὁ Εἱρμός.

Μωσαϊκὴ ῥάβδος
θεϊκῇ δυναστείᾳ
τὴν Ἐρυθρὰν διῆλε θάλασσαν
καὶ διήγαγε λαὸν ὑμνοῦντα καὶ λέγοντα·
ἄσωμεν τῷ θαυμαστῷ Θεῷ ἡμῶν
ἐπινίκιον ᾠδὴν
ὅτι δεδόξασται.

Ὠδὴ γ'

Ἐν τῇ ὀρθοδόξῳ πίστει τῆς σῆς ὁμολογίας
στερέωσόν με, Κύριε,
ἵνα μὴ σαλεύσῃ με ὁ ἐχθρὸς εἰς τέλος
ἀπὸ τῶν ἐντολῶν σου, φιλάνθρωπε.

Ὠδὴ δ'

Τοὺς οὐρανοὺς ἐκάλυψεν
ἡ ἀρετή σου, Κύριε,
καὶ τῆς σῆς αἰνέσεως
τὰ πάντα πεπλήρωται
δόξα τῇ δυνάμει σου, φιλάνθρωπε.

Ὠδὴ ε'

Πρὸς σὲ ὀρθρίζω
καὶ σοὶ κραυγάζω,
εὔσπλαγχνε Κύριε,
τὴν ἐσκοτισμένην ἁμαρτίαις μου ψυχὴν
τῷ φωτὶ καταυγάσας
τῶν ἐντολῶν σου καθοδήγησον.

Ὠδὴ ς'

Ἐκ βυθοῦ ἀνήγαγες
Ἰωνᾶν τὸν προφήτην σου, Κύριε,
καμὲ βοῶντα ἐκ βυθοῦ
τῶν ἁμέτρων μου πταισμάτων ἀνάγαγε,
ἐλεῆμον καὶ φιλάνθρωπε.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

Ὠδὴ ζ΄

Τυραννικὴν πρόσταξιν
παῖδες οὐχ ὑπήκουσαν
κάμινον οὐκ ἔπτηξαν
Θεῷ δὲ ἀνέμελπον
τῶν πατέρων [Θεὸς] εὐλογητὸς εἶ.

Ὠδὴ η΄

Οἱ παῖδες ἐκραύγαζον
ἐν καμίνῳ δροσισθέντες·
ἡ κτίσις εὐλογείτω
τὸν τὰ σύμπαντα λόγῳ δημιουργήσαντα
καὶ ὑπερυψούτω
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ΄

Μήτηρ Θεοῦ καὶ Παρθένος τίκτουσα
καὶ παρθενεύουσα πάλιν
οὐχὶ φύσεως ἔργον
ἀλλὰ Θεοῦ συγκαταβάσεως·
ὅθεν ὡς μόνην τῶν θείων θαυμάτων
καταξιωθεῖσάν σε ἀεὶ μεγαλύνομεν.

283

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Ἰωάννου μοναχοῦ

Α φ. 180α. Β φ. 242β

Ὠδὴ α΄. Ἦχος βαρύς. Ὁ Εἱρμός.

* Ἄσωμεν τῷ Κυρίῳ τῷ ὑψίστῳ
ὅτι βοηθὸς καὶ σκεπαστὴς
πᾶσιν ἡμῖν εἰς σωτηρίαν ἐγένετο.

Ὠδὴ γ΄

Ἰσχὺς ἡμῶν ὑπάρχεις
καὶ πλοῦτος καὶ ὕψωσις,
Χριστὲ ὁ Θεὸς ἡμῶν,
καὶ σοὶ ἀπαύστως βοῶμεν·
οὐκ ἔστιν ἅγιος πλὴν σου, φιλάνθρωπε.

Ὠδὴ δ΄

Κύριε, τῆς μυστικῆς σου οἰκονομίας
τὰ παράδοξα θαυμάσια
κατενόησα καὶ ἐξέστην·
διό σοι κραυγάζω·
δόξα τῇ δυνάμει σου.

Ὠδὴ ε΄

Ὀρθρίζοντες ὑμνοῦμέν σε,
Χριστὲ ὁ Θεὸς ἡμῶν,
ὅτι σαρκωθεὶς ἐκ τῆς Παρθένου
ἐφώτισας καὶ ἔσωσας
ἡμᾶς ὡς φιλάνθρωπος.

Ὠδὴ ς΄

Ἐβόησεν ἐκ τῶν λαγόνων, Κύριε,
ὁ προφήτης Ἰωνᾶς
οὕτω τοῦ κήτους βοῶν
πρὸς σέ· ὁ Θεὸς ἐκ φθορᾶς με ἀνάγαγε.

Ὠδὴ ζ΄

Ἐν καμίνῳ ὄντες τῶν Χαλδαίων
οἱ Ἀβραμιαῖοι ὅσιοι παῖδες
ἐχόρευον σὺν τῷ ἀγγέλῳ λέγοντες·
ὁ τῶν πατέρων ἡμῶν Θεὸς
εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας.

Ὠδὴ η΄

Σὲ τὸν ἐν καμίνῳ τοὺς παῖδας δροσίσαντα
καὶ τοῦ πυρὸς τὴν φλόγα σβέσαντα
ὑμνοῦντες λέγομεν·
εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ΄

Ἄφλεκτος βάτος
πυρὶ ἐν τῷ ὄρει τῷ Σινᾷ προγραφεῖσα
σὺ εἶ μόνη, Παρθένε,
Μωσῇ τῷ θεράποντι
διό σε ὕμνοις μεγαλύνομεν.

284

[ΑΝΑΣΤΑΣΙΜΟΣ]

Ποίημα Ἰωάννου μοναχοῦ τοῦ Δαμασκηνοῦ

Α φ. 181α. Β φ. 143β

Ὠδὴ α΄. Ἦχος βαρύς. Ὁ Εἱρμός.

* Ἄσωμεν τῷ Κυρίῳ·
ἐνδόξως γὰρ δεδόξασται·
ὅτι διέσωσε λαὸν
χειρὸς Φαραωνίτιδος.

Ὠδὴ γ΄

Στερέωσόν με, Κύριε,
τῇ πρεσβείᾳ τῆς τεκούσης σε
ἵνα γνῶσι τὰ ἔθνη
ὅτι οὐκ ἔστιν ἅγιος
διδοὺς εὐχὴν τῷ εὐχομένῳ
πλὴν σου, Κύριε.

Ὠδὴ δ΄

Τῆς οἰκονομίας σου, Κύριε,
εἰσακήκοα τὴν ἀκοὴν
καὶ ἐξέστη μου ἡ διάνοια
ὅτι Θεὸς ὢν δι' ἡμᾶς
σαρκωθῆναι εὐδόκησας.

Ὠδὴ ε΄

Ἐκ ζόφου τῆς ἀγνωσίας
πρὸς τὴν σὴν ἐπίγνωσιν,
Κύριε, ὁδήγησον ἡμᾶς
δεόμεθα τῆς σῆς φιλανθρωπίας·
σὺ γὰρ ζωὴ καὶ φῶς ὑπάρχεις
καὶ εἰρήνη τῶν ψυχῶν ἡμῶν.

Ὠδὴ ς΄

Ὁ Ἰωνᾶς ἐκ κοιλίας ᾅδου ἐβόα·
ἀνάγαγε ἐκ φθορᾶς τὴν ζωήν μου·
ἡμεῖς δέ σοι βοῶμεν·
παντοδύναμε σῶτερ, ἐλέησον ἡμᾶς.

Ὠδὴ ζ΄

Ἐν μέσῳ καμίνου
φλογὸς τῶν Χαλδαίων
ὁ κτίστης εὐσεβείας
ἐριστὰς τρεῖς παῖδας ἐξείλατο
θαρσαλέως ψάλλοντας·
λυτρωτὰ ὁ Θεός, εὐλογητὸς εἶ.

Ὠδὴ η΄

Κάμινον δροσοβόλον
καὶ βάτον ἄφλεκτον
καὶ μήτραν θεοδόχον
καὶ τάφον ζωηφόρον
βλέποντες ὑμνοῦμεν
καὶ ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄

Χαῖρε νύμφη φαεινὴ
μήτηρ τοῦ φωτοδότου·
χαῖρε ἡ χωρήσασα
τὸν ἀχώρητον ἐν μήτρᾳ·
χαῖρε ἡ τῶν χερουβὶμ αὐτῶν τιμιωτέρα
ἡ κυήσασα σωτῆρα τῶν ψυχῶν ἡμῶν.

285

[ΑΝΑΣΤΑΣΙΜΟΣ]

Ποίημα Ἰωάννου μοναχοῦ

Β φ. 244β

Ὠδὴ α΄. Ἦχος βαρύς. Ὁ Εἱρμός.

Τῷ ἐκτινάξαντι Θεῷ
τὸν Φαραὼ ἐν θαλάσσῃ Ἐρυθρᾷ
ἐπινίκιον ᾠδὴν ἄσωμεν
ὅτι δεδόξασται.

Ὠδὴ γ΄

Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ
ὑψώθη κέρας μου ἐν Θεῷ μου
καὶ ἐπλατύνθη ἐπ' ἐχθρούς μου τὸ στόμα μου.

Ὠδὴ δ΄

Τοὺς οὐρανοὺς ἐκάλυψεν
ἡ ἀρετή σου, Κύριε,
καὶ τῆς σῆς αἰνέσεως
τὰ πάντα πεπλήρωται·
δόξα τῇ δυνάμει σου, φιλάνθρωπε.

Ὠδὴ ε΄

Ἡ δρόσος ἡ παρὰ σοῦ, Χριστὲ ὁ Θεός,
ἴαμα τοῖς πιστοῖς ἡμῖν ἐδείχθη
τῇ γῇ δὲ ἀσεβούντων δυσσεβῶς
πτῶσις ἐπαγγέλλεται·
διὸ ἐκ νυκτὸς ὀρθρίζοντες
ὕμνον σοι προσάγομεν.

Ὠδὴ ς΄

Ὡς τὸν προφήτην ἐκ βυθοῦ
ἀνήγαγες Ἰωνᾶν
καμέ, σωτήρ, ἀνάγαγε
ἐκ βυθοῦ τῶν πταισμάτων μου
καὶ κυβέρνησον
τὴν ζωήν μου ὡς φιλάνθρωπος.

Ὠδὴ ζ΄

Ἔσβεσε δύναμιν
ἀγγέλου συγκατάβασις
ἔ[illegible]αννον
ἡ τρισσόχορδος λύρα
παίδων ἐμμελῶς ἰσοφωνούντων
ὁ τῶν πατέρων ἀληθὴς Θεὸς καὶ ἡμῶν
εἰς τοὺς αἰῶνας εὐλογητὸς εἶ.

Ὠδὴ η΄

Παίδων ἀνυμνούντων
ἐδροσίζετο κάμινος ἡ χαλδαϊκὴ
φλογὸς δὲ ἡ δύναμις κατενέμετο
σύνταγμα τῶν ὑπηρετῶν
καὶ λόγος κατηργεῖτο ὁ τυραννικός·
Χριστὸς δὲ ἀνυψοῦτο
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄

Σὲ τὴν ἀπείρανδρον μητέρα τοῦ Ἐμμανουήλ,
ἄχραντε κόρη,
δι' ἧς ἡμῖν ἐν μιᾷ τῶν αὐτῇ
ἡ Τριὰς ἡ ἀμετάβλητος
συνῆλθεν ὑποστάσεων
κατὰ χρέος οἱ γηγενεῖς
ὕμνοις μεγαλύνομεν.

286

ΕΙΣ ΤΗΝ ΠΕΝΤΗΚΟΣΤΗΝ

Ποίημα Κοσμᾶ μοναχοῦ

Α φ. 182α. Β φ. 245α

Ὠδὴ α΄. Ἦχος βαρύς. Ὁ Εἱρμός.

Πόντῳ ἐκάλυψε
Φαραὼ σὺν ἅρμασιν
ὁ συντρίβων πολέμους
ἐν ὑψηλῷ βραχίονι [1]
ἄσωμεν αὐτῷ
ὅτι δεδόξασται.

---

(1) Οἱ Κώδ. τῇ κραταιᾷ δυνάμει Χριστός.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

Ὠδὴ γ'

Τὴν ἐξ ὕψους δύναμιν
τοῖς μαθηταῖς, Χριστέ,
ἕως ἂν ἐνδύσησθε ἔφης
καθίσατε ἐν Ἰερουσαλὴμ
ἐγὼ δὲ ὡς ἐμὲ παράκλητον ἄλλον
Πνεῦμα τὸ ἐμόν τε καὶ πατρὸς ἀποστελῶ
ἐν ᾧ στερεωθήσεσθε.

Εἱρμὸς ἄλλος

Ἀσθενοῦντες δύναμιν
περιεζώσαντο, Κύριε,
καὶ τόξον δυνατῶν ἠσθένησεν·
ἰσχὺϊ γὰρ σταυροῦ
ἐρρύσω ἐκ τῆς πλάνης γένος τῶν βροτῶν
ὀλέσας τὸν ἀντίδικον ἡμῶν·
διὸ πάντες ἐν πίστει στερεούμεθα.

Ὠδὴ δ'

Κατανοῶν ὁ προφήτης
τὴν ἐπ' ἐσχάτων σου, Χριστέ,
ἔλευσιν ἀνεβόα·
τὴν σὴν εἰσακήκοα, Κύριε, δυναστείαν
ὅτι πάντας τοῦ σῶσαι
τοὺς χριστούς σου ἐλήλυθας.

Ὠδὴ ε'

Τὸ διὰ τὸν φόβον σου λῆμφθέν, Κύριε,
ἐν γαστρὶ τῶν προφητῶν
καὶ κυηθὲν ἐπὶ τῆς γῆς
Πνεῦμα σωτηρίας
ἀποστολικὰς καρδίας κτίζει καθαρὰς
καὶ ἐν τοῖς πιστοῖς εὐθὺς ἐγκαινίζεται·
φῶς γὰρ καὶ εἰρήνη
διότι τὰ σὰ προστάγματα.

Εἱρμὸς ἄλλος

Ἵν περ Ἰσαΐας πλησθεὶς Πνεύματος
ἐκ Θεοῦ ἡμῖν εἰρήνην δωρηθῆναι αἰτεῖ
ταύτην σε γινώσκομεν, Χριστέ·
σὺ γὰρ εἰς γῆν ἐλθὼν
ἔχθρας ἡμᾶς τῆς πρὸς τὸν πατέρα
χρονίας ἀπήλλαξας·
φῶς δὲ καὶ εἰρήνην
παρέσχες τοῖς σὲ δοξάζουσιν.

Ὠδὴ ς'

Ναυτιῶν τῷ σάλῳ [1]
τῶν βιωτικῶν μελημάτων
συμπλόοις ποντούμενος ἁμαρτίαις
καὶ ψυχοφθόρῳ θήρᾳ προσριπτούμενος
ὡς ὁ Ἰωνᾶς, Χριστέ, βοῶ σοι
ἐκ θανατηφόρου με βυθοῦ ἀνάγαγε.

Ὠδὴ ζ'

Οἱ ἐν καμίνῳ τοῦ πυρὸς
ἐμβληθέντες ὅσιοι παῖδες
τὸ πῦρ εἰς δρόσον μετέβαλον
διὰ τῆς ὑμνῳδίας οὕτω βοῶντες·
εὐλογητὸς εἶ, Κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Ἄφλεκτος πυρὶ
ἐν Σινᾷ προσομιλοῦσα
βάτος Θεὸν ἐγνώρισε
τῷ βραδυγλώσσῳ καὶ δυσήχῳ Μωσῇ·
καὶ παῖδας ζήλος Θεοῦ,
τοὺς ἀναλώτους τῷ πυρὶ,
ὑμνῳδοὺς ἔδειξε·
πάντα τὰ ἔργα Κυρίου
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'

Μὴ τῆς φθορᾶς διαπείρᾳ κινορρήσασα
καὶ παντεχνήμονι Λόγῳ σάρκα δανείσασα,
μῆτερ ἀπείρανδρε
Παρθένε Θεοτόκε,
δοχεῖον τοῦ ἀστέκτου
χωρίον τοῦ ἀπείρου
πλαστουργοῦ σου σὲ μεγαλύνομεν.

---

(1) Οἱ Κώδ. ναυτιῶντα σάλῳ .. ποντούμενον ... προσριπτούμενον ...

287

Ποίημα Γερμανοῦ πατριάρχου

Α φ. 188α. Β φ. 245α

Ὠδὴ α'. Ἦχος βαρύς. Ὁ Εἱρμός.

Τῷ συνεργήσαντι Θεῷ
Μωσῇ ἐν Αἰγύπτῳ
ἐξαγαγεῖν τὸν Ἰσραὴλ
αὐτῷ μόνῳ ἄσωμεν·
ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ β'

Ὁ λαὸς σπουδάζετε
Θεοῦ τὴν συγκατάβασιν
ὅτι ἐκ Παρθένου ἁγίας ἐτέχθη ὡς εὐδό[κησεν
αὐτῷ δῶμεν δόξαν καὶ αἶνεσιν.

Εἱρμὸς ἄλλος

Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι Θεὸς ὑμῶν
ὁ διαῤῥήξας τὴν ὑγρὰν φύσιν ἐν τῷ σταυ[ρῷ μου
καὶ βυθίσας Φαραὼ παντοκρατὶ
καὶ διασώσας ἐν ἐρήμῳ ψάλλοντα φυγάδα
τὸν Ἰσραὴλ, ὡς μόνος εὐεργέτης.

Ὠδὴ γ'

Ὁ οὐρανοὺς τῷ λόγῳ στερεώσας
καὶ τὸν τῆς γῆς θεμέλιον ἑδράσας
ἐπὶ ὑδάτων πολλῶν
στερέωσόν μου τὸν νοῦν
εἰς τὸ θέλημά σου,
μόνε φιλάνθρωπε.

Ὠδὴ δ'

Εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην
κατενόησα τὰ ἔργα σου
καὶ ἐξέστην, Κύριε.

Ὠδὴ ε'

Ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σὲ ὁ Θεὸς
διότι φῶς σὰ προστάγματα
ἐγένοντο ἰάματα
τοῖς δούλοις σου, φιλάνθρωπε.

Ὠδὴ ς'

Ἐβόησα, Κύριε, ἐν τῷ θλίβεσθαί με καὶ [ἐσώθην
καὶ ἀνυμνῶ τὸν σωτῆρά μου.

Ὠδὴ ζ'

Ὁ τῶν πατέρων καὶ ἡμῶν Θεὸς
εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας.

Ὠδὴ η'

Τοὺς ἐν καμίνῳ παῖδας μιμούμενοι
οἱ τοῦ Πνεύματος τὴν δρόσον δεξάμενοι
ἐν πίστει κραυγάζομεν·
εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ'

Τὴν ὑπὲρ φύσιν μητέρα
καὶ κατὰ φύσιν Παρθένον
τὴν μόνην ἐν γυναιξὶ εὐλογημένην
ἅσμασι μυστικοῖς
οἱ πιστοὶ μεγαλύνομεν.

288

Ποίημα Γερμανοῦ πατριάρχου

φ. 246α

Ὠδὴ α'. Ἦχος βαρύς. Ὁ Εἱρμός.

Ἄσωμεν τῷ Κυρίῳ
τῷ βυθίσαντι πᾶσαν τὴν δύναμιν
Φαραὼ ἐν θαλάσσῃ
ἐπινίκιον ᾠδὴν
ὅτι δεδόξασται.

Ὠδὴ β'

Στερέωμά μου γενοῦ
ὁ λόγῳ στερεώσας τοὺς οὐρανοὺς
καὶ ἑδράσας τὴν γῆν ἐπὶ ὑδάτων
ῥῦσαι ὡς Θεὸς πάσης περιστάσεως.

Ὠδὴ δ'

Ἐκάλυψεν οὐρανούς, Χριστὲ ὁ Θεός,
ἐν τῇ σῇ οἰκονομίᾳ
ἡ ἀρετὴ τῆς ἀῤῥάστου
σοφίας σου, φιλάνθρωπε.

Ὠδὴ ε'

Ἐπὶ τὸ φῶς τῶν προσταγμάτων σου, Κύριε
ὁδήγησον ἡμᾶς, Χριστὲ ὁ Θεὸς ἡμῶν

Ὠδὴ ς'

Ἐβόησεν ἐκ τῶν λαγόνων, Κύριε,
ὁ προφήτης Ἰωνᾶς
οὕτω τοῦ κήτους βοῶν πρὸς σέ·
ὁ Θεὸς ἐκ φθορᾶς με ἀνάγαγε.

Ὠδὴ ζ'

Ὁ δι' ἀγγέλου τοὺς παῖδας
ἐν καμίνῳ σώσας
καὶ τὴν φλόγα εἰς δρόσον
αὐ[illegible]ποιήσας
εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Τὸν φοβερὸν τοῖς χερουβὶμ
καὶ θαυμαστὸν τοῖς σεραφὶμ
καὶ τοῦ κόσμου ποιητὴν
ἱερεῖς καὶ δοῦλοι
καὶ πνεύματα δικαίων
ὑμνεῖτε τὸν Κύριον.

Ὠδὴ θ'

Μεγαλύνομεν πάντες
τὴν μόνην μετὰ τόκον
φυλαχθεῖσαν Παρθένον
ὡς μόνην Θεοτόκον
πρεσβεύουσαν ἀεὶ
ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

289

[ΑΝΑΣΤΑΣΙΜΟΣ]

Ποίημα Γερμανοῦ πατριάρχου

Β φ. 247α

Ὠδὴ α'. Ἦχος βαρύς. Ὁ Εἱρμός.

Τῷ βυθίσαντι Θεῷ τὸν Φαραὼ
ἐν Ἐρυθρᾷ θαλάσσῃ
ἐπινίκιον ᾠδὴν ἄσωμεν
ὅτι δεδόξασται.

Ὠδὴ β'

Πρόσεχε οὐρανὲ καὶ λαλήσω
καὶ ἀνυμνήσω Χριστὸν
τὸν σωτῆρα τοῦ κόσμου
τὸν μόνον φιλάνθρωπον.

Ὠδὴ γ'

Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ
ὑψώθη κέρας μου ἐν Θεῷ μου
καὶ ἐπλατύνθη ἐπ' ἐχθρούς μου τὸ στόμα μου.

Ὠδὴ δ'

Τὴν ἔνσαρκον παρουσίαν σου, Χριστέ,
πιστούμενος ὁ προφήτης

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

Ἀββακοὺμ ἐκραύγαζε·
δόξα τῇ δυνάμει σου.
Ὠδὴ ε′
Οἱ ὀρθρίζοντες, Λόγε,
εἰς δόξαν σὴν καὶ αἶνον
ἀνυμνοῦμεν ἀπαύστως
τὸν τύπον τοῦ σταυροῦ σου
ὃν ἔδωκας ἡμῖν
ὅπλον εἰς βοήθειαν.
Ὠδὴ ς′
Ὁ Ἰωνᾶς ἐκ κοιλίας ᾅδου ἐβόα·
ἀνάγαγε ἐκ φθορᾶς τὴν ζωήν μου
ἡμεῖς δέ σοι βοῶμεν·
παντοδύναμε σωτὴρ
ἐλέησον ἡμᾶς.
Ὠδὴ ζ′
Κάμινον καιομένην
ἐδρόσισας, σωτήρ·
παῖδας περιέσωσας
ὑμνοῦντας καὶ λέγοντας·
εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας, Κύριε,
ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.
Ὠδὴ η′
Τὸν μόνον ἄναρχον
βασιλέα τῆς δόξης
ὃν εὐλογοῦσιν οὐρανῶν αἱ δυνάμεις
καὶ φρίττουσι τῶν ἀγγέλων αἱ τάξεις
ὑμνεῖτε ἱερεῖς
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.
Ὠδὴ θ′
Σὲ τὴν ἄχραντον μητέρα καὶ Παρθένον
τὴν τὸν ἀχώρητον Λόγον
ἐν γαστρὶ χωρήσασαν
καὶ τεκοῦσαν σαρκὶ
ὑμνοις μεγαλύνομεν.

290

[ΑΝΑΣΤΑΣΙΜΟΣ]

Ποίημα Ἀνδρέου Κρήτης

Β φ. 248α

Ὠδὴ α′. Ἦχος βαρύς. Ὁ Εἱρμός.
* Ἄσωμεν τῷ Κυρίῳ ᾆσμα καινὸν
τῷ Ἐρυθρὰν γεώσαντι
καὶ Φαραὼ βυθίσαντι
καὶ λαὸν διασώσαντι.
Ὠδὴ β′
Πρόσεχε οὐρανέ·
φθέγξομαι γὰρ
μεγαλουργίαν Θεοῦ
καὶ ἀνυμνήσω τὴν ἐπ' ἐσχάτων
ἐκ Παρθένου ἀναλλοίωτον σάρκωσιν.
Ὠδὴ γ′
Τὴν γῆν ἐστερέωσας
βυθὸν ἐσπάργανωσας
τῇ ψάμμῳ ἄσυλον τηρῶν
κλεῖθρα καὶ δρη ἐστήσω ὡς δυνατὸς
σὺ οὐρανοὺς ἐτάνυσας ὡς Θεὸς
σὺ στερεοῖς πνεύμα κτίζων
καὶ βροντὴν τῇ ἐξουσίᾳ σου.
Ὠδὴ δ′
Τὸ ὄρος τοῦ Σινᾶ
καπνῷ καὶ γνόφῳ
καὶ θυέλλῃ ἐσκέπετο
τὸ ὄρος τὸ νοητὸν
ἡ μήτρα τῆς Παρθένου
κατάσκιος γέγονεν
ἐκ Πνεύματος ἁγίου
ἐξ οὗ λίθος ἐτμήθη
ὁ ἀπὸ Θαιμὰν ἥξας·
δόξα τῇ δυνάμει σου
δόξα, Χριστέ, τῇ συγκαταβάσει σου.
Ὠδὴ ε′
Διασκεδάσας τὴν νύκτα τῶν παθῶν
λάμψον μοι φῶς νοερὸν
ὁ τὸ ἀρχέγονον σκότος
τῆς ἀβύσσου διώξας
καὶ τὸ πρωτόκτιστον φῶς
καταλάμψας τῷ κόσμῳ
δημιουργὲ τοῦ παντός.
Ὠδὴ ς′
Βυθῷ ἁμαρτημάτων
περιπεσών, ἀγαθέ,
ὡς Ἰωνᾶς ἐκ τοῦ κήτους βοῶ σοι·
ἀνάγαγε ἐκ φθορᾶς τὴν ζωήν μου
καὶ σῶσόν με, φιλάνθρωπε.
Ὠδὴ ζ′
Ἐν τῷ ναῷ τῆς ἁγίας δόξης σου
ὑμνοῦμέν σε, φιλάνθρωπε,
ὡς οἱ παῖδες ἐν τῇ καμίνῳ
εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν
καὶ δεδοξασμένος εἰς τοὺς αἰῶνας.
Ὠδὴ η′
Ὃν δοξάζει χερουβὶμ
ἀρχαὶ καὶ ἐξουσίαι
καὶ ὑμνεῖ τὰ σεραφὶμ
καὶ τάξεις τῶν ἀγγέλων
εὐλογεῖτε ἱερεῖς
καὶ λεύϊται προσκυνεῖτε
οἱ περὶ Ἀζαρίαν τὸν Κύριον
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ′
Ἀσπόρου τόκου σύλληψιν
τίς ἑρμηνεύσει βροτῶν ;
ἀφθόρου τόκου γέννησιν
τίς μὴ θαυμάσει γηγενῶν ;
διό σε αἱ φυλαὶ τῆς γῆς,
Θεοτόκε, μεγαλύνομεν.

291

ΕΙΣ ΤΗΝ ΚΟΙΜΗΣΙΝ ΤΗΣ ΘΕΟΤΟΚΟΥ

Ποίημα Ἀνδρέου Κρήτης

Α φ. 184α. Β φ. 249α

Ὠδὴ α′. Ἦχος βαρύς. Ὁ Εἱρμός.
* Θάλασσαν εἰργάσω
τὴν ἐκκλησίαν σου, Λόγε·
βυθὸν δὲ τὴν πλευράν σου
ἐξ ἧς ἀνέβλυσας ὕδωρ τὸ ζωοποιόν,
σώσας, οἰκτίρμον, τὸν νέον Ἰσραὴλ
ᾄδοντά σοι βοῶντα
ᾄσωμεν τῷ Κυρίῳ
ἐνδόξως γὰρ δεδόξασται.
Ὠδὴ β′
Ἴδετε ἴδετε
ὅτι ἐγώ εἰμι Θεὸς
ὁ ἐν θαλάσσῃ Ἐρυθρᾷ
καθοδηγήσας τὸν πάλαι Ἰσραὴλ
ᾠδαῖς ᾄδοντα τὰ μεγαλεῖά μου.
Ὠδὴ γ′
Τὴν ἐκκλησίαν σου ἐπὶ τὴν πέτραν τῶν [ἐντολῶν σου
στερέωσον, Κύριε,
ὅτι Θεὸς γνώσεων
Κύριος ὑπάρχεις
καὶ Θεὸς ἑτοιμάζων
ἐπιτηδεύματα αὐτῷ.
Ὠδὴ δ′
Τὴν ἀκοὴν τῆς δυναστείας σου
εἰσακήκοα, Κύριε, καὶ ἐφοβήθην
κατενόησα τὰ ἔργα σου καὶ ἐξέστην
δόξα τῇ δυνάμει σου.
Ὠδὴ ε′
Τῷ νόμῳ, Χριστέ, τῶν ἐντολῶν σου
ὁδήγησόν με πρὸς τὴν ὁδὸν τῆς ζωῆς
καὶ φώτισόν μου τὸν νοῦν
τῷ τῆς γνώσεως φωτὶ
καὶ δός μοι, σωτήρ μου, τὴν σὴν εἰρήνην
ἵνα ὀρθρίζων δοξάζω σε.
Ὠδὴ ς′
Πλῆθος πταισμάτων
ὡς ζάλη κυμάτων
περιέχει με, σωτήρ μου,
καὶ ταράττει με δεινῶς·
τὰ γὰρ πνεύματα τῆς πονηρίας
προσρήξαντα ἐν ἐμοὶ
ἐξήγειραν τὴν θάλασσαν τῶν λογισμῶν μου·
σῶσόν με ὡς τὸν Ἰωνᾶν ὁ Θεός.
Ὠδὴ ζ′
Ὁ τὴν κάμινον σβέσας
ἐν Βαβυλῶνι τοῦ πυρὸς
καὶ τοὺς παῖδας ἐν αὐτῇ
ὡς ἐν θαλάμῳ φυλάξας
εὐλογητὸς εἶ, Κύριε
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.
Ὠδὴ η′
Τὸν τοῦ παντὸς δημιουργὸν
καὶ σωτῆρα τῶν ψυχῶν ἡμῶν
ὑμνεῖτε λαοὶ Χριστὸν τὸν Θεὸν ἡμῶν
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας
Ὠδὴ θ′
Ἡ πρώτη Εὔα
ἐκ πλευρᾶς Ἀδὰμ τοῦ παλαιοῦ διεπλάτ- [τετο·
ἡ δευτέρα τὸν νέον ἀποτίκτει
ἐξ ἀχράντων λαγόνων·
ἡ μὲν ἀσπόρως
ἡ δὲ ἀφθόρως τὸν ποιητὴν τοῦ παντός·
διὸ προσκυνήσωμεν τὰ μεγαλεῖα αὐτῆς.

292

Ποίημα Ἀνδρέου Κρήτης

Λ φ. 185β. Β φ. 250α

Ὠδὴ α′. Ἦχος βαρύς. Ὁ Εἱρμός.
Τῷ συντρίψαντι πολέμους
ἐν βραχίονι αὐτοῦ
καὶ ἀναβάτας τριστάτας βυθίσαντι
ᾄσωμεν αὐτῷ
ὡς λυτρωτῇ ἡμῶν Θεῷ
ὅτι δεδόξασται.
Ὠδὴ β′
Ἴδετε ἴδετε
ὅτι ἐγώ εἰμι Θεὸς ὑμῶν
ὁ θύρας οὐρανοῦ ἀνεώξας
καὶ βρέξας μάννα λαῷ
ἐκλεκτῷ, ὡς δυνατά μοι πάντα·
ποιῶ γὰρ ὅσα βούλομαι.
Ὠδὴ γ′
Ὁ ἐπὶ τῶν ὑδάτων τὴν γῆν θεμελιώσας,
Λόγε Χριστὲ ὁ Θεός,
καὶ ἡμῶν τὰς καρδίας
τοῦ δοξάζειν σε στερέωσον.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

Ὠδὴ δ′

Τῷ **θείῳ φέγγει** τῆς θεογνωσίας σου,
[Χριστέ,
φώτισον ἡμᾶς
ἐκ τῆς Παρθένου προελθών·
διό σοι ὁμοφρόνως
οἱ πιστοὶ κραυγάζομεν
δόξα τῇ δυνάμει σου.

Ὠδὴ ε′

Τῆς ἀγνοίας τοῦ σκότους
ἐξάγαγε τὴν ψυχήν μου, ἀγαθέ,
καὶ προορθίασας οἰκτειρον δέομαι,
πολυέλεε, καὶ σῶσόν με.

Ὠδὴ ς′

Τοῦ πλήθους τῶν πταισμάτων μου,
ὡς Ἰωνᾶν ἐκ τοῦ κήτους,
ῥῦσαί με, μόνε φιλάνθρωπε.

Εἱρμὸς ἄλλος

Ἄβυσσος παθῶν
ἐκύκλωσέ μου τὸν λογισμὸν
καὶ εἰς βάθη πταισμάτων ἀπέρριμμαι
ὡς Ἰωνᾶς σοι κραυγάζω
ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε.

Ὠδὴ ζ′

Τῶν ἐν καμίνῳ παίδων σου οὐχ ἥψατο
οὐδὲ παρηνόχλησε τὸ πῦρ·
τότε οἱ τρεῖς ὡς ἐξ ἑνὸς στόματος
ὕμνουν καὶ ἐβόων λέγοντες·
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η′

Τὸν ὑπ' ἀγγέλων ἀσιγήτως
ἐν ὑψίστοις δοξαζόμενον Θεὸν
οἱ οὐρανοὶ τῶν οὐρανῶν
γῆ καὶ ὄρη καὶ βουνοὶ καὶ ὕδατος
καὶ πᾶν γένος ἀνθρώπων
ὑμνοις αὐτὸν ὡς κτίστην
καὶ ποιητὴν εὐλογεῖτε.

Ὠδὴ θ′

Σὲ τὴν σκηνὴν τὴν ἁγίαν
καὶ ἔμψυχον κιβωτὸν
ἣν ἡ σοφία τοῦ Θεοῦ ᾠκοδόμησεν
ὡς ἁληθῆ Θεοτόκον
ὕμνοις μεγαλύνομεν.

293

Ποίημα Ἀνδρέου Κρήτης

Β φ. 250β

Ὠδὴ α′. Ἦχος βαρύς. Ὁ Εἱρμός.

* Ἅρματα Φαραὼ Κύριος
ἔρριψεν εἰς θάλασσαν
σώσας περιούσιον λαὸν κράζοντα
ἄσωμεν ἄσμα τῷ μόνῳ Θεῷ.

Ὠδὴ γ′

Στήριξόν με, Χριστέ, πρὸς σὴν δοξο-
[λογίαν
καὶ βεβαίωσον ψάλλειν
τῆς Ἄννης τὴν ᾠδήν σοι
ὑμνεῖν **ἐν πᾶσιν**·
ἅγιος εἶ, **Κύριε,**
ὁ συνέχων τὰ **πάντα.**

Ὠδὴ δ′

Ἀββακοὺμ ὁ θεόπτης
ἀκηκοώς σου, Χριστέ,
τὴν θείαν ἐνανθρώπησιν
τρόμῳ ἀνεβόα καὶ ἔλεγεν·
ἦξει ὁ Θεὸς εἰς βροτῶν ἀναγέννησιν,
τοῦ σῶσαι **πάντας** τοὺς χριστοὺς αὐτοῦ.

Ὠδὴ ε′

Κύριε ὁ **Θεὸς** ἡμῶν,
τὴν σὴν εἰρήνην δὸς ἡμῖν·
ἐκτός σου γὰρ Θεὸν ἄλλον οὐ γινώσκομεν
τὸ ὄνομά σου **πάντες** ὀνομάζομεν.

Ὠδὴ ς′

Βυθῷ προσκείμενος, Λόγε,
τῶν ἐμῶν πταισμάτων βοῶ σοι
ὡς Ἰωνᾶς **ἐκ** τοῦ κήτους,
Θεὲ παντοδύναμε,
ἀνάγαγε τὴν ζωήν μου, δέσποτα,
ἐκ βυθοῦ τῶν παραπτωμάτων μου
ἵνα θύσω σοι μετὰ φωνῆς αἰνέσεως.

Ὠδὴ ζ′

Ὑπερύμνητε Κύριε
ὁ Θεὸς τῶν πατέρων ἡμῶν
ὁ τοὺς ὁσίους σου παῖδας
ἐν καμίνῳ τοῦ πυρὸς διασώσας
καὶ ἡμᾶς διάσωσον
σὲ δοξολογοῦντας εἰς τοὺς αἰῶνας.

Ὠδὴ η′

Τὸν ἐν Βαβυλῶνι καινουργήσαντα τὴν
[φλόγ
παντουργικῇ δυνάμει
εἰς δροσόφρωτον χύσιν
Θεὸν ἡμῶν ἱερεῖς καὶ λαὸς
ὑμνεῖτε εὐλογεῖτε
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ′

Ἐν Σιναίῳ τῷ ὄρει
πῦρ φωταγωγοῦν οὐ φλέγον τὴν ἄκανθα
ἑώρα ὁ νομοθέτης Μωυσῆς
τῆς Θεοτόκου τὸν τόκον
προδιαγράφον μυστικῶς
ὃν μεγαλύνομεν.

294

Ποίημα Ἀνδρέου Κρήτης

Β φ. 251β

Ὠδὴ α′. Ἦχος **βαρύς.** Ὁ Εἱρμός.

* Ῥάβδος μωσαϊκὴ
θάλασσαν διέτεμε
χειρὶ Μωσέως τοῦ νομοθέτου
προστάξει τῇ θεϊκῇ
καὶ σέσωσται λαὸς ὁ ἐκλεκτὸς
ᾠδὴν ἀναμέλπων
Θεῷ ἐν εὐφροσύνῃ.

Ὠδὴ β′

Ἴδετε ἴδετε ὅτι ἐγώ εἰμι Θεὸς
ὁ ἐν ἐρήμῳ πάλαι ὕδωρ πηγάσας
ἐκ πέτρας τῷ λαῷ μου
τῷ πάλαι μὲν ἐκλεκτῷ
νῦν δὲ ἐβδελυγμένῳ.

Ὠδὴ γ′

Ἐπὶ τὴν πέτραν τῶν ἐντολῶν σου
σαλευθεῖσαν τὴν καρδίαν μου στήριξον
ἵνα κραυγάζω ὥσπερ ἡ Ἄννα·
ἐστερεώθη ἡ καρδία μου
ἐν σοὶ τῷ μόνῳ Θεῷ καὶ δεσπότῃ.

Ὠδὴ δ′

Πρὸ προσώπου σου ὀρῶν
ὁ προφήτης, Χριστέ, Ἀββακοὺμ
τὴν ἐκ τῆς Παρθένου φρικτὴν οἰκονο-
[μίαν
ὡς ἐν ἐκστάσει ἐβόα σοι κραυγάζων·
δόξα τῇ σῇ δυνάμει,
Λόγε, τοῦ πατρὸς ἡ σοφία.

Ὠδὴ ε′

Τῷ φωτὶ τῶν προσταγμάτων σου, σωτήρ,
αὐγασόν με
ἵνα ὀρθρίζων ψάλλω σοι
φῶς καὶ εἰρήνη σὺ ὑπάρχεις.

Ὠδὴ ς′

Ὥσπερ ζάλῃ κυμάτων
κλύδων με κατέλαβε
καὶ βυθίζειν πειρᾶται,
ζωοδότα Χριστὲ ὁ Θεός,
ἀλλὰ δέομαι διάσωσόν με.

Ὠδὴ ζ′

Παῖδες ἐν καμίνῳ
ἑστῶτες μέσον πυρὸς
τῇ δρόσῳ τοῦ Πνεύματος
χοροστατοῦντες ἀνεβόων·
εὐλογητὸς εἶ, Κύριε, καὶ αἰνετὸς
καὶ δεδοξασμένος εἰς τοὺς αἰῶνας.

Ὠδὴ η′

Τὸν **βασιλέα** Χριστὸν
ὃν ὑμνεῖ τὰ χερουβὶμ
καὶ δοξάζει σεραφὶμ
ἀρχαὶ καὶ ἐξουσίαι καὶ ἅπασα πνοὴ
ὑμνεῖτε λαοὶ
καὶ ὑπερυψοῦτε εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ′

Ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν
τῆς δούλης αὐτοῦ
ὁ μόνος ζωοδότης
καὶ πάντων κτίστης καὶ Κύριος
καὶ δι' αὐτῆς ἐπεσκέψατο
τοὺς ἀνυμνοῦντας αὐτὴν
ὡς Θεοῦ μητέρα καὶ μεγαλύνοντας.

295

Ποίημα Στεφάνου Σαββαΐτου

Β φ. 252β

Ὠδὴ α′. Ἦχος βαρύς. Ὁ Εἱρμός.

* Σθένος ὑπεναντίων ἔθραυσε
κραταιῶς ἐν ἰσχύϊ Κύριος
καὶ ἐρρύσατο λαὸν περιούσιον
ὑμνοῦντα καὶ λέγοντα·
τῷ Κυρίῳ ἄσωμεν
τῷ τερατουργοῦντι ἐξαίσια
ὅτι δεδόξασται.

Ὠδὴ γ′

Ὁ οὐρανοὺς στερεώσας τῷ λόγῳ σου,
[Χριστέ,
καὶ τὴν γῆν ἑδράσας ἐπὶ ὑδάτων πολλῶν
καὶ ἡμᾶς στερέωσον
εἰς τὸ θέλημά σου, φιλάνθρωπε.

Ὠδὴ δ′

Τὴν ἐκ μήτρας παράδοξόν σου σάρκωσιν,
Χριστέ, ὁ προφήτης βλέπων ἀνεκραύγαζεν·
ἀπὸ Θαιμὰν ἦξει ὁ Θεὸς
δόξα τῇ δυνάμει σου.

Ὠδὴ ε′

Ῥάβδῳ δυνάμεως
τῇ πανσθενεῖ σου δεξιᾷ στηριζόμενοι
οὐ πεσούμεθα, Κύριε,
ἀλλὰ πεσοῦνται οἱ σὲ μὴ προσκυνοῦντες
Θεὸν εἰρήνης
νεκρῶν καὶ ζώντων κυριεύοντα.

Ὠδὴ ς′

Ἄβυσσος παθῶν
ἐκύκλωσέ μου τὸν λογισμὸν
καὶ εἰς βάθη πταισμάτων ἀπέρριμμαι
ὡς ὁ Ἰωνᾶς σοι κραυγάζω
ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε.

Ὠδὴ ζ′

Σοὶ τῷ παντουργῷ

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

εὐσεβῶς οἱ παῖδες κραυγάζοντες
ἐν τῇ καμίνῳ ἔμελπον·
εὐλογητὸς εἶ, Κύριε λυτρωτά,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὠδὴ η′

Οὐρανοῦ τὸν ποιητὴν
γῆς καὶ πάντων τῶν ἐν αὐτῇ
ἱερεῖς ὑμνεῖτε
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ′

Σὲ τὴν ἀειπάρθενον μητέρα τοῦ ὑψίστου
οἱ γηγενεῖς κατὰ χρέος
ἐν ὕμνοις μεγαλύνομεν.

296

ΑΝΑΤΟΛΙΚΗ [1]

Λ φ. 186β. Β φ. 258α

Ὠδὴ α′. Ἦχος βαρύς. Ὁ Εἱρμός.

* Τὴν ἐπινίκιον ᾠδὴν
ἄσωμεν τῷ Κυρίῳ
ὅτι τὸν Ἰσραὴλ ἐκ δουλείας
Φαραὼ ἐρρύσατο.

Ὠδὴ β′

Ἴδετε ἴδετε ὅτι ἐγώ εἰμι Θεὸς
ὁ ἐν ἐρήμῳ πίλαι ὕδωρ πηγάσας
ἐκ πέτρας τῷ λαῷ μου
τῷ πάλαι μὲν ἐκλεκτῷ
καὶ νῦν ἐδδελυγμένῳ.

Ὠδὴ γ′

Ὁ ἐξ ἀνάρχου πατρός,
Λόγε υἱὲ μονογενές,
φώτισον τὰς καρδίας ἡμῶν.

Ὠδὴ δ′

Εἰσακήκοα, Κύριε,
τὴν ἀκοήν σου καὶ ἐφοβήθην
δόξα τῇ δυνάμει σου.

Ὠδὴ ε′

Ἐκ νυκτὸς ὀρθρίζοντες
σοὶ δόξαν ἀναπέμπομεν,
Κύριε ὁ Θεὸς ἡμῶν,
τὴν σὴν εἰρήνην δὸς ἡμῖν.

Ὠδὴ ς′

Ὡς τὸν προφήτην ἐκ βυθοῦ
ἀνήγαγες Ἰωνᾶν
καμὶὲ σῶτερ ἀνάγαγε
ἐκ βυθοῦ τῶν πταισμάτων μου
καὶ κυβέρνησον τὴν ζωήν μου ὡς φιλάν-
[θρωπος.

(1) Κατὰ τὸν Παρισινὸν Κώδ. 220 C. κατὰ δὲ τὸν Β 32 Λαύρας « Σιναϊτικος ».

Εἱρμὸς ἄλλος

Τοῦ πλήθους τῶν πταισμάτων μου
ὡς Ἰωνᾶν ἐκ τοῦ κήτους ῥῦσαι,
μόνε φιλάνθρωπε.

Ὠδὴ ς′

Τῶν χερουβὶμ ἡνίοχε
καὶ κτίστα τῶν ἁπάντων
ὁ τοὺς παῖδας ἐν καμίνῳ διασώσας
εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὠδὴ ζ′

Τὸν Κύριον πάντα τὰ ἔργα εὐλογεῖτε
ὡς δημιουργὸν καὶ κτίστην τῶν ἁπάντων
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ′

Χαῖρε ἀνερμήνευτε Θεοτόκε·
χαῖρε σκηνὴ πλατυτέρα οὐρανῶν·
χαῖρε παστὰς ἀδιαίρετε·
χαῖρε ἀγνὴ κεχαριτωμένη.

297

ΣΙΝΑΪΤΙΚΗ

Β φ. 253β

Ὠδὴ α′. Ἦχος βαρύς. Ὁ Εἱρμός.

* Ἄσωμεν τῷ παμβασιλεῖ καὶ Θεῷ
ὕμνον ἐπινίκιον
συνελθόντες οἱ πιστοὶ
ὅτι δεδόξασται.

Ὠδὴ γ′

Στερέωσον, Χριστέ, τὴν ἐκκλησίαν σου
δυνάμει καὶ ὅπλῳ
τῷ τοῦ σταυροῦ σου, ἅγιε,
καὶ δώρησαι ἡμῖν, σῶτερ, εἰρήνην.

Ὠδὴ δ′

Εἰσακήκοα, Κύριε, τὴν ἀκοήν σου
καὶ ἐδόξασα τὴν δυναστείαν σου,
σωτὴρ παντοδύναμε.

Ὠδὴ ε′

Τὴν σὴν εἰρήνην δὸς ἡμῖν,
υἱὲ Θεοῦ σωτὴρ ἡμῶν,
ἄλλον γὰρ οὐκ οἴδαμεν
πλὴν σοῦ Θεὸν καὶ φιλάνθρωπον.

Ὠδὴ ς′

Ἐβόησα ἐν ὅλῃ τῇ καρδίᾳ μου
πρὸς σὲ τὸν μόνον εὔσπλαγχνον
ῥῦσαί με ἐκ φθορᾶς ὁ Θεὸς
ὁ σωτήρ μου καὶ σῶσόν με.

Ὠδὴ ζ′

Ἐν καμίνῳ τῇ χαλδαϊκῇ
πυρπολούμενοι παῖδες
ἐκραύγαζον λέγοντες·
ὑμνεῖτε, εὐλογητὸς εἶ.

Ὠδὴ η′

Τὸν ἐν καμίνῳ ὀφθέντα τοῖς περὶ Ἀζαρίαν
ἐν Βαβυλῶνι παισὶ
Χριστὸν ὑμνεῖτε λαοὶ
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ′

Σὲ τὴν μακαρίαν ἐν γυναιξὶ
καὶ εὐλογημένην ἐν γενεαῖς γενεῶν,
Θεοτόκε ἄχραντε,
ἐν ὕμνοις μεγαλύνομεν.

298

ΣΙΝΑΪΤΙΚΗ

Β φ. 254α

Ὠδὴ α′. Ἦχος βαρύς. Ὁ Εἱρμός.

* Τῷ βοηθήσαντι Θεῷ
ἐν Αἰγύπτῳ τῷ Μωσῇ
αὐτῷ μόνῳ ἄσωμεν
ὅτι δεδόξασται.

Ὠδὴ β′

Ἴδετε ἴδετε τὰ μεγαλεῖα Θεοῦ
ὅτι αὐτός ἐστι παντουργὸς
καὶ σωτὴρ πάσης κτίσεως.

Ὠδὴ γ′

Στερέωμά μου γενοῦ
καὶ καταφυγή μου
ὁ στερεώσας οὐρανούς,
Χριστὲ ὁ Θεὸς ἡμῶν.

Ὠδὴ δ′

Ἐξέστη Ἀββακοὺμ
τοῖς φρικτοῖς θαυμασίοις τῶν ποιημάτων
[σου
καὶ τρόμῳ ἀνεβόα·
κατενόησα τὰ ἔργα σου
καὶ φρίττων ἐδόξασα.

Ὠδὴ ε′

Ὁ ποιήσας φῶτα μεγάλα μόνος Θεὸς
κατεύγασον τὴν καρδίαν μου ὡς ἀγαθὸς
καὶ τὸν ῥύπον τῆς ψυχῆς μου καθάρισον,
[Κύριε.

Ὠδὴ ς′

Ἐν τῷ κήτει τὸν Ἰωνᾶν ἐλυτρώσω,
[Κύριε,
καμὲ δεόμενον τοῦ κήτους τῶν ἀνομιῶν μου
ἐξελοῦ καὶ σῶσόν με.

Ὠδὴ ζ′

Τῆς καμίνου τὴν φλόγα
οἱ παῖδες πίστει κατέσβεσαν
εὐλογητὸς εἶ βοῶντες
ὁ τῶν πατέρων καὶ πάντων Θεός.

Ὠδὴ η′

Χριστὸν τὸν Θεὸν ἡμῶν ὑμνεῖτε παῖδες
ἱερεῖς εὐλογεῖτε
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ′

Σὲ τὴν ἀδιόδευτον πύλην
ἣν οὐδεὶς διῆλθε, Παρθένε,
εἰμὴ Θεὸς ὁ ἐκ σοῦ σαρκωθεὶς
πνευματικαῖς μελῳδίαις
καὶ ἄσμασι μεγαλύνομεν.

299

ΣΙΝΑΪΤΙΚΗ

Β φ. 254β

Ὠδὴ α′. Ἦχος βαρύς. Ὁ Εἱρμός.

* Προστάγματι δεσποτικῷ
ὁ Μωυσῆς ἐν τῇ θαλάσσῃ πάλαι
λαὸν διεβίβασε πικρᾶς δουλείας
Φαραωνίτας δὲ κατέκλυσε θείᾳ δυνάμει·
τῷ Κυρίῳ ἄσωμεν
τῷ θαυμαστὰ τέρατα ποιήσαντι.

Ὠδὴ γ′

Στήριξον συνέτισον
τὴν καρδίαν μου, Χριστέ,
εἰς τὸ βοᾶν σοι· ἅγιος
οὐκ ἔστι πλήν σου, Κύριε.

Ὠδὴ δ′

Τὸ ἄφραστον μυστήριον
τῆς σῆς οἰκονομίας
ἀκηκοὼς ὁ προφήτης
ἐξεστηκὼς ἀνεβόα·
ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσεται
[Χριστὸς
σαρκωθεὶς ἐκ Παρθένου ὡς ἄνθρωπος.

Ὠδὴ ε′

Λόγε Θεοῦ φωτοδότα
εἰρήνην δὸς ἡμῖν
ὅτι ἐκτός σου ἄλλον οὐκ οἴδαμεν
καὶ τῷ φωτὶ τῶν σῶν προσταγμάτων
φώτισον ἡμᾶς τοὺς ὑμνοῦντάς σε.

Ὠδὴ ς′

Ἐξομολογήσεως προσαιρόμεν ἔντευξιν
ἐν ναῷ ἁγίῳ σου, Κύριε,
καὶ μετὰ φρονῆς αἰνέσεως βοῶμεν·
σῶσον ἡμᾶς ὁ Θεὸς ὡς διέσωσας
τοὺς ὑμνοῦντας τὴν πολλὴν φιλανθρωπίαν
[σου.

Ὠδὴ ζ′

Ἀχθοφόρος βασιλεὺς
τῷ θηριώδει τρόπῳ δείκνυται·
οὗς γὰρ φλέγειν ὤετο
θεολόγους ἑώρα
κραυγάζοντας ἀκαταπαύστως·
ὁ ὑπερυψούμενος τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

Ὠδὴ η'

Παίδων θίασος
δόγμα ἠλόγησε παράνομον
βασιλέως ἀσεβοῦς·
τῇ κτίσει γὰρ οὐχ εἵλοντο
λατρεῦσαι παρὰ τὸν κτίσαντα·
διὸ καὶ εἰς φλογίζουσαν κάμινον
ἐμβληθέντες ἐκραύγαζον βοῶντες·
τὰ ἔργα πάντα τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Ἁγνὴ βεβήλου γεύσεως διέμεινας
Εὔας ζοφερᾶς·
ἥττημα, Θεοτόκε,
ἰάσω κυήσασα
Λόγον μακάριον·
νέον ξένον ὁρῶμεν παιδίον·
ῥῦσαι σώζουσά τε σοὺς ὑμνολόγους
φωτισμὸν χορηγοῦσα
ψυχαῖς ὡραιότατον.

300

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Κυπριανοῦ μοναχοῦ

Β φ. 255β

Ὠδὴ α'. Ἦχος βαρύς. Ὁ Εἱρμός.

* Ἡ ἀπαράλλακτος εἰκὼν τοῦ πατρὸς
καὶ οὐσία καὶ δύναμις
ἐν ἰκρίῳ παγεῖσα σταυροῦ
τὸν ἐξ ἐθνῶν λαὸν διεβίβασεν
ἐκ δουλείας τοῦ νοητοῦ Φαραὼ
εἰς βασιλείαν οὐρανῶν
ὅτι δεδόξασται.

Ὠδὴ γ'

Τῷ στερεώσαντι
τοὺς οὐρανοὺς ἐν συνέσει
καὶ τὴν γῆν ἐπὶ ὑδάτων ἑδράσαντι
καὶ ἑκουσίως πτωχεύσαντι
καὶ διὰ πάθους τοῦ σταυροῦ
τὸ ἀνθρώπινον σώσαντι
Χριστῷ τὸν ὕμνον, πιστοί, προσάξωμεν.

Ὠδὴ δ'

Νοῦν ἐγκαθαγνίσας
καὶ σῶμα χαλινώσας
ὁ θεηγόρος Ἀββακοὺμ
τὴν ἔλευσίν σου, Κύριε,
προμηνύων ἐκραύγαζεν
ὅτι Θεὸς ἀπὸ Θαιμὰν ἐπελεύσεται.

Ὠδὴ ε'

Σωτηρίας ἐναργοῦς ἡμῖν
τὸ θεῖον πάθος σου πέφυκε·
δι' αὐτοῦ γὰρ ζοφερὸν
τῆς κατάρας, σῶτερ, ἠφάνισται
καὶ ζωῆς ἥλιος
καὶ εἰρήνης ἐκ νεκρῶν ἀνέτειλας.

Ὠδὴ ς'

Τὰ δεσμά σου
καὶ τὸ ἑκούσιον πάθος σου, Κύριε,
Ἰσαὰκ ἐν τῷ ὄρει
ἀνενεχθεὶς προετύπωσεν·
ἀλλ' ὡς ἐκεῖνον ἐκ τῆς σφαγῆς
τῆς μαχαίρας ἐρρύσω, Χριστέ,
καὶ ἡμᾶς ἐκ πολεμίων
κινδύνων διάσωσον.

Ὠδὴ ζ'

Ἐν εὐήχῳ ὑμνῳδίᾳ ποτὲ
ἐν καμίνῳ νεανίαι σοφοὶ
τῆς Τριάδος τὰ ἄσματα μελῳδοῦντες
μουσικῶν ἀντιθέων τὰ ψελλίσματα
ὡς ἐν φληνάφῳ ἤχῳ διαπορθμεύοντες
ἐβόων ἐμφανῶς·
ὁ Θεὸς τῶν πατέρων εὐλογημένος
ὑπάρχεις καὶ ὑπερένδοξος.

Ὠδὴ η'

Αἰσχίστου προστάγματος
οἱ Ἀβραὰμ ἀπόγονοι καταπτύσαντες πάλαι
ἐν Βαβυλῶνι καὶ Θεὸν ὁμολογοῦντες
ἐν μέσῳ τοῦ πυρὸς ἀνεβόησαν·
εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου
ἀπαύστως τὸν Κύριον.

Ὠδὴ θ'

Ἱερεῖον λογικὸν
νοείσθω ἡ Παρθένος
καὶ πυρίμορφος ναὸς
φρικτῆς οἰκονομίας
ἐν ᾧ ὁ Χριστὸς ἀρχιερεὺς γενόμενος
κατέβαψεν ὡς πορφύραν νοητὴν
τῷ θείῳ αἵματι τῆς σαρκὸς τὴν στολὴν
ἥν περ ἐφόρεσεν ἀμιάντως
ζωώσας γένος ἀνθρώπινον.

301

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Κυπριανοῦ μοναχοῦ

Β φ. 256β

Ὠδὴ α'. Ἦχος βαρύς. Ὁ Εἱρμός.

* Ἡ ῥάβδος τοῦ Μωυσέως
διέρρηξε θάλασσαν
καὶ τῶν ὑπεναντίων κατεκάλυψε τὰ ἅρματα
σταυροτύπως καὶ τὴν δύναμιν.

Ὠδὴ β'

Ἴδετε ἴδετε ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν
ὁ σταυρῷ προσηλωθεὶς

καὶ ἐν μνημείῳ οἰκήσας
καὶ τοῦ ἅδου καθελὼν τὴν ἰσχὺν
καὶ θανάτῳ θανατώσας θάνατον
καὶ πάντας ἐκ τῆς φθορᾶς
ἐλευθερώσας ὡς Θεός.

Ὠδὴ γ'

Νεκρωθεὶς ἐπὶ ξύλου
ἡ τοῦ πατρὸς οὐσία καὶ δύναμις
νεκρωθεῖσαν τὴν φύσιν
πρὸς ζωὴν ἐκαίνισας
στερεώσας, Χριστέ, τῇ ἐπιγνώσει σου.

Ὠδὴ δ'

Μέσῳ δύο ζώων ἐγνώσθης
ἐν ἰκρίῳ σταυροὔμενος
καὶ ἐτάκησαν ἔθνη
καὶ βουνοὶ ἐτρόμαξαν
περιζωννύοντός σου δύναμιν
τὴν πρωτόπλαστον.

Ὠδὴ ε'

Ἁμαρτίας μοι ἀχλὺς περιπέπτωκε, Κύριε,
καὶ ζοφερὸς θάνατος τῆς ἀπογνώσεως·
ἀλλ' ὡς τὸν Ἡσαΐαν τῷ ἄνθρακι μο-
[λοῦντα
φωταγώγησόν με τοῦ ποιεῖν τὰ σὰ θελή-
[ματα.

Ὠδὴ ς'

Ὁ τῆς σῆς ἐν Ἰωνᾷ ταφῆς τὸν τύπον,
σωτήρ, προδιαγράψας
καὶ τοῦτον ἀλώβητον ἑλκύσας τοῦ θηρὸς
καὶ τοῦ βυθοῦ τῶν πταισμάτων ρυ-
[σάμενος
ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε.

Ὠδὴ ζ'

Σταυροῦ τῷ τύπῳ σημειούμενοι
παῖδες ἠγάλλοντο
δροσοβόλῳ πνεύματι θαλπόμενοι
ἐν μέσῳ φλογὸς καιομένης
καὶ οὕτως ἔψαλλον
εὐλογητὸς ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Ὡς πρὸς ἄϋλον ζωὴν ἐπαναπαυόμενοι
οἱ Ἀβραὰμ ἀπόγονοι
ἐν μέσῳ πυρὸς ἀνεβόων σοι·
τοῦ ἐλέους, Κύριε, καὶ τῆς χρηστότητος
τῆς σῆς τὰ πάντα πεπλήρωται.

Ὠδὴ θ'

Ὑμνοῦμέν σε, ἄχραντε εὐλογημένη,
ὡς τεῖχος ἀπόρθητον
καὶ προστασίαν πάντων τῶν ὀρθοδόξως
τιμώντων σου τὸν τόκον
καὶ πιστῶς μεγαλυνόντων τὰ σὰ θαυμάσια.

302

Ποίημα Κυπριανοῦ μοναχοῦ

Β φ. 257β

Ὠδὴ α'. Ἦχος βαρύς. Ὁ Εἱρμός.

* Θείῳ Πνεύματι τὴν θάλασσαν
ὡς ξηρὰν διέρρηξας
ὁδοποιῶν τῷ λαῷ τρίβον σωτηρίας
ἄδοντι ἆσμα σοὶ τῷ μόνῳ Θεῷ.

Ὠδὴ γ'

Ὡς ἐν πέτρᾳ στερρᾷ τῶν ἐντολῶν σου
στερέωσον τὴν ψυχήν μου, ἀγαθέ,
καὶ δώρησαί μοι ἰσχὺν
πρὸς ἐχθροὺς ἑκάστοτε
ὅτι πλήν σου οὐκ ἔστι Θεός, ἀθάνατε.

Ὠδὴ δ'

Κύριος ἐν Σιὼν ἀνατελεῖ
ἐν εὐπρεπείᾳ ὡραιότητος αὐτοῦ
εἰς σωτηρίαν βροτῶν·
δοξάσατε πᾶσαι αἱ φυλαὶ τῆς γῆς
τὸν ἐλθόντα λῦσαι
τοῦ κόσμου τὸ χειρόγραφον.

Ὠδὴ ε'

Καθῆκέ με ὁ ἐχθρὸς
ἐν νυκτὶ τῶν κακῶν μου ἐν ἀπογνώσει·
ἀλλὰ δέομαί σου
φώτισόν μου τὴν ψυχήν
ἵνα ὀρθρίζων δοξάζω σε, μόνε σωτήρ.

Ὠδὴ ς'

Δεόμενος τῆς χρηστότητος τῆς σῆς
ἐν κητώοις σπλάγχνοις ὁ Ἰωνᾶς, ἀγαθέ,
ἐβόα· ἐκ φθορᾶς ἀνάγαγε
τὴν ζωήν μου ἵνα δοξάζω σε.

Ὠδὴ ζ'

Σταυροῦ τῷ τύπῳ σημειούμενοι
παῖδες ἠγάλλοντο
δροσοβόλῳ πνεύματι θαλπόμενοι
ἐν μέσῳ φλογὸς καιομένης
καὶ οὕτως ἔψαλλον·
εὐλογητὸς ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Σοφία Θεοῦ ἐκκέχυται
ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ
καὶ παισὶν ἐν καμίνῳ
τοῦ πυρὸς ψυχὰς κατεπύρσευσεν
εὐλογεῖτε μέλπουσι
τὸν ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι
τὸ πᾶν συστησάμενον.

Ὠδὴ θ'

Ἄφθορε κόρη Μαρία Θεοτόκε,
ἡ τὸν ποιητήν σου γεννήσασα
ἄνευ σπέρματος ἀνδρὸς
εἰς ἡμῶν προστασίαν

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

οἱ πιστοί σε ἀπαύστως
ἐν ὕμνοις μεγαλύνομεν.

303

Ποίημα Ἐλισσαίου μοναχοῦ

Λ φ. 187β

Ὠδὴ α'. Ἦχος βαρύς. Ὁ Εἱρμός.

* Ἄδειν ᾠδὴν καινήν σοι,
Χριστέ, με διέγειρον
τῇ ἀνεκλαλήτῳ σου δόξῃ
ῥθέγξοιτο ἡ γλῶσσά μου
πάσας τὰς αἰνέσεις σου
καὶ τὰ χείλη μου ὑμνήσειε
τὴν σὴν φιλανθρωπίαν.

Ὠδὴ β'

Ἴδετε ἴδετε λαός μου
ὅτι μόνος ἐν θεοῖς ὑπάρχω δεδοξασμένος
καὶ ἐπιστρέφω καρδίας παρανομούντων
εἰς ἐπίγνωσιν ἐμήν
καὶ φῶς πηγάζω τῷ κόσμῳ τῆς ἐπιγνώσεως.

Ὠδὴ γ'

Ἴχνεσι καρδίας εὐόλισθον ὄντα με
ὑπὸ τοῦ ψυχοφθόρου ἐχθροῦ
ἐπὶ πέτραν ἐντολῶν σου συστήσας
στερέωσόν με, Κύριε.

Ὠδὴ δ'

Τὴν ἄρατόν σου ἔλευσιν
τὴν εἰς ἐμὴν ἀνόρθωσιν
τοῖς νοεροῖς κατανοήσας ὀφθαλμοῖς
Ἀββακοὺμ ὁ θεόπτης ἐβόα·
ἥξει Θεὸς ἀπὸ Θαιμάν
καὶ σώσει πάντας τοὺς χριστοὺς αὐτοῦ.

Ὠδὴ ε'

Ὁ τὰ πρὶν ἐσκοτισμένα φωτίσας
καὶ συναγαγὼν τὰ ἐσκορπισμένα
τῷ φωτὶ τοῦ προσώπου σου,
Χριστέ, με καθοδήγησον.

Ὠδὴ ς'

Ἡ τοῦ βίου θάλασσα
κυμαινομένη ἐπ' ἐμὲ
ὑποβρύχιον, Χριστέ
σῶτερ, πεποίηκεν·
ἀλλὰ μνησθεὶς τοῦ ἐλέους σου
ὡς τὸν προφήτην Ἰωνᾶν
ἐκ βυθοῦ τῶν πταισμάτων μου λύτρωσαι.

Ὠδὴ ζ'

Ἀβραμιαῖοι ἀπόγονοι ἐν Βαβυλῶνι ποτὲ
μένος τυραννικὸν
δι' εὐσέβειαν περιῤῥονήσαντες ἔφαλλον·
εὐλογητὸς εἶ, λυτρωτὰ
Θεὲ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Οὐ κατεφλέχθη βάτος
προσομιλήσασα πάλαι πυρί·
καὶ θεόφρονες παῖδες
εἰς δροσίζουσαν αὔραν
ἑαυτοῖς πῦρ χαλδαϊκὸν
μετεποιοῦντο φάλλοντες·
τὰ ποιήματα πάντα ὑμνεῖτε τὸν Κύριον.

Ὠδὴ θ'

Ῥητορίαις ἐνθέοις
ἐκ καθαρᾶς καρδίας, πιστοί,
τὴν ἀλοχεύτως τεκοῦσαν
τὸν Ἕνα τῆς Τριάδος Χριστὸν
τὴν ὄντως Θεοτόκον
ἀκαταπαύστως μεγαλύνομεν.

304

[ΑΝΑΣΤΑΣΙΜΟΣ]

Λ φ. 188β

Ὠδὴ α'. Ἦχος βαρύς. Ὁ Εἱρμός.

* Τῷ ὑποβρύχιον ποιήσαντι
Φαραὼ σὺν δυνατείᾳ
καὶ τὸν δῆμον Ἰσραὴλ
ἀβρόχως ἐν θαλάσσῃ ὁδηγήσαντι
ἄσωμεν Χριστῷ τῷ Θεῷ
ὅτι δεδόξασται.

Ὠδὴ β'

Πρόσεχε οὐρανὲ καὶ λαλήσω
καὶ γῆ ἐνωτίζου τὰ ῥήματά μου
ὅτι ὄνομα Κυρίου ἐκάλεσα·
διὰ τοῦτο δῶμεν αὐτῷ μεγαλωσύνην.

Ὠδὴ γ'

Φιλάνθρωπε,
τῆς ἐν σοὶ ἀξιώσας με σωτηρίας
καὶ πρὸς τὸν ὄρθρον ἐκτενῶς
διέγειρόν με ψάλλοντα·
οὐκ ἔστι δίκαιος ὡς ὁ Θεὸς ἡμῶν
καὶ οὐκ ἔστιν ἅγιος πλὴν σοῦ, Κύριε.

Ὠδὴ δ'

Εἰσακήκοα τὴν ἀκοήν σου,
Κύριε, καὶ ἐφοβήθην·
κατενόησα τὰ ἔργα σου καὶ ἐξέστην
ὅτι διὰ τοῦ σταυροῦ
ἔλυσας τὸν θάνατον
ζωὴν ἡμῖν δωρησάμενος.

Ὠδὴ ε'

Τὸν τοῦ φωτὸς χορηγὸν
φῶς τε ὄντα ὑπάρχοντα,
Χριστέ, σὲ ἀνυμνοῦμεν ὀρθρίζοντες·
ἐρρύσω τὴν ζωήν,
δέσποτα, ἡμῶν ὡς εὔσπλαγχνος.

Ὠδὴ ς'

Τὴν ζωήν μου ἀνάγαγε
ὡς ἐκ κήτους Ἰωνᾶν
πρὸς σὲ τὸν φιλάνθρωπον.

Ὠδὴ ζ'

Θεομαχοῦντα ἐλέγχων τὸν τύραννον
ὀρθῆς ἐν πυρὶ
ἐξαιρούμενος παῖδας κραυγάζοντας·
ὑπερύμνητε, εὐλογητὸς εἶ, Κύριε
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Ἐφρυμὴ τυράννου
φλόγα καμινιαίαν ἐξέμηνεν·
ἀλλ' ᾠδὴν ᾐδέσθη τὴν ἐν Σιὼν
παίδων ὁμοφρονούντων
τὸν παντάνακτα εὐλογεῖτε
οἱ οὐρανοὶ Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Μήτηρ Σιὼν ἐρεῖ ἄνθρωπος
ὁ θεμελιῶν αὐτὴν ὕψιστος καὶ Θεός·
καὶ γὰρ διπλοῦς γέγονεν
ἀῤῥιάστως σαρκωθεὶς ἐκ σοῦ, Θεοτόκε
κεχαριτωμένη ἄχραντε,
καὶ σὲ ἐπαξίως μεγαλύνομεν.

305

[ΑΝΑΣΤΑΣΙΜΟΣ]

Λ φ. 190α

Ὠδὴ α'. Ἦχος βαρύς. Ὁ Εἱρμός.

* Ἀλμυραίῳ θανάτῳ ἐκάλυψε
τὸ Αἰγύπτιον φῦλον ἡ κραταιὰ δεξιὰ
καὶ βαδίζειν ἀβρόχως παρεῖχε
τὸ ἐρυθραῖον πέλαγος τοῖς υἱοῖς Ἰσραὴλ
ὁδηγοῦσα πρὸς θεογνωσίας γλυκασμὸν
ἄσμα ἀναπέμπουσι τῷ λυτρωτῇ
καὶ μόνῳ δημιουργῷ Θεῷ τῶν ὅλων.

Ὠδὴ β'

Καταβήτω ὡς δρόσος τὰ ῥήματά μου
ὅτι ὄνομα Κυρίου ἐκάλεσα
τοῦ καινουργήσαντος πᾶσαν τὴν κτίσιν
τῇ δυνάμει αὐτοῦ.

Ὠδὴ γ'

Ῥεμένων μου βημάτων ἀστάτῳ νοΐ
καὶ δυσμενοῦς βέλεσιν ἐκλελοιπότος
σύ μου γενοῦ, Κύριε, προσφύγιον
ἄσυλον καὶ βάσις ἀκράδαντος
τῷ φρουρίῳ με σκέπε
τῆς σῆς ἀγαθότητος.

Ὠδὴ δ'

Τὴν ἀκοὴν τῆς δυναστείας σου, Χριστέ,
ἀκήκοα καὶ ἐφοβήθην
κατενόησα τὰ ἔργα σου
καὶ ἐξέστην, Κύριε.

Ὠδὴ ε'

Φῶς τὸ ἐκ φωτὸς
ἡ ἀπαράλλακτος εἰκὼν
τῆς θεαρχικῆς ὑποστάσεως
τὸ πατρικὸν ἀπαύγασμα
ἡ ὄντως σοφία
καὶ ὁμότιμος δόξα
τοῦ πληροῦντος τὰ πάντα ἐν πᾶσι
τὰς καρδίας φώτισον
τῶν ὀρθριζόντων πρὸς τὴν σὴν ἐπί-
γνωσιν.

Ὠδὴ ς'

Θάλαμος γέγονεν ἡ κοιλία τοῦ κήτους
τῷ προφήτῃ Ἰωνᾷ
τῷ σῷ προστάγματι, Κύριε,
ἐξ οὗ ἀνεβόα·
ἀναβήτω ἡ ζωή μου
ἐκ φθορᾶς ὁ Θεὸς
πρὸς τὸν ναόν σου τὸν ἅγιόν σου.

Ὠδὴ ζ'

Ὑπεφέρετο πάλαι
πνεῦμα τοῦ Θεοῦ τῇ ἀβύσσῳ
θάλπον τὰ πάντα
τῆς πολυύδρου ναμάτων σηπεδόνος
καὶ ἐν καμίνῳ διασῶζον τοὺς παῖδας·
δρόσον τὴν φλόγα μετεσκευάζετο
ὁ ὑπερυψούμενος Λόγος
ἐν πατρὶ συνανάρχῳ τοῖς κραυγάζουσιν
εὐλογητὸς εἶ, Κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Ὄλβιοι νεανίαι
οὐ χρυσὸν εἰς γῆν κατορωρυχότες
ἀλλ' ἐν καμίνῳ Χριστὸν ἐμπορευσάμενοι
πολυπλασίως τὸ τάλαντον
ὡς εὐγνώμονες οἰκέται ἀπεκτήσαντο
εὐχαρίστως βοῶντες·
εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Οὐ γνωμικὸν
θέλημα φαμὲν ἔχειν
ἀλλὰ φυσικὸν
ἐξ ἀπειράνδρου κόρης σεσαρκωμένον
τῆς ὄντως Θεοτόκου
καὶ ἱκετευούσης ἐκ σπλάγχνων τὸν εὔσπλαγ-
χνον
τὸν φύσιν τῷ γενάρχῃ δόντα ἀναμάρτητον
καὶ θέλησιν αὐτεξούσιον
Χριστὸν τὸν Θεὸν μεγαλύνομεν.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

306

ΕΙΣ ΤΟΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ ΔΗΜΗΤΡΙΟΝ

Ποίημα Κυπριανοῦ μοναχοῦ

Α φ. 191α. Β φ. 258α

Ὠδὴ α'. Ἦχος βαρύς. Ὁ Εἱρμός.

* Ἄστατον πέλαγος
Μωσῆς τῇ ῥάβδῳ διέρρηξε
καὶ λαὸν Ἰσραηλίτην διέσωσεν
ἄδοντα ἆσμα καινὸν τῷ Θεῷ.

Ὠδὴ β'

Ἴδετε ἴδετε τὰ μεγαλεῖα τοῦ Θεοῦ
ὅτι αὐτός ἐστι παντουργὸς
καὶ σωτὴρ πάσης κτίσεως.

Ὠδὴ γ'

Ἰσχὺς κραταιὰ
τῶν ἐπὶ σοὶ πεποιθότων ὑπάρχων, Κύριε,
στερέωσόν με δέομαι
ἐπὶ τὴν πέτραν τῶν ἐντολῶν σου
ἵνα ὡς ἡ Ἄννα πάλαι βοῶ κἀγώ σοι·
ἐν Κυρίῳ Θεῷ μου
εὐφράνθη ἡ καρδία μου.

Ὠδὴ δ'

Ἀνάρχου γεννήτορος υἱὸς συνάναρχος
ἐξ ἁγίας Παρθένου
ἐπ' ἐσχάτων τῶν χρόνων
σεσαρκωμένος ὤφθη,
ὁ προφήτης Ἀββακοὺμ ἀνεβόα,
εἰς σωτηρίαν λαοῦ σου, φιλάνθρωπε.

Ὠδὴ ε'

Τῆς ζοφερᾶς, ἀγαθέ,
ἀπάτης με τοῦ ἐχθροῦ ἐξάρπασον
καὶ πρὸς τὸ φῶς τῶν θείων ἐντολῶν σου
καταύγασον τῆς ψυχῆς μου τὰς κόρας
ἵνα ὀρθρίσας αἰνέσω
τῆς εἰρήνης σε, Χριστέ, τὸν αἴτιον.

Ὠδὴ ϛ'

Νεύσει γεηρᾷ
κατέδυ τὸ πνεῦμά μου εἰς ἄβυσσον
καὶ παθῶν τυραννίδι ὠθούμενος
πρὸς ἀπόγνωσιν, Χριστέ,
ἀλλὰ δέομαί σου
ὡς Ἰωνᾶς ἐκ κήτους γαστρὸς
τὴν ζωήν μου, ἀγαθέ,
ἐκ φθορᾶς νοσημάτων ἀνάστησον.

Ὠδὴ ζ'

Ἄγαλμα ξοανικὸν φαυλίσαντες
καὶ νόμον ἄσεμνον
τῇ σοφίᾳ αὐτῶν οἱ μακάριοι παῖδες
τὸν νόμον προτείναντες Χριστοῦ τοῦ Θεοῦ
ἀνεβόων ψάλλοντες·
ὑπερύμνητος ἐν πᾶσιν ὑπάρχει
ὁ συνέχων τὸ πᾶν.

Ὠδὴ η'

Οὐρανόφρονες παῖδες
ἐν Βαβυλῶνι αἰχμάλωτοι
ἐν καμίνῳ βληθέντες
σὺν τοῖς σαραβάροις
καὶ κνήμεσι μελῳδοῦντες ἔψαλλον·
τῷ ἐπομβρίσαντι Θεῷ
δρόσον ἐν πυρὶ νοερῷ
εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Τὴν τιμιωτέραν τῶν ἀχράντων σεραφὶμ
ὑμνήσωμεν ὡς Παρθένον καὶ ἁγνὴν
καὶ τροφὸν τῆς σωτηρίας ἡμῶν·
αὕτη γὰρ μόνη ἐν γυναιξὶ
πεφανέρωται μήτηρ ἀπείρανδρος
ὡς τεκοῦσα σαρκὶ
τοῦ πατρὸς τὸ ἀπαύγασμα·
διὸ συμφώνως ἅπαντες οἱ πιστοὶ
τὸν ἐξ αὐτῆς σαρκωθέντα
Χριστὸν μεγαλύνομεν.

307

Α φ. 192α

Ὠδὴ α'. Ἦχος βαρύς. Ὁ Εἱρμός.

Ἐγχθονίους ὁ Ἰσραὴλ
βυθοῦ πυθμένας ἰδὼν
ἀβρόχῳ ἆσμα ποδὶ
διεπέρασε μέλπων·
τοὺς τριστάτας ποντώσας γὰρ ἔκλυσεν.

Ὠδὴ β'

Ἔγνωμεν ὅτι μόνος ὑπάρχεις
δεδοξασμένος Θεὸς
ἐν ἐρήμῳ μαγναδοτήσας τὸν Ἰσραὴλ
καὶ λυτρωσάμενος αὐτὸν
ἐξ Αἰγύπτου δουλείας
τῇ παναγάθῳ εὐσπλαγχνίᾳ
καὶ δυνάμει σου.

Ὠδὴ γ'

Ὁ πηξάμενος τὸν ἔνδον κατακαυθέντα μου
πάθεσιν ἄνθρωπον
ἀνελκύσας, Χριστέ,
τῇ ἀσείστῳ τῆς πίστεως πέτρᾳ στερέωσον.

Ὠδὴ δ'

Θείῳ προφανῶς Ἀββακοὺμ
καθαρθεὶς Πνεύματι
δύο ζώων τὴν μεταξύ σου
παρουσίαν μεμάθηκε·
τρόμῳ δὲ συσχεθεὶς, Χριστέ μου,
τὴν ἀκοὴν τῶν θαυμάτων ἀκηκοώς σου,
ἐκραύγαζε, πεφόβημαι.

Ὠδὴ ε'

Νυκτί με ἀχλυωθέντα παθῶν
καταύγασον φῶς τὸ ἀπρόσιτον ἀειρό-
[μενον
ἵνα ὀρθρίζων κραυγάζω
φῶς καὶ εἰρήνη σου τὰ προστάγματα.

Ὠδὴ ϛ'

Γαστὴρ ὀλοφωΐου θηρὸς
θαλάσσης σύνοικον Ἰωνᾶν
δεξαμένη ἀπήμεσε·
τῷ ἀφεγγεῖ δὲ τῆς καταδύσεως γνόφῳ
τριήμερος νυκτωθεὶς
καὶ φρενῶν μὴ ἐκστὰς
ἀναβήτω ἐκ φθορᾶς, ἀνεβόα,
πρὸς σέ, Κύριε, ἡ ζωή μου
ὁ Θεὸς τῶν δυνάμεων.

Ὠδὴ ζ'

Βαβυλῶνος ἀνόσιον τυράννου μέθεξιν
οἱ τρεῖς μακάριοι παῖδες ἀποκρουσάμενοι
τῇ αἰρούσῃ πρὸς ὕψος μετέωρον
φλόγα καμίνῳ πεπεδημένοι ἐνεβλήθησαν·
διὸ δροσιζόμενοι ἔψαλλον λέγοντες·
ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας.

Ὠδὴ η'

Αἰχμαλώτους τὸν κατέχοντα
δι' ἀρετῆς περιφρονήσαντες Δαυὶδ
οἱ ἀπόγονοι ἔμπαλιν κατεδουλώσαντο·
τοὺς ὑπ' αὐτὸν γὰρ τὸ πῦρ
κατατρώξαν θεώμενος ἔλεγεν·
εὐλογεῖτε τὰ ἔργα πάντα τὸν Κύριον
κτίσις καὶ πᾶσα πνοὴ
ὡς δεδοξασμένον εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Ἐπαξίως πειρωμένη σε γλῶσσα
ὑμνεῖν, ὦ Παρθένε, οὐχ οἷα τε·
ἐν σοὶ αἱ φύσεις κεκαινοτόμηνται γὰρ
τῇ τεκούσῃ τὸν φυτουργὸν τῆς κτίσεως·
τῆς ἀρᾶς ὅθεν ῥυσθέντες τῆς πατρώας διὰ
[σοῦ
σὲ πάντες μεγαλύνομεν.

308

ΑΝΑΤΟΛΙΚΗ

[Ποίημα Γεωργίου Ἀνατολικοῦ]

Β φ. 259α

Ὠδὴ α'. Ἦχος βαρύς. Ὁ Εἱρμός.

* Τῷ ἐκ δουλείας λυτρωσαμένῳ Ἰσραηλίτας
καὶ ἐξ εἰδώλων τὰ ἔθνη τὰ πεπλανημένα
ἄσωμεν Χριστῷ τῷ Θεῷ
ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ γ'

Ὁ στερεώσας κατ' ἀρχὰς τοὺς οὐρανοὺς
καὶ τὴν γῆν ἐπὶ ὑδάτων ἑδράσας
ἐν ἀσαλεύτῳ με πίστει,
Χριστέ, στερέωσον.

Ὠδὴ δ'

Εἰσακήκοα τὴν ἀκοήν σου,
Κύριε, καὶ ἐφοβήθην
κατενόησα τὰ ἔργα σου καὶ ἐξέστην
ὅτι διὰ τοῦ σταυροῦ
ἔλυσας τὸν θάνατον
ζωὴν ἡμῖν δωρησάμενος.

Ὠδὴ ε'

Ὀρθρίζοντες ὑμνοῦμέν σε,
Χριστὲ ὁ Θεὸς ἡμῶν
ὅτι σαρκωθεὶς ἐκ τῆς Παρθένου
ἐφώτισας καὶ ἔσωσας
ἡμᾶς ὡς φιλάνθρωπος.

Ὠδὴ ϛ'

Ἐσχάτη ἄβυσσος ἁμαρτημάτων
ἐκύκλωσέ με, φιλάνθρωπε,
καὶ ἐκλείπει ἡ ψυχή μου·
ἀλλ' ὡς τὸν προφήτην ἐρρύσω
ἐκ βυθοῦ κατωτάτου
ἀνάγαγε, σωτήρ, καὶ σῶσόν με.

Ὠδὴ ζ'

Ὁ ἐν καμίνῳ δροσίσας τοὺς ὁσίους παῖδας
καὶ ἡμᾶς ἀναψύχων ἐκ τῆς φλογὸς τῶν πα-
[θῶν
ὑπερύμνητος εἶ
καὶ δεδοξασμένος εἰς τοὺς αἰῶνας.

Ὠδὴ η'

Οἱ τρεῖς σου παῖδες ἐν Βαβυλῶνι
εἰς Τριάδα πεποιθότες
καυστικῆς καμίνου κατεφρόνησαν
διὸ πίστει ἀνέμελπον·
εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ'

Τὴν παναγίαν καὶ σεμνὴν Θεοτόκον
οἱ πιστοὶ μεγαλύνομεν.

309

ΑΝΑΤΟΛΙΚΗ

[Ποίημα Γεωργίου Ἀνατολικοῦ]

Β φ. 260α

Ὠδὴ α'. Ἦχος βαρύς. Ὁ Εἱρμός.

* Δυνάμει τῇ σῇ, Χριστέ,
ὁδηγούμενος ὁ Ἰσραὴλ
τὴν ἄβατον ἀβρόχως ἐπορεύετο
καὶ γεγηθὼς ἐκραύγαζεν·
ἆσμα καινὸν ἄσωμεν
Κυρίῳ τῷ λυτρωτῇ.

Ὠδὴ γ'

Στερέωμά μου γενοῦ ὁ Θεὸς
ἵνα ψάλλω σοι τὸν ὕμνον

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

σὺ εἶ ἐν πᾶσιν ἅγιος.

Ὠδὴ δ'

Μέσῳ δύο ζώων ἐγνώσθης
ἐν ἱκρίῳ σταυρούμενος
καὶ ἐτάκησαν ἔθνη
καὶ βουνοὶ ἐτρόμαξαν
περιζωννύοντός σου δύναμιν
τὸν πρωτόπλαστον.

Ὠδὴ ε'

Ὁ φωτισμὸς τῶν ἐσκοτισμένων, Χριστέ,
τὴν σὴν εἰρήνην δὸς ἡμῖν.

Ὠδὴ ϛ'

Τοῦ πλήθους τῶν πταισμάτων μου,
ὡς Ἰωνᾶν ἐκ τοῦ κήτους,
ῥῦσαί με, μόνε φιλάνθρωπε.

Ὠδὴ ζ'

Ὑπερένδοξε καὶ ὑπέρθεε
τῶν πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'

Τὸν δροσίσαντα παραδόξως τοὺς παῖδας
ἐν φλογὶ τῆς καμίνου Κύριον
εὐλογεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Παρθένε χαῖρε σεμνή,
ἡ τεκοῦσα τὸν Θεὸν ἀπεριγράπτῳ σαρκί·
σὺ γὰρ μόνη πέφυκας
χριστιανῶν τὸ κλέος
ὡς μητέρα τοῦ φωτὸς σε δοξάζοντες
ἀπαύστως μεγαλύνομεν.

310

Ποίημα Γεωργίου Ἀνατολικοῦ

Α φ. 194α. Β φ. 260β

Ὠδὴ α'. Ἦχος βαρύς. Ὁ Εἱρμός.

* Ἀνίκητος ἴχνεσι
τὸ ἐρυθραῖον Ἰσραὴλ διαπορθμεύσας
καὶ Φαραὼ πανστρατιᾷ πεντοήμενον ὁρῶν
σὺν Μαριὰμ βοᾷ τῇ προφήτιδι·
τῷ Κυρίῳ ἄσωμεν· ἐνδόξως γὰρ δεδό-
[ξασται.

Ὠδὴ β'

Ἔγνωμεν ἔγνωμεν
ὅτι μόνος ὑπάρχεις ἐν θεοῖς
δεδοξασμένος, Κύριε,
καὶ πλήν σου οὐ γινώσκομεν
δημιουργὸν τοῦ παντός·
ἀλλὰ πρὸς σὲ τὸν σωτῆρα
πιστῶς προστρέχομεν.

Ὠδὴ γ'

Στείραν ἔτευξας
τὴν πρὶν συναγωγὴν
παρανομούντων πλήθεσι
τὴν ἐξ ἐθνῶν ἐκκλησίαν πληθύνας βοᾶν·
μόνος πέλεις ἅγιος
ὁ τὰ πάντα σοφῶς ἑδράσας θείῳ νεύματι.

Ὠδὴ δ'

Ῥαγήσεται γῆ
ὄψονταί σε καὶ ὀδυνήσουσι λαοὶ
ὁ θεόπτης Ἀββακοὺμ ἀνεκραύγαζε
Θεὸν σαρκὶ ἐπὶ τῆς γῆς·
ὃν οὐ φέροντες ὁρᾶν·
ὅθεν καὶ ἡ ἄβυσσος φωνὴν ἔδωκε
δοξάζουσα τὴν σὴν ἔλευσιν.

Ὠδὴ ε'

Ἐκ φωτὸς ἀϋδίου ἀρχόμενος
καὶ ἐν φωτὶ τῷ πατρικῷ ἀναπαυόμενος,
[Χριστέ,
τῷ φωτισμῷ τῷ θείῳ σου
αὐγασον ἡμᾶς
τοὺς ἐκ νυκτὸς σε δοξάζοντας.

Ὠδὴ ϛ'

Ὁ τῆς σῆς ἐν Ἰωνᾷ ταφῆς τὸν τύπον,
σωτήρ, προδιαγράψας
καὶ τοῦτον ἀλώβητον ἐλκύσας τοῦ θηρὸς
καμὲ βυθοῦ τῶν πταισμάτων ρυσάμενος
ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε.

Εἱρμὸς ἄλλος

Ἰδὼν ἄβυσσον βυθὸν
ὁ προφήτης Ἰωνᾶς, Κύριε,
εἰλικρινῶς ἀνεβόᾳ σου·
περιεχύθη μοι ὕδωρ ἕως ψυχῆς μου
καὶ ἐκλείπει τὸ πνεῦμά μου
ἀλλ' αὐτός με διάσωσον
ἵνα δοξάζω σε.

Ὠδὴ ζ'

Ῥοιζήματι πυρὸς
τυραννικῷ θυμῷ τε μὴ πεφρικότες
ἐν Λεηρᾷ τῇ χρυσοτεύκτῳ εἰκόνι
προσκυνεῖν οὐκ εἵλοντο οἱ τρεῖς σου παῖδες
ἀλλὰ πυρὶ προσομίλησαντες ἐβόων·
εὐλογητὸς εἶ, Κύριε μόνε δημιουργὲ
θεὲ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Οἱ τῆς Σιὼν ἀπόγονοι
δαυϊτικοῖς ὡς τεθραμμένοι ἄσμασι
τὴν ὠδήν σοι, Κύριε,
ἐπ' ἀλλοτρίας γῆς
οὐκ εἶξαν ἀνακρούσασθαι
ἀλλ' ἐν καμίνῳ βληθέντες
τοῖς μουσικοῖς ἀντηχοῦντες
ὀργάνοις ἐβόων·
εὐλογείτω ἡ κτίσις πᾶσα τὸν κτίσαντα Θεὸν
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Ἱερουργὸν ὡς ἐκ Δαυὶδ

κατάγομένη τὸν Χριστὸν ἡμῖν
τεκοῦσα τὸν γεννηθέντα
ἐκ πατρὸς πρὸ τῶν αἰώνων
ἐν δυσὶ ταῖς οὐσίαις λατρεύοντες
ἕνα τῇ ὑποστάσει
σε, Θεοτόκε, μεγαλύνομεν.

311

[ΑΝΑΣΤΑΣΙΜΟΣ]

Α φ. 195α

Ὠδὴ α'. Ἦχος βαρύς. Ὁ Εἱρμός.

* Ἐρυθρᾶς ἄβυσσος
ῥάβδου τμήματι
καὶ διῆλθεν Ἰσραὴλ
κραυγάζων· τῷ Κυρίῳ
ἄσωμεν ᾠδὴν ἐπινίκιον.

Ὠδὴ β'

Ἴδετε ἴδετε
ὅτι ἐγώ εἰμι ὁ πάντων ὁρατῶν
καὶ ἀοράτων δημιουργὸς
ὁ συστησάμενος ἐκ μὴ ὄντων
εἰς τὸ εἶναι τὴν κτίσιν
καὶ ἐκ Παρθένου προελθὼν
ἀναλλοιώτως ὡς Θεὸς παντοδύναμος.

Ὠδὴ γ'

Κρῖμα καὶ δικαιοσύνην
τοῦ ποιεῖν στερέωσόν με, φιλάνθρωπε,
ἵνα καυχώμενος ἐν σοὶ βοῶ σοι·
ἅγιος εἶ, Κύριε.

Ὠδὴ δ'

Ἰδοὺ ἡ πρόρρησις τοῦ προφήτου Ἀββακοὺμ
ἐπληρώθη ἐμφανῶς·
Χριστὸς γὰρ ἐπεδήμησε
σῶσαι τοὺς κραυγάζοντας·
Κύριε, δόξα τῇ δυνάμει σου.

Ὠδὴ ε'

Δικαιοσύνην μάθετε οἱ ἐνοικοῦντες τὴν γῆν·
ἐπέστη γὰρ ὁ λυτρωτὴς
σάρκα ἐνδυσάμενος
καὶ τὸν Ἀδὰμ ἐρρύσατο
ἐκ τῶν τοῦ ἅδου δεσμῶν·
αὐτὸν προσκυνήσωμεν λαοὶ
ὡς βασιλέα ἡμῶν.

Ὠδὴ ϛ'

Νεύσει σου τῇ παναλκεῖ
ὁ Ἰωνᾶς ἐν τῷ κήτει
ὥσπερ ἐπ' ὀχήματος
ἐφέρετο ἄτρωτος
τῆς δὲ σῆς αἰσθόμενος
βοηθείας ἐβόα·
μετὰ φωνῆς αἰνέσεως
καὶ ἐξομολογήσεως θύσω σοι, Κύριε.

Ὠδὴ ζ'

Φλογίζει μὲν κάμινος ἔνυλος
ἀλλὰ Χαλδαίους ἐναντίους·
οὕτω γὰρ ἐβόων· τῶν πατέρων ὁ Κύριος
καὶ τῆς δόξης Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'

Νεανίας αἰχμαλωτισθέντας
σαρκὶ οὐκ ἐλυμήνατο
κατὰ ψυχὴν δόγμα τυράννου
οὐ τετράϋλον πῦρ·
ἐν καμίνῳ γὰρ ἀνδρείως ἐβόων·
εὐλογεῖτε τὸν ὄντως ὄντα Θεὸν
πάντα τὰ ἔργα εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Ὦ βάθος πλούτου καὶ τεραστίου μέγεθος
ἐν κόρῃ φερεσβίῳ !
ὡς ἀνεξερεύνητος ἡ σύλληψις αὐτοῦ
καὶ ἀνεκδιήγητος ἡ γέννησις·
Θεὸν γὰρ ἀσπόρως θηλάζει
ἀγνείαν μὴ φθαρεῖσα·
ἣν ὡς ἀληθῶς Θεοτόκον
ἀπαύστως μεγαλύνομεν.

312

[ΑΝΑΣΤΑΣΙΜΟΣ]

Α φ. 196β

Ὠδὴ α'. Ἦχος βαρύς. Ὁ Εἱρμός.

* Τῷ γεώσαντι Θεῷ θάλασσαν
καὶ σώσαντι λαὸν
καὶ ἐν ὕδατι Φαραὼ
τὰ ἅρματα καλύψαντι
ἐν ᾠδαῖς καὶ ὕμνοις
πάντες δοξάσωμεν αὐτῷ.

Ὠδὴ β'

Ἴδετε ἴδετε ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν
ὁ σταυρῷ προσηλωθεὶς
καὶ ἐν μνημείῳ οἰκήσας
καὶ τοῦ ἅδου καθελὼν τὴν ἰσχὺν
καὶ θανάτῳ θανατώσας θάνατον
καὶ πάντας ἐκ τῆς φθορᾶς
ἐλευθερώσας ὡς Θεός.

Ὠδὴ γ'

Στήριγμα τῆς καρδίας μου
ὑπάρχων ὡς Θεός μου
ἀνάστησόν με τὸν πεπτωκότα
ὅτι οὐκ ἔστιν ἅγιος πλὴν σου, Κύριε.

Ὠδὴ δ'

Τῷ θείῳ φρέγγει τῆς θεογνωσίας σου,
[Χριστέ,
ἐφώτισας ἡμᾶς ἐκ τῆς Παρθένου προελθών·
διό σοι ὁμορρόνως οἱ πιστοὶ κραυγά-
[ζομεν
δόξα τῇ δυνάμει σου.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

Ὠδὴ ε'

Τῆς ἀγνοίας τοῦ σκότους
ἐξάγαγε τὴν ψυχήν μου, ἀγαθέ,
καὶ προφθάσας οἰκτειρον δέομαι,
πολυέλεε, καὶ σῶσόν με.

Ὠδὴ ς'

Ἄβυσσος παθῶν ἐκύκλωσέ μου τὸν λογι-
[σμὸν
καὶ εἰς βάθος πταισμάτων ἀπέρριμμαι
ὡς Ἰωνᾶς σοι κραυγάζω
ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε.

Ὠδὴ ζ'

Παῖδες τρεῖς θεοσεβεῖς
ἐν Βαβυλῶνι πάλαι
βασιλέως ἀσεβοῦς
κατεφρόνησαν δόγμα
καὶ εἰς πῦρ ἐμβληθέντες
οὐκ ἐφλέχθησαν ἀλλ' ἔφαλλον·
εὐλογημένος ὑπάρχεις
καὶ δεδοξασμένος, Χριστέ, εἰς τοὺς αἰῶνας.

Ὠδὴ η'

Οἱ τρεῖς παῖδες ἐν Βαβυλῶνι
εἰς Τριάδα πεποιθότες
καυστικῆς καμίνου κατεφρόνησαν·
διὸ πίστει ἀνέμελπον
εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν
[Κύριον.

Ὠδὴ θ'

Ἐξ ὄρους λίθον ἄνευ χειρὸς πάλαι τμηθέντα
Δανιὴλ προεώρα
τὸν ἄχραντόν σου τόκον,
μῆτερ ἀπειρόγαμε,
ἡ παρθένος μετὰ τόκον μείνασα·
διὸ πάντες σε, ἀγνή, μεγαλύνομεν.

313

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Ἀναστασίου Κυέστορος

Ἰαμβοι

Βφ. 261β

Ὠδὴ α'. Ἦχος βαρύς. Ὁ Εἱρμός.

Ἔρρηξε ῥάβδος τοῦ προφήτου Μωσέως
χέρσον τελοῦσα τὴν θάλασσαν τοῖς πάλαι·
Χριστὸς δὲ σάρκα προσλαβὼν ἐκ Παρθένου
ῥοὴν ἀρεῖλε καὶ φθορὰν βροτησίαν
πάντας ἑλκύσας πρὸς ὕψος ἀκήρατον.

Ὠδὴ γ'

Ῥῦσαί με, σωτήρ, ἐκ φθορᾶς ἁμαρτίας
ὁ παντεπόπτης καὶ φιλάνθρωπος φύσει
νεύρωσον ἐν σοὶ καρδίας μου τὸν τόνον
ἐν τῇ πέτρᾳ τῶν ἐντολῶν σου φαιδρύνας·
ῥύστης γὰρ ἡμῶν ὡς Θεὸς καὶ Κύριος.

Ὠδὴ δ'

Συνεὶς ὁ θεῖος Ἀββακοὺμ τῷ Πνεύματι
γένους ἀρτίου τὴν ἀνάπλασιν γράφει
ἐκ Θαιμὰν ἥξει Χριστὸς ὁ κτίστης πάντων
ὄρους προελθὼν σαρκικῶς τῆς Παρθένου·
σεπτῶς ἅπαντες τοῦτον αἴνοις ἄσατε.

Ὠδὴ ε'

Νῦν Ἡσαΐα γήθει καὶ σκίρτα βλέπων
ἣν ἐτρίανους ἔγερσιν εἰς σωτηρίαν·
μέλψον σὺν ἡμῖν τὸν Θεὸν καὶ Δεσπότην
ἐκ νυκτὸς ὀρθρίζουσι μυστικωτάτως
ῥώμης τυχοῦσι φωτοειδοῦς πίστεως.

Ὠδὴ ς'

Ὡς τὸν προφήτην ἐκ βυθοῦ κατωτάτου
νεύσει μόνῃ σου παναθέως ἀνήγαγες
σῶσόν με, σωτήρ, ἐκ βάθους ἁμαρτίας
ὡς μακρόθυμος ὡς μόνος ζωὴν βρύων
τὸν πρό σὲ κραυγάζοντα πίστεως λό-
[γοις.

Ὠδὴ ζ'

Σύμφωνον ᾠδὴν μουσικῆς μελῳδίας
ἄπαυστον αἶνον ἐν πυρὶ χλοάζως νέοι
θεηγοροῦντες ἐξέλυσαν ἐμφρόνως
ἄδοντες εὐχάριστον ὕμνον τῷ Λόγῳ·
νεουργὲ τοῦ σύμπαντος, εὐλογητὸς εἶ.

Ὠδὴ η'

Ἔβρυσαν ὁρμὴν τοῦ πυρὸς τοῦ παμφάγου
ἄνωθεν ὄντως τὴν δρόσον δεδεγμένοι
οἱ εὐσεβεῖς φρόνημα καὶ θεῖρ πόθῳ
ἵσταντο δὲ κράζοντες ἐν παρρησίᾳ·
δυνατὲ Χριστέ, ὃν τρέμει πᾶσα κτίσις.

Ὠδὴ θ'

Τὴν Παρθένον καὶ μητέρα Χριστοῦ πόθῳ
λαὸς αἰνέσωμεν νῦν ὁ χριστώνυμος·
καύχημα γὰρ πέφηνε τοῦ βροτῶν γένους
λύσις φθορᾶς τε καὶ κλῆσις σωτηρίας
ἣν δοξάζομεν ἐνθέως ταῖς ᾄσμασιν.

Εἱρμὸς ἄλλος

Τὴν δι' ἀπάτης πρὶν κλαπεῖσαν
καὶ ἁπλότητος ἀτέχνου
γυναικείου γένους φύσιν
ἐπανώρθωσας, Παρθένε,
ὡς τεκοῦσα σαρκὶ υἱὸν πρὸ ἑωσφόρου
τὸν συνεκλάμψαντα πατρί·
διὸ προεορτάζομεν σήμερον
τοῦ ἀχράντου σου τόκου
τὸ παράδοξον θαύματος.
Θεοτόκε Μαρία, χαῖρε σε κραζομεν,
κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.

314

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Ἰωάννου μοναχοῦ

Λφ. 198α. Βφ. 262β

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

Ἀρματηλάτην Φαραὼ ἐβύθισε
τερατουργοῦσα ποτὲ
Μωσαϊκὴ ῥάβδος
σταυροτύπως πλήξασα
καὶ διελοῦσα θάλασσαν
Ἰσραὴλ δὲ φυγάδα
πεζὸν ὁδίτην διέσωσεν
ἆσμα τῷ Θεῷ ἀναμέλποντα.

Ὠδὴ γ'

Ὁ στερεώσας κατ' ἀρχὰς
τοὺς οὐρανοὺς ἐν συνέσει
καὶ τὴν γῆν ἐπὶ ὑδάτων ἐδράσας
ἐν τῇ πέτρᾳ με, Χριστέ,
τῆς ἐκκλησίας στήριξον
ὅτι οὐκ ἔστι πλήν σου
ἅγιος, μόνε φιλάνθρωπε.

Ὠδὴ δ'

Σύ μου, Χριστέ,
Κύριος σύ μου καὶ δύναμις·
σὺ Θεός μου·
σύ μου ἀγαλλίαμα
ὁ πατρικοὺς κόλπους μὴ λιπὼν
καὶ τὴν ἡμετέραν
πτωχείαν ἐπισκεψάμενος·
διὸ σὺν τῷ προφήτῃ
Ἀββακοὺμ σοὶ κραυγάζω·
τῇ δυνάμει δόξα, φιλάνθρωπε.

Ὠδὴ ε'

Ἵνατί με ἀπώσω
ἀπὸ τοῦ προσώπου σου τὸ φῶς τὸ ἄδυτον
καὶ ἐκάλυψέ με
τὸ ἀλλότριον σκότος τὸν δείλαιον ;
ἀλλ' ἐπίστρεψόν με
καὶ πρὸς τὸ φῶς τῶν ἐντολῶν σου
τὰς ὁδούς μου κατεύθυνον δέομαι.

Ὠδὴ ς'

Τὴν δέησιν ἐκχέω πρὸς Κύριον
καὶ αὐτῷ ἀπαγγελῶ μου τὰς θλίψεις
ὅτι κακῶν ἡ ψυχή μου ἐπλήσθη
καὶ ἡ ζωή μου τῷ ᾅδῃ προσήγγισε
καὶ δέομαι ὡς Ἰωνᾶς
ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε.

Ὠδὴ ζ'

Θεοῦ συγκατάβασιν
τὸ πῦρ ἠδέσθη ἐν Βαβυλῶνι ποτὲ
διὰ τοῦτο οἱ παῖδες
ἐν τῇ καμίνῳ ἀγαλλομένῳ ποδὶ
ὡς ἐν λειμῶνι χορεύοντες ἔφαλλον·
εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Ἐπταπλασίως κάμινον
τῶν Χαλδαίων ὁ τύραννος
τοῖς θεοσεβέσιν
ἐμμανῶς ἐξέκαυσε·
δυνάμει δὲ κρείττονι
περισωθέντας τούτους ἰδὼν
τὸν δημιουργὸν
καὶ λυτρωτήν, ἀνεβόα,
οἱ παῖδες εὐλογεῖτε
ἱερεῖς ἀνυμνεῖτε

ΕΙΡΜΟΙ ΠΛ. Δ' ΗΧΟΥ

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'

Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανὸς
καὶ τῆς γῆς κατεπλάγη τὰ πέρατα
ὅτι Θεὸς
ὤφθη τοῖς ἀνθρώποις σωματικῶς
καὶ ἡ γαστήρ σου γέγονεν
εὐρυχωροτέρα τῶν οὐρανῶν·
διό σε, Θεοτόκε,
ἀγγέλων καὶ ἀνθρώπων
ταξιαρχίαι μεγαλύνουσιν.

315

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Ἰωάννου μοναχοῦ τοῦ Δαμασκηνοῦ

Α φ. 199β. Β φ. 163α

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

Ὑγρὰν διοδεύσας ὡσεὶ ξηρὰν
καὶ τὴν Αἰγυπτίαν
μοχθηρίαν διαφυγὼν
ὁ Ἰσραηλίτης ἀνεβόα·
τῷ λυτρωτῇ καὶ Θεῷ ἡμῶν ἄσωμεν.

Ὠδὴ γ'

Οὐρανίας ἀψῖδος,
ὀροφουργὲ Κύριε,
καὶ τῆς ἐκκλησίας δομήτορ,
σύ με στερέωσον
ἐν τῇ ἀγάπῃ τῇ σῇ
τῶν ἐφετῶν ἡ ἀκρότης
τῶν πιστῶν τὸ στήριγμα,
μόνε φιλάνθρωπε.

Ὠδὴ δ'

Ἐκ σαρκός σου βολίδες θεότητος
ἐξεπορεύοντο·
προφητῶν καὶ ἀποστόλων
ὅθεν οἱ πρόκριτοι,
Λέσποτα, μελῳδοῦσι·
δόξα τῇ δυνάμει σου, Κύριε.

Εἱρμὸς ἄλλος

Τὴν φρικτήν σου καὶ ἔνδοξον ἔλευσιν,
[Δέσποτα,
ὄμμασι νοεροῖς κατανοήσας
φόβῳ ἐκραύγαζε,
ἀπὸ Θαιμάν, ὁ προφήτης,
ἥξει ὁ Θεὸς ἐξ ἀπειράνδρου μητρός.

Ὠδὴ ε'

Τῷ σῷ φωτὶ
αὔγασόν μου τὸν νοῦν
ὁ Θεὸς δέομαί σου
ἵνα τὴν πολλήν σου ὑμνήσω
ἐκ νυκτὸς ὀρθρίσας ἀγαθότητα.

Ὠδὴ ς'

Ἰλάσθητί μοι, σωτήρ,
πολλαὶ γὰρ αἱ ἀνομίαι μου
καὶ ἐκ βυθοῦ τῶν κακῶν
ἀνάγαγε δέομαι·
πρὸς σὲ γὰρ ἐβόησα
καὶ ἐπάκουσόν μου
ὁ Θεὸς τῆς σωτηρίας μου.

Ὠδὴ ζ'

Παῖδες Ἑβραίων ἐν καμίνῳ
κατεπάτησαν τὴν φλόγα θαρσαλέως
καὶ εἰς δρόσον τὸ πῦρ
μετέβαλον βοῶντες·
εὐλογητὸς εἶ, Κύριε
ὁ Θεός, εἰς τοὺς αἰῶνας.

Ὠδὴ η'

Μουσικῶν ὀργάνων συμφωνούντων
καὶ λαῶν ἀπείρων προσκυνούντων
εἰκόνι τῇ ἐν Δειρᾷ
τρεῖς παῖδες μὴ πεισθέντες
τὸν Κύριον ἀνύμνουν
καὶ ἐδοξολόγουν εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'

Σὲ τὴν ἀπειρόγαμον
Θεοῦ μητέρα τοῦ ὑψίστου
σὲ τὴν ὑπὲρ νοῦν κυήσασαν
διὰ λόγου τὸν ὄντως Θεὸν
τὴν ὑψηλοτέραν τῶν ἀχράντων δυνάμεων
ἀσιγήτοις δοξολογίαις μεγαλύνομεν.

316

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Ἰωάννου μοναχοῦ

Α φ. 200β. Β φ. 265α

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

Ἡ κεκομμένη τὴν ἄτομον ἔτεμε
καὶ εἶδεν ἥλιος γῆν
ἣν οὐκ ἐθεάσατο·
ἀλάστορα ἐχθρὸν
τὸ ὕδωρ κατεπόντισε
καὶ ἄβατον διῆλθεν Ἰσραήλ·
ᾠδὴ δὲ ἀνεμέλπετο
τῷ Κυρίῳ ἄσωμεν
ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ γ'

Τὸν φόβον σου, Κύριε,
ἐμφύτευσον ταῖς καρδίαις τῶν δούλων σου
καὶ γενοῦ ἡμῖν στερέωμα
τοῖς σὲ ἐν ἀληθείᾳ ἐπικαλουμένοις.

Ὠδὴ δ'

Ἐπέβης ἐφ' ἵππους
τοὺς ἀποστόλους σου, Κύριε,
καὶ ἐδέξω χερσί σου ἡνίας αὐτῶν
καὶ σωτηρία γέγονεν ἡ ἱππασία σου
τοῖς πιστῶς μελῳδοῦσι
δόξα τῇ δυνάμει σου, Κύριε.

Ὠδὴ ε'

Τὸν ἐκ νυκτὸς ἀγνωσίας
ἐπὶ τὴν ψυχάλωτον ὁδὸν ἀεὶ πλανώμενον
τῷ φωτὶ τῆς γνώσεώς σου, Κύριε,
ποδηγῶν με ἐν τῇ τρίβῳ
τῶν ἐντολῶν σου καθοδήγησον.

Ὠδὴ ς'

Ὁ ἐν Ἰσαὰκ τὸ πάθος προγράψας
καὶ ἐν Ἰωνᾶ ταφὴν προτυπώσας
καὶ ἀνάστασιν πᾶσι παρέχων
σοὶ βοῶμεν σὺν τῷ προφήτῃ·
ἐκ φθορᾶς ἡμᾶς ἀνάγαγε,
εὔσπλαγχνε Κύριε.

Ὠδὴ ζ'

Οἱ τῆς Χαλδαίας καμίνου
τὴν πανόλεθρον δύναμιν σβέσαντες
μορφῇ ἀγγέλου συγκαταβάντος
τῷ δημιουργῷ νεανίαι ἐκραύγαζον·
εὐλογητὸς εἶ καὶ αἰνετὸς
ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Νικηταὶ τυράννου
καὶ φλογὸς τῇ χάριτί σου γεγονότες
οἱ τῶν ἐντολῶν σου
σῴδρα ἀντεχόμενοι παῖδες ἐβόων·
εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εἱρμὸς ἄλλος

Εἰς Ἰωάννην τὸν Θεολόγον

Ἀπαγορεύσαντες χρυσολατρείαν οἱ παῖδες
βασιλέως κατειρώνησαν·
ἐγνώρισε γὰρ αὐτοὺς τὸ πῦρ δούλους
[θείους
καὶ ἐνετράπη βοῶντας·
ὑμνείτω ἡ κτίσις τὸν Κύριον
καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'

Ὄρους παρῆλθες τῆς φύσεως
τὸν δημιουργὸν συλλαβοῦσα καὶ Κύριον
καὶ πύλη σωτηρίας τῷ κόσμῳ γέγονας·
διό σε, Θεοτόκε,
ἀκαταπαύστως μεγαλύνομεν.

Εἱρμὸς ἄλλος

Εἰς Ἰωάννην τὸν Θεολόγον

Ὡς παρθένων ἀκρότης, Θεοτόκε,
ψαλτοῖς δὲ σοῖς κλέεσιν ἑορτὰς ὑμνοῦσα
χαρίτωσον καὶ νῦν
τὴν παρθενικὴν τοῦ Θεολόγου μνήμην
φοιτήσει μυστικῇ κοσμοῦσα
τοὺς ἐν αὐτῇ μεγαλύνοντάς σε.

317

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Ἰωάννου μοναχοῦ

Α φ. 201β. Β φ. 266α

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

Προφητικῶς ὁ θεόπτης
τῆς Θεοτόκου τὸν τύπον κατοπτριζόμενος
ἀβρόχοις ποσὶ
τὸ ἐρυθραῖον διεπορθμεύσατο πέλαγος
καὶ σκιρτῶν ἀνεβόα·
ἄσωμεν ἐπινίκιον ὕμνον τῷ Κυρίῳ
ὅτι δεδόξασται.

Ὠδὴ γ'

Σύνταξόν με, Κύριε,
τοῖς δυνατοῖς τοῦ λαοῦ σου
περιζωννύων δύναμιν
καὶ τὰ τόξα τῶν πολεμίων σύντριψον
καὶ τῆς πτωχείας μου τὸ κέρας ὕψωσον.

Ὠδὴ δ'

Ὁ θεοφόρος Πνεύματι ἁγίῳ φωτισθεὶς
προφήτης Ἀββακοὺμ
τὴν ἐπ' ἐσχάτων σου ἔλευσιν
προκατιδὼν ἀνεβόα·
ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ
ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ
ἐξ ὄρους παρθενικοῦ
ἀκατοπτεύτου σαρκούμενος·
δόξα τῇ δυνάμει σου, Κύριε.

Ὠδὴ ε'

Ὅτι Θεὸν ἄλλον ἀγαθὸν
πλὴν σου οὐ γινώσκομεν
πρὸς σὲ τὸ φῶς τὸ ἄδυτον
ἐκ νυκτὸς ὀρθρίζοντες
ἀνυμνοῦμέν σε, φιλάνθρωπε.

Ὠδὴ ς'

Πρὸς τὸν δυνάμενον σώζειν με Κύριον
ἐκ βυθοῦ ἁμαρτιῶν ἐβόησα
καὶ ἐκ φθορᾶς ἀνήγαγε
τὴν ζωήν μου ὡς φιλάνθρωπος.

Ὠδὴ ζ'

Ἐν πεδίῳ Δειρᾷ ποτὲ ὁ τύραννος
κάμινον ἔστησε

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

πρὸς τιμωρίαν τῶν θεοφόρων
ἐν ᾗ τρεῖς παῖδες ὑμνολόγουν τὸν ἕνα Θεὸν
τρισσῶς ἀνυμνολογοῦντες
ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄

Ἀσεβείας ὄργανα ἄλιον μέλος,
εὐσεβείας δὲ αἱ θεόφθογγοι
ἐκελάδουν φόρμιγγες·
εὐλογεῖτε πάντα τὰ ἔργα
Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ΄

Ἔρριξε πᾶσι ἀκοὴ
τὴν ἀπόρρητον Θεοῦ συγκατάβασιν
ὅπως ὁ ἄφθαστος
ἐκὼν κατῆλθε μέχρι καὶ σώματος
παρθενικῆς ἀπὸ γαστρὸς
γενόμενος ἄνθρωπος·
διὸ τὴν ἄχραντον
Θεοτόκον οἱ πιστοὶ μεγαλύνομεν.

318

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Ἰωάννου μοναχοῦ

Α φ. 203α. Β φ. 267α

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὁ Εἱρμός.

Ἀθρόον πάλαι θάλασσαν
ὁ Ἰσραὴλ ἐν ἐρήμῳ
ποδὶ κεκονιαμένῳ διελθὼν
ἐβόα· Κυρίῳ τῷ Θεῷ ἡμῶν
τῷ κραταιῷ ἐν πολέμοις
ἄσωμεν ἆσμα καινόν.

Ὠδὴ γ΄

Ἑστηριγμένον ἐν τῇ πέτρᾳ τῆς πίστεως
ὁ ἐπὶ ταύτην οἰκοδομήσω μου
τὴν ἐκκλησίαν εἶπών, Κύριε,
διάσωσόν με βοῶντα·
σὺ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος
καὶ ἐν σοὶ ἐστήρικται τὸ πνεῦμά μου.

Ὠδὴ δ΄

Σοῦ τὴν ἄχραντον ἔλευσιν, Χριστέ,
προθεωρῶν ὁ προφήτης
Ἀββακοὺμ ἐβόα σοι σὺν τρόμῳ·
ἀκήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην
κατενόησα τὰ ἔργα σου
καὶ ἐξέστην, Κύριε.

Ὠδὴ ε΄

Τὰ προστάγματά σου φωτισμόν, Χριστὲ ὁ Θεός,
ὡς ἀγαθὸς ὑπέδειξας·
διό σοι, φωτοδότα,
ἐκ νυκτὸς ὀρθριζοντες
δόξαν ἀναπέμπομεν.

Ὠδὴ ς΄

Ἄβυσσος ἁμαρτιῶν
καὶ πταισμάτων καταιγίς με ταράττει
καὶ πρὸς βυθὸν βαίσω
συνωθεῖ ἀπογνώσεως·
ἀλλά σοῦ τὴν κραταιὰν
χεῖρά μοι ἔκτεινον, ἐλεῆμον,
καὶ ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε.

Ὠδὴ ζ΄

Τῶν παίδων ἐν τῇ καμίνῳ βληθέντων
θεασάμενος ὁ τύραννος
τοῦ τετάρτου τὴν μορφὴν
ἐν εἴδει υἱοῦ τοῦ Θεοῦ
σὺν αὐτοῖς ἐκραύγαζεν·
εὐλογητὸς εἶ ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ὠδὴ η΄

Εὐλόγησέ σε πᾶσα ἡ κτίσις, Κύριε,
ἐδοξολόγησάν σε οὐρανῶν αἱ δυνάμεις
σὺν παισὶ καὶ ἡμεῖς ἀνυμνοῦμεν
καὶ ὑπερυψοῦμέν εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄

Ἐν εὐφροσύνῃ πάντες
τῇ Παρθένῳ πρὸ χαίρε βοήσωμεν
ἡ κεχαριτωμένη, Μαρία θεόνυμφε,
σὲ ὡς μητέρα τοῦ Θεοῦ
οἱ πιστοὶ ὁμοφρόνως
ἅπαντες μεγαλύνομεν.

319

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Ἰωάννου μοναχοῦ

Β φ. 267β

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὁ Εἱρμός.

Τῷ Κυρίῳ ἄσωμεν πάντες λαοί
τῷ θαυμαστὰ τερατουργήσαντι
ἐν Ἐρυθρᾷ θαλάσσῃ
ὅτι δεδόξασται.

Ὠδὴ γ΄

Ἑστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ
ὑψώθη κέρας μου ἐν Θεῷ μου
καὶ ἐπλατύνθη ἐπ' ἐχθρούς μου
νοητοὺς τὸ πνεῦμά μου.

Ὠδὴ δ΄

Ἔβου ἀγάπησιν κραταιὰν ἰσχύος
ἐν τῷ σταυρῷ τοῦ μονογενοῦς σου υἱοῦ
δι' οὗ ἔλυσας τὰ δεσμὰ
τῶν ἀνομιῶν ἡμῶν, Κύριε.

Ὠδὴ ε΄

Ἐκ νυκτὸς ὀρθρίζοντες ἀνυμνοῦμέν σε,
Λόγε,
υἱὲ Θεοῦ μονογενές,
τὴν σὴν εἰρήνην δὸς ἡμῖν
ὁ σταυρὸν ὑπομείνας
καὶ ἀναστὰς ἐκ νεκρῶν.

Ὠδὴ ς΄

Περιεχύθη ὕδωρ ἕως ψυχῆς μου
ἄβυσσος ἁμαρτίας ἐκύκλωσέ με
καὶ βοῶ σοι ὡς Ἰωνᾶς
ἐκ φθορᾶς τὴν ζωήν μου ἀνάγαγε.

Ὠδὴ ζ΄

Δημιουργὲ τῶν ὅλων καὶ Θεὲ
συνοχεῦ καὶ πρύτανι
Λόγε Θεοῦ καὶ πατρὸς
ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄

Τὸν ἐν καμίνῳ τοῦ πυρὸς
τοὺς παῖδας δροσίσαντα εὐλογεῖτε
τὸν ἐν λάκκῳ λεόντων Δανιὴλ σώσαντα ὑμνεῖτε
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ΄

Ἀπειρογάμων τὸ κλέος
βασιλικὸν ὄχημα γέγονας·
γήθονται πάντες ἐπὶ σοί·
διό, ἄχραντε μῆτερ,
σὲ μεγαλύνομεν.

320

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Ἰωάννου μοναχοῦ

Α φ. 204α. Β φ. 268α

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὁ Εἱρμός.

Ἄσωμεν τῷ Κυρίῳ πάντες λαοί
ἡ τοῦ Μωσέως Μαρία ἐβόησε
τῷ ποιήσαντι παράδοξα
τῷ ὁδηγῷ τοῦ Ἰσραὴλ
καὶ καθαιρέτῃ τοῦ Φαραώ·
ἐπινίκιον ᾠδὴν ἄσωμεν
ὅτι δεδόξασται.

Ὠδὴ γ΄

Γενοῦ μοι προσφυγὴ καὶ ἔρεισμα
ἄλβος ἰσχὺς καὶ καύχημα,
Λόγε Θεοῦ ἄναρχε,
καὶ τοὺς πόδας μου σῇ ἐν πέτρᾳ πίστεως
ἀκριβάντων στερέωσον·
σὺ γὰρ μόνος ὑπάρχεις
καὶ πλήν σου οὐκ ἔστιν ἅγιος, Κύριε.

Ὠδὴ δ΄

Εἰσακήκοα τὴν ἀκοήν σου, Κύριε, καὶ
ἐφοβήθην
κατενόησα τὰ ἔργα σου καὶ ἐξέστην
ὅτι ἐν μέσῳ δύο ζώων γνωσθήσῃ
εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ὠδὴ ε΄

Ἐκ νυκτός σοι τὴν ᾠδὴν
ἀναπέμπομεν, Χριστέ,
ὅτι γέγονας ἄνθρωπος
οὐ τῇ θεότητι τραπείς·
ἣν γὰρ προσέλαβες σάρκα
θεώσας κόσμον ὅλον ἔσωσας.

Ὠδὴ ς΄

Ἐν τῇ κοιλίᾳ τοῦ κήτους
ὁ Ἰωνᾶς τριημερεύσας ἐβόησεν·
ἀνάγαγέ με ὁ Θεός·
οὕτω κἀμὲ διάσωσον
τοῦ πλήθους τῶν ἀνομιῶν μου
καὶ ῥῦσαι φθορᾶς.

Ὠδὴ ζ΄

Ὁ ἐν καμίνῳ τοὺς ὑμνολόγους παῖδας διασώσας
καὶ ἡμᾶς ἐκ καμίνου τῶν πειρασμῶν ἐλευθέρωσον
ὑμνητὰς ἀναδείξας, φιλάνθρωπε,
εὐλογητὸς εἶ λέγοντας
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὠδὴ η΄

Ἄγγελος κατῆλθεν ἁγιάσαι
βασιλέως παῖδας τοῦ ἐπουρανίου·
γέγονεν ἡ κάμινος δρόσος δι' ἡμᾶς
τοὺς βοῶντας εὐλογεῖτε τὰ ἔργα
Κυρίου τὸν Κύριον.

Ὠδὴ θ΄

Τῆς παρθενίας τὸ ἄνθος,
Θεοτόκε, διεφύλαξας
καὶ μετὰ τόκον ἀμάραντον·
Θεὸς γὰρ ἦν τὸ τικτόμενον
εἰ καὶ ἀνέλαβε σάρκα τὸ δρώμενον
Χριστὸς τὸ συναμφότερον φαινόμενος
εἰς ἡμῶν σωτηρίαν τῶν μεγαλυνόντων σε.

Εἱρμὸς ἄλλος

Ἐξ ἀχράντων σου λαγόνων, πάναγνε,
προῆλθεν ὁ Ἐμμανουὴλ
καὶ τὴν πάλαι φθαρεῖσαν εἰκόνα τοῦ Ἀδὰμ
Χριστὸς μορφωθεὶς ἀνεκαλέσατο·
οὐ γὰρ ἔφερε βλέπειν ὃν ἔπλασε χερσὶν
ὑπὸ τοῦ ὄφεως σατὰν λυμαίνεσθαι·
ὅθεν ὡς τέλειον αὐτὸν Θεὸν
καὶ τέλειον ἄνθρωπον
σὺν σοί, Θεοτόκε, μεγαλύνομεν.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

321

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Ἰωάννου μοναχοῦ

Λ φ. 205β. Β φ. 269α

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

Ἄσωμεν τῷ Κυρίῳ
τῷ διαγαγόντι τὸν λαὸν αὐτοῦ
ἐν Ἐρυθρᾷ θαλάσσῃ
ὅτι μόνος ἐνδόξως δεδόξασται.

Ὠδὴ γ'

Σὺ εἶ τὸ στερέωμα
τῶν προστρεχόντων σοι, Κύριε,
σὺ εἶ τὸ φῶς τῶν ἐσκοτισμένων
καὶ ὑμνεῖ σε τὸ πνεῦμά μου.

Εἱρμὸς ἄλλος

Στερέωσον ἡμῶν τὸν νοῦν καὶ τὰς καρδίας
ὁ τοὺς οὐρανοὺς τῷ λόγῳ στερεώσας
εἰς τὸ ὑμνεῖν καὶ δοξάζειν σε τὸν σωτῆρα
καὶ λυτρωτὴν καὶ πανοικτίρμονα.

Ὠδὴ δ'

Ἐξ ὄρους κατασκίου,
Λόγε, ὁ προφήτης
τῆς μόνης Θεοτόκου
μέλλοντος σαρκοῦσθαι
θεοπτικῶς κατενόησε καὶ ἐν τρόμῳ
ἐδοξολόγει σου τὴν δύναμιν.

Εἱρμὸς ἄλλος

Εἰσακήκοα, Χριστέ, τὴν ἀκοήν σου
ὅτι τοῦ πατρὸς ἀχώριστος ὑπάρχεις
ἐπὶ τῆς γῆς τοῖς ἀνθρώποις ὀφθείς, οἰ-
[κτίρμον,
καὶ ἀνυμνῶ σου τὴν θεότητα.

Ὠδὴ ε'

Φώτισον ἡμᾶς
τοῖς προστάγμασί σου, Κύριε,
καὶ τῷ βραχίονί σου τῷ ὑψηλῷ
τὴν σὴν εἰρήνην
παράσχου ὡς μόνος εὔσπλαγχνος.

Ὠδὴ ς'

Χιτῶνά μοι παράσχου φωτεινὸν
ὁ ἀναβαλλόμενος
φῶς ὡς ἱμάτιον,
πολυέλεε Χριστὲ ὁ Θεὸς ἡμῶν.

Εἱρμὸς ἄλλος

Ἐβόησεν ἐκ τοῦ κήτους
Ἰωνᾶς ὁ προφήτης, Κύριε,
σύ μου ἀνήγαγε ἐκ φθορᾶς
τὴν ζωὴν ὡς φιλάνθρωπος.

Ὠδὴ ζ'

Οἱ ἐκ τῆς Ἰουδαίας
καταντήσαντες παῖδες
ἐν Βαβυλῶνι ποτὲ
τῇ πίστει στηριχθέντες
τὴν φλόγα τῆς καμίνου
κατεπάτησαν λέγοντες·
ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'

Τὸν βασιλέα τῶν οὐρανῶν ὃν ὑμνοῦσι
στρατιαὶ τῶν ἀγγέλων ὑμνεῖτε
καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'

Κυρίως Θεοτόκον
σὲ ὁμολογοῦμεν
οἱ διὰ σοῦ σεσωσμένοι, Παρθένε ἁγνή,
σὺν ἀσωμάτοις χορείαις
σὲ μεγαλύνοντες.

322

ΕΙΣ ΤΗΝ ΥΨΩΣΙΝ ΤΟΥ ΤΙΜΙΟΥ ΣΤΑΥΡΟΥ

Ποίημα Κοσμᾶ μοναχοῦ

Λ φ. 206β. Β φ. 271α

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

Σταυρὸν χαράξας Μωσῆς
ἐπ' εὐθείας ράβδῳ
τὴν Ἐρυθρὰν διέτεμε
τῷ Ἰσραὴλ πεζεύσαντι·
τὴν δὲ ἐπιστρεπτικῶς
Φαραὼ τοῖς ἅρμασι
κροτήσας ἤνωσεν
ἐπ' εὔρους διαγράψας
τὸ ἀήττητον ὅπλον·
διὸ Χριστῷ ἄσωμεν
τῷ Θεῷ ἡμῶν ὅτι δεδόξασται.

Εἱρμὸς ἄλλος ὅμοιος

Τὸ πέλαγος Ἐρυθρᾶς
διατμήξας πάλαι
διὰ ξηρᾶς διήγαγε
τὸν Ἰσραὴλ ρυσάμενος·
νῦν δὲ Χριστὸς σαρκωθεὶς
ἐκ Παρθένου εἵλκυσε
λαὸν ἐθνῶν τὸ πλήρωμα
δομήσας ἐκκλησίαν
οὐρανότυπον τάγμα·
διὸ αὐτῷ ἄσωμεν
ὡς Θεῷ ἡμῶν ὅτι δεδόξασται.

Ὠδὴ γ'

Ῥάβδος εἰς τύπον
τοῦ μυστηρίου παρελαμβάνετο·
τῷ βλαστῷ γὰρ προκύπτει τὸν ἱερέα
τῇ στειρευούσῃ δὲ πρώην

ἐκκλησίᾳ νῦν ἐξήνθησε
ξύλον σταυροῦ
εἰς κράτος καὶ στερέωμα.

Εἱρμὸς ἄλλος ὅμοιος

Ἐν τῇ ἀγάπῃ
καὶ τῇ ἐλπίδι σου ἐστερέωται
ἡ σεπτὴ ἐκκλησία τῶν ὀρθοδόξων,
ὦ ἐνυπόστατε Λόγε
καὶ σοφία τοῦ γεννήτορος·
ὅθεν ἐν σοὶ
ἀπαύστως ἐπαγάλλεται.

Ὠδὴ δ'

Εἰσακήκοα, Κύριε,
τῆς οἰκονομίας σου τὸ μυστήριον
κατενόησα τὰ ἔργα σου
καὶ ἐδόξασά σου τὴν θεότητα.

Ὠδὴ ε'

Ὦ τρισμακάριστον ξύλον
ἐν ᾧ ἐτάθη Χριστὸς
ὁ βασιλεὺς καὶ Κύριος·
δι' οὗ πέπτωκεν ὁ ξύλῳ ἀπατήσας
τῷ ἐν σοὶ δελεασθεὶς
Θεῷ τῷ προσπαγέντι σαρκὶ
καὶ παρέχοντι
τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

Εἱρμὸς ἄλλος ὅμοιος

Ὑπὸ ἀγγέλων ἐν θρόνῳ
ὁ Ἡσαΐας ποτὲ
προφητικῶς ἑώρακε
ἀνυμνούμενόν σε, σῶτερ, ἀσιγήτως
ἐν τρισὶν ἁγιασμοῖς
σὺν Πνεύματι καὶ θείῳ πατρὶ
κυριότητι
ἐν μιᾷ τε τῆς θεότητος.

Ὠδὴ ς'

Νοτίου θηρὸς ἐν σπλάγχνοις
παλάμας Ἰωνᾶς
σταυροειδῶς διεκπετάσας
τὸ σωτήριον πάθος
προδιετύπου σαφῶς·
ὅθεν τριήμερος ἐκδὺς
τὴν ὑπερκόσμιον ἀνάστασιν ὑπεζωγράφησε
τοῦ σαρκὶ προσπαγέντος Χριστοῦ τοῦ Θεοῦ
καὶ τριημέρῳ ἐγέρσει
τὸν κόσμον φωτίσαντος.

Ὠδὴ ζ'

Ἔκνομον πρόσταγμα τυράννου δυσσεβοῦς
λαοὶ ἐκλύσατε
πνέον ἀπειλῆς
καὶ δυσφημίας θεοστυγοῦς
ὅμως τρεῖς παῖδας οὐκ ἐδειμάτωσε
θυμὸς θηριώδης
οὐ πῦρ βρόμιον·
ἀλλ' ἀντιχοῦντι
δροσοβόλῳ Πνεύματι
πυρὶ συνόντες ἐψαλλον·
ὁ ὑπερύμνητος
τῶν πατέρων καὶ ἡμῶν
Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'

Εὐλογεῖτε παῖδες
τῆς Τριάδος ἰσάριθμοι
δημιουργὸν πατέρα Θεόν·
ὑμνεῖτε τὸν συγκαταβάντα Λόγον
καὶ τὸ πῦρ εἰς δρόσον μεταποιήσαντα
καὶ ὑπερυψοῦτε
τὸ πᾶσι ζωὴν παρέχον
Πνεῦμα παναγιον εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Μυστικῶς εἶ, Θεοτόκε, παράδεισος
ἀγεωργήτως βλαστήσασα Χριστὸν
ὑφ' οὗ τὸ τοῦ σταυροῦ ζωηφόρον ἐν γῇ
πεφυτούργηται δένδρον·
δι' οὗ νῦν ὑμνοῦμέν σου
προσκυνοῦντες αὐτὸν
σὲ μεγαλύνομεν.

Εἱρμὸς ἄλλος

Ὁ διὰ βρώσεως τοῦ ξύλου
τῷ γένει προσγενόμενος θάνατος
διὰ σταυροῦ κατήργηται σήμερον·
τῆς γὰρ προμήτορος ἡ παγγενὴς
κατάρα διαλέλυται
τῷ βλαστῷ τῆς ἁγνῆς Θεομήτορος·
ἣν πᾶσαι αἱ δυνάμεις
τῶν οὐρανῶν μεγαλύνουσιν.

Εἱρμὸς ἄλλος

Ποίημα Λέοντος Δεσπότου

Μέδοντι θεοστέπτῳ
νίκας κατ' ἐχθρῶν ἐδωρήσω
διὰ νικοποιοῦ σταυροῦ σου, Χριστέ,
ὅθεν καὶ ἡμεῖς ἐπ' αὐτῷ πεποιθότες
οὐκ ἀστοχοῦμεν μεγαλύνειν σε.

323

Ποίημα Γερμανοῦ πατριάρχου

Λ φ. 208β. Β φ. 273α

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

Ἄσμα ἀναπέμψωμεν λαοὶ
τῷ θαυμαστῷ Θεῷ ἡμῶν
τῷ ἀπαλλάξαντι τὸν Ἰσραὴλ δουλείας
ᾠδὴν ἐπινίκιον
ἄδοντα καὶ βοῶντα·
ἄσωμέν σοι τῷ μόνῳ δεσπότῃ.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

'Ωδὴ β'

Ἴδετε ἴδετε
ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν
ὁ πρὸ τῶν αἰώνων γεννηθεὶς ἄνευ μητρὸς
καὶ ἐκ τῆς Παρθένου ἐπ' ἐσχάτων
δίχα ἀνδρὸς σαρκωθεὶς
καὶ λύσας τὴν ἁμαρτίαν
τοῦ προπάτορος Ἀδὰμ
ὡς φιλάνθρωπος.

Εἱρμὸς ἄλλος

Λῶμεν τῷ Θεῷ μεγαλωσύνην πάντες
ὅτι μόνος ὑπάρχει πολυέλεος.

'Ωδὴ γ'

Οὐκ ἔστιν ἅγιος ὡς ὁ Κύριος
καὶ οὐκ ἔστι δίκαιος ὡς ὁ Θεὸς ἡμῶν
ὃν ὑμνεῖ πᾶσα κτίσις
οὐκ ἔστιν ἅγιος πλὴν σου, Κύριε.

'Ωδὴ δ'

Μυστικῶς ὁ προφήτης προορῶν
ἐκ Παρθένου σε, Λόγε, σαρκούμενον
μελῳδικῶς ἀνεβόα·
δόξα τῇ δυνάμει σου, Κύριε.

'Ωδὴ ε'

Ὁ ἐκ νυκτὸς ἀγνοίας
θεογνωσίᾳ φαιδρύνας τὰ πέρατα
φώτισόν με τῷ ὄρθρῳ
τῆς φιλανθρωπίας σου, Κύριε.

'Ωδὴ ς'

Ὡς τὸν προφήτην ἐρρύσω
ἐκ βυθοῦ κατωτάτου, Χριστὲ ὁ Θεός,
καμὲ τῶν πταισμάτων μου
ῥῦσαι ὡς φιλάνθρωπος
καὶ κυβέρνησον τὴν ζωήν μου δέομαι.

'Ωδὴ ζ'

Ὁ ἐν ἀρχῇ τὴν γῆν θεμελιώσας
καὶ οὐρανοὺς τῷ λόγῳ στερεώσας
εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας,
Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

'Ωδὴ η'

Τὸν ἐν ὄρει ἁγίῳ δοξασθέντα
καὶ ἐν βάτῳ πυρὶ τὸ τῆς Παρθένου
τῷ Μωυσῇ μυστήριον γνωρίσαντα
Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

'Ωδὴ θ'

Μεγαλύνομέν σε τὴν πανάμωμον
μητέρα Χριστοῦ τοῦ Θεοῦ
ἐν ᾗ ἐπεσκίασε τὸ Πνεῦμα τὸ ἅγιον.

324

Ποίημα Γερμανοῦ πατριάρχου Κωνσταντινουπόλεως

Α φ. 209β. Β φ. 212α.

'Ωδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

Τὸν Ἰσραὴλ ἐκ δουλείας
ἐλυτρώσω, Κύριε, τῇ δεξιᾷ σου τῇ κραταιᾷ·
ὡς ἐκεῖνον ἔσωσας
καὶ νῦν ἡμᾶς διάσωσον.

'Ωδὴ β'

Πρόσεχε, οὐρανέ, καὶ λαλήσω
καὶ ἀνυμνήσω Χριστὸν
τὸν σωτῆρα τοῦ κόσμου
τὸν μόνον φιλάνθρωπον.

'Ωδὴ γ'

Ὁ στερεώσας λόγῳ τοὺς οὐρανοὺς
καὶ τὴν γῆν ἑδράσας ἐπὶ ὑδάτων πολλῶν
στερέωσόν με πρὸς ὕμνον
καὶ δοξολογίαν σου, Κύριε.

'Ωδὴ δ'

Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετή σου, Κύριε,
καὶ τὰ σύμπαντα, σῶτερ,
τῆς αἰνέσεώς σου ἐπλήσθη.

'Ωδὴ ε'

Ὀρθρίζοντες βοῶμέν σοι, Κύριε,
σῶσον ἡμᾶς·
σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν
ἐκτὸς σου ἄλλον οὐκ οἴδαμεν.

'Ωδὴ ς'

Συνεχόμενον δέξαι με, φιλάνθρωπε,
ἐκ πταισμάτων πολλῶν
καὶ προσπίπτοντι τοῖς οἰκτιρμοῖς σου
ὡς τὸν προφήτην, Κύριε, καὶ σῶσόν με.

'Ωδὴ ζ'

Ὁ τοὺς παῖδας δροσίσας ἐν καμίνῳ
καὶ παρθένον φυλάξας
τὴν τεκοῦσάν σε Θεοτόκον
εὐλογητὸς εἶ, Κύριε
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

'Ωδὴ η'

Τὸν ἐκ πατρὸς πρὸ αἰώνων γεννηθέντα
καὶ ἐκ μητρὸς ἐπ' ἐσχάτων σαρκωθέντα
ἱερεῖς ὑμνεῖτε
λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

'Ωδὴ θ'

Τὸν προδηλωθέντα ἐν ὄρει
τῷ νομοθέτῃ
ἐν πυρὶ καὶ βάτῳ τόκον
τὸν τῆς ἀειπαρθένου
εἰς ἡμῶν τῶν πιστῶν σωτηρίαν
ὕμνοις ἀσιγήτοις μεγαλύνομεν.

325

ΑΝΑΣΤΑΣΙΜΟΣ
Ποίημα Ἰωάννου μοναχοῦ [1]

Α φ. 211α. Β φ. 270α

'Ωδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

Ἄσωμεν τῷ Κυρίῳ πάντες λαοί
τῷ ἐν θαλάσσῃ Ἐρυθρᾷ
τὸν Φαραὼ βυθίσαντι
ἐπινίκιον ᾠδὴν
ᾄδοντες ὅτι δεδόξασται.

'Ωδὴ β'

Οὐρανοὺς ὁ ἐκτείνας
καὶ τὴν γῆν θεμελιώσας, Χριστέ,
πρόσχες τῇ δεήσει μου
ὅτι τὸ ὄνομά σου τὸ θαυμαστὸν
ἐπεκαλεσάμην, φιλάνθρωπε.

Εἱρμὸς ἄλλος

Πρόσεχε, οὐρανέ, καὶ λαλήσω
καὶ ἀνυμνήσω Χριστὸν
τὸν ἐκ Παρθένου τεχθέντα
εἰς σωτηρίαν ἡμῶν.

'Ωδὴ γ'

Τύξον δυνατῶν ἠσθένησε
καὶ οἱ ἀσθενοῦντες τῷ ὅπλῳ τοῦ σταυροῦ
περιεζώσαντο δύναμιν.

'Ωδὴ δ'

Οὐρανοὺς ἐκάλυψε, Κύριε, ἡ σὴ ἀρετὴ
καὶ τῆς σῆς αἰνέσεως
πεπλήρωται τὰ σύμπαντα.

Εἱρμὸς ἄλλος

Τῷ Πέτρῳ χεῖρα ἐκτείνας εἰς βοήθειαν
καμὲ ἐλέησον
καὶ σῶσον ὡς φιλάνθρωπος.

'Ωδὴ ε'

Ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σὲ ὁ Θεὸς
τὸν ἐκ πατρὸς πρὸ αἰώνων
γεννηθέντα ἀῤῥάστως
καὶ ἐγείραντα κέρας σωτηρίας ἡμῖν.

'Ωδὴ ς'

Ἀπέρριψας με εἰς βάθη καρδίας θλιβόσης
καὶ εἶδον τὰ θαυμάσιά σου, Κύριε.

'Ωδὴ ζ'

Παῖδες θεοσεβεῖς ἐν Βαβυλῶνι
εἰκόνι χρυσῇ οὐ προσεκύνησαν
ἀλλ' ἐν μέσῳ καμίνου
πυρὸς δροσιζόμενοι
τὴν ᾠδὴν ἀνέμελπον λέγοντες·
εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

(1) Κατὰ τὸν Κώδ. 220 C. τῶν Παρισίων « Ἀκολουθία Σιναΐτικος ».

'Ωδὴ η'

Οἱ θεορρήμονες παῖδες ἐν καμίνῳ
σὺν τῷ πυρὶ καὶ τὴν πλάνην
καταπατοῦντες ἐκραύγαζον·
εὐλογεῖτε τὰ ἔργα
Κυρίου τὸν Κύριον.

'Ωδὴ θ'

Σὲ τὴν πλατυτέραν τῶν οὐρανῶν, Θεοτόκε.
καὶ φωτεινοτέραν τοῦ ἡλίου
ὕμνοις μεγαλύνομεν.

326

ΑΝΑΣΤΑΣΙΜΟΣ
Ποίημα Ἀνδρέου Κρήτης τοῦ Ἱεροσολυμίτου [2]

Α φ. 212α. Β φ. 271β

'Ωδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

Τῷ θαυμαστὰ τέρατα ποιήσαντι
ἐν τῷ παράγειν τὴν Ἐρυθρὰν τοὺς υἱοὺς
[Ἰσραὴλ
αὐτῷ μόνῳ ἄσωμεν ὅτι δεδόξασται.

Εἱρμὸς ἄλλος

Τῷ θαυμαστῷ Θεῷ
μεγαλεῖα προσάξωμεν
καὶ μεγαλοπρεπῶς σὺν ἡμῖν ἀνυμνείτω
γῆ καὶ οὐρανὸς τρανῶς τὴν δόξαν αὐτοῦ.

'Ωδὴ β'

Μεγαλωσύνην δῶμεν καὶ δόξαν
τῷ σαρκωθέντι Θεῷ
εἰς σωτηρίαν ἡμῶν.

'Ωδὴ γ'

Στερέωσόν με, Κύριε,
τὴν ἀσθένειάν μου γινώσκων
καὶ χεῖρά μοι ἔκτεινον
ὡς παντοδύναμος.

'Ωδὴ δ'

Ἀββακοὺμ προρῆτα, τί κράζεις ;
τί ἰδὼν ἐξέστης ;
— ἐκ Θαιμὰν σε ἥξοντα
τὸν Θεὸν ὁρῶν πεφόβημαι.

Εἱρμὸς ἄλλος

Ἐσακήκοα τὴν ἀκοὴν τῆς δυναστείας σου
καὶ εὐφράνθη ἡ καρδία μου, Κύριε.

'Ωδὴ ε'

Ἐκ νυκτὸς ἀγνοίας
θεογνωσίας ἡμέραν
ἐν τῷ φωτὶ τοῦ προσώπου σου, Χριστέ,
ἐλλαμφθείην· πρὸς ὄρθρον
ἡ αἰνεσίς σου ἐν ταῖς καρδίαις ἡμῶν.

(2) Ἐν τῷ Κώδικι 220 C. τῶν Παρισίων « Ἀκολουθία Σιναΐτικος ».

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

'Ωδὴ ϛ'

Ἐκ κοιλίας ἅδου κραυγῆς μου
ἤκουσας φωνῆς μου
καὶ ἐρρύσω ἐκ φθορᾶς
τὴν ζωήν μου, πολυέλεε.

'Ωδὴ ζ'

Ὁ δι' ἀγγέλου παῖδας
ἐκ πυρὸς διασώσας
καὶ τὴν βροντῶσαν κάμινον
μεταβαλὼν εἰς δρόσον
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

'Ωδὴ η'

Τὸν ἐν φωναῖς ἀγγέλων
ἀπαύστως Θεὸν δοξαζόμενον
εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

'Ωδὴ θ'

Μεγαλύνομέν σε
τὴν μητέρα τοῦ φωτὸς
καὶ δοξάζομέν σε,
Θεοτόκε Παρθένε,
ὡς σωτῆρα τεκοῦσαν τῶν ψυχῶν ἡμῶν.

Εἱρμὸς ἄλλος

Τὴν ἀόρατον μορφὴν
ἐν γαστρὶ δεξαμένη,
ἀπειρόγαμε Παρθένε καὶ μήτηρ,
ὕμνοις τὸν τόκον σου μεγαλύνομεν.

327

[ΑΝΑΣΤΑΣΙΜΟΣ]

Ποίημα Ἀνδρέου Κρήτης

Α φ. 213α. Β φ. 274β

'Ωδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

Τῷ συντρίψαντι πολέμους
ἐν βραχίονι αὐτοῦ
καὶ διαβιβάσαντι τὸν Ἰσραὴλ
ἐν Ἐρυθρᾷ θαλάσσῃ
ἄσωμεν αὐτῷ
ὡς λυτρωτῇ ἡμῶν
ὅτι δεδόξασται.

'Ωδὴ β'

Ἴδετε ἴδετε ὅτι ἐγώ εἰμι Θεὸς
ὁ διασχίσας τὴν Ἐρυθρὰν θάλασσαν
ῥάβδῳ μωσαϊκῇ
καὶ διαβιβάσας τὸν λαὸν
καὶ ὁδηγήσας αὐτὸν
καὶ διαθρέψας αὐτὸν
ἐν τῇ ἐρήμῳ Σινᾶ
καὶ εἰσαγαγὼν αὐτὸν
εἰς ὄρος ἁγιάσματος.

'Ωδὴ γ'

Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ
ὑψώθη κέρας μου ἐν Θεῷ μου
ἐπλατύνθη ἐπ' ἐχθρούς μου τὸ στόμα μου
εὐφράνθην ἐν σωτηρίῳ αὐτοῦ.

'Ωδὴ δ'

Ἀκήκοα, Κύριε,
τὴν ἀκοήν σου καὶ ἐφοβήθην
ὅτι ἀρρήτῳ βουλῇ
Θεὸς ὢν ἀΐδιος
ἐκ τῆς Παρθένου προῆλθες σαρκωθεὶς
δόξα τῇ δόξῃ σου, Χριστέ,
δόξα τῇ δυνάμει σου.

'Ωδὴ ε'

Τὸν ζόφον τῆς ψυχῆς μου
διασκέδασον, φωτοδότα Χριστὲ ὁ Θεός,
ὁ τὸ ἀρχέγονον σκότος
διώξας τῆς ἀβύσσου
καὶ δώρησαί μοι τὸ φῶς
τῶν προσταγμάτων σου, Λόγε,
ἵνα ὀρθρίζων δοξάζω σε.

'Ωδὴ ϛ'

Ὡς ὕδατα θαλάσσης, φιλάνθρωπε,
τὰ κύματα τοῦ βίου βυθίζει με·
διὸ ὡς Ἰωνᾶς οὕτω βοῶ σοι·
ἀνάγαγε ἐκ φθορᾶς
τὴν ζωήν μου, εὔσπλαγχνε Κύριε.

'Ωδὴ ζ'

Τῶν Χαλδαίων ἡ κάμινος
πυρὶ φλογιζομένη
ἐδροσίζετο Πνεύματι
Θεοῦ ἐπιστασίᾳ
οἱ παῖδες ὑπέψαλλον·
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

'Ωδὴ η'

Ὁ στεγάζων ἐν ὕδασι
τὰ ὑπερῷα αὐτοῦ
ὁ τιθεὶς θαλάσσῃ ὅριον ψάμμον
καὶ συνέχων τὴν γῆν
σὲ ὑμνεῖ ἥλιος
σὲ δοξάζει σελήνη
σοὶ προσφέρει ὕμνον πᾶσα κτίσις
ὡς δημιουργῷ καὶ κτίστῃ εἰς τοὺς αἰῶνας.

'Ωδὴ θ'

Εὐλογητὸς Κύριος
ὁ Θεὸς τοῦ Ἰσραὴλ
ὁ ἐγείρας κέρας σωτηρίας ἡμῖν
ἐν οἴκῳ Δαυὶδ τοῦ παιδὸς αὐτοῦ
ἐν οἷς ἐπεσκέψατο ἡμᾶς
ἀνατολὴ ἐξ ὕψους

καὶ κατεύθυνεν ἡμᾶς
εἰς ὁδὸν εἰρήνης.

Εἱρμὸς ἄλλος

Ἡ ἀνατραφεῖσα εἰς τὰ ἅγια τῶν ἁγίων
καὶ τεκοῦσα τὸ φῶς τῆς οἰκουμένης,
κεχαριτωμένη μήτηρ,
ὕμνοις τὸν τόκον σου μεγαλύνομεν.

328

[ΑΝΑΣΤΑΣΙΜΟΣ]

Ποίημα Γερμανοῦ πατριάρχου

Α φ. 209β. Β φ. 272α

'Ωδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

Τῷ ἐκτινάξαντι ἐν θαλάσσῃ
τὴν τυραννίδα Φαραὼ
καὶ τὸν Ἰσραὴλ διὰ ξηρᾶς ὁδηγήσαντι
ἄσωμεν Χριστῷ
ὅτι δεδόξασται εἰς τοὺς αἰῶνας.

'Ωδὴ γ'

Στερέωσον ἡμῶν τὸν νοῦν καὶ τὰς καρδίας
ὁ τοὺς οὐρανοὺς τῷ λόγῳ στερεώσας
εἰς τὸ ὑμνεῖν καὶ δοξάζειν σε τὸν σωτῆρα
καὶ λυτρωτὴν καὶ πανοικτίρμονα.

'Ωδὴ δ'

Ἐξ ὄρους κατασκίου,
Λόγε, ὁ προφήτης
τῆς μόνης Θεοτόκου
μέλλοντος σαρκοῦσθαι
θεοπτικῶς κατενόησε καὶ ἐν τρόμῳ
ἐδοξολόγει σου τὴν δύναμιν.

'Ωδὴ ε'

Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου
πρὸς σὲ ὁ Θεὸς
ἔλεος παράσχου μοι.

'Ωδὴ ϛ'

Συνεχόμενον δέξαι με, φιλάνθρωπε,
ἐκ πταισμάτων πολλῶν
καὶ προσπίπτοντα τοῖς οἰκτιρμοῖς σου
ὡς τὸν προφήτην, Κύριε, καὶ σῶσόν με.

'Ωδὴ ζ'

Ὁ τοὺς παῖδας δροσίσας ἐν καμίνῳ
καὶ παρθένον φυλάξας
τὴν τεκοῦσάν σε Θεοτόκον
εὐλογητὸς εἶ, Κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

'Ωδὴ η'

Τὸν ἄναρχον βασιλέα τῆς δόξης
ὃν φρίττουσι στρατιαὶ τῶν ἀγγέλων
ὑμνεῖτε ἱερεῖς
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

'Ωδὴ θ'

Τὸν προδηλωθέντα
ἐν ὄρει τῷ νομοθέτῃ
ἐν πυρὶ καὶ βάτῳ τόκον
τὸν τῆς ἀειπαρθένου
εἰς ἡμῶν τῶν πιστῶν σωτηρίαν
ὕμνοις ἀσιγήτοις μεγαλύνωμεν.

329

Ποίημα Ἀνδρέου Κρήτης

Β φ. 273

'Ωδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

Βοηθὸς καὶ σκεπαστὴς
ἐγένετό μοι εἰς σωτηρίαν
οὗτός μου Θεὸς
καὶ δοξάσω αὐτὸν
ὅτι δεδόξασται.

'Ωδὴ β'

Ὑπὲρ μέλι καὶ κηρίον
γλυκύτερα τὰ λόγια τοῦ στόματός σου
μάθετε βοᾷν, λέγει Κύριος.

'Ωδὴ γ'

Στερέωσόν με, Κύριε, δυνάμει τοῦ σταυροῦ
καὶ δώρησαί μοι καρδίαν καθαρὰν
ἵνα ἐν σοὶ καυχῶμαι, ἀγαθέ.

'Ωδὴ δ'

Ἐκάλυψεν οὐρανοὺς
ἡ ἀρετή σου, Χριστέ,
καὶ τὰ σύμπαντα, σωτήρ,
τῆς σῆς αἰνέσεως ἐπλήσθη.

'Ωδὴ ε'

Ὁ ἐκ νυκτὸς ἀγνοίας
θεογνωσίᾳ φαιδρύνας τὰ πέρατα
φώτισόν με πρὸς ὕμνον
καὶ δοξολογίαν σου, Κύριε.

'Ωδὴ ϛ'

Ἐκ κοιλίας ἅδου κραυγῆς μου
ἤκουσας φωνῆς μου
καὶ ἐρρύσω ἐκ φθορᾶς
τὴν ζωήν μου, πολυέλεε.

'Ωδὴ ζ'

Ὁ δι' ἀγγέλου παῖδας
ἐκ πυρὸς διασώσας
καὶ τὴν βροντῶσαν κάμινον
μεταβαλὼν εἰς δρόσον
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

'Ωδὴ η'

Τὸν ἐκ πατρὸς πρὸ αἰώνων γεννηθέντα
καὶ ἐκ μητρὸς ἐπ' ἐσχάτων σαρκωθέντα
ἱερεῖς ὑμνεῖτε
λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

Ὠδὴ δ΄
Σὲ τὴν οὐρανοῦ καὶ γῆς μεσῖτιν
πᾶσαι γενεαὶ μακαρίζομεν·
σωματικῶς γὰρ ἐνώκησεν ἐν σοὶ
τὸ πλήρωμα, Παρθένε, τῆς θεότητος.

330

ΕΙΣ ΤΗΝ ΜΕΣΟΠΕΝΤΗΚΟΣΤΗΝ

Ποίημα Ἀνδρέου Κρήτης

Λ φ. 215α

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὁ Εἱρμός.
Θάλασσαν ἔπηξας
βυθίσας σὺν ἅρμασι
τὸν ἀλιτζόνα Φαραώ
καὶ λαὸν διέσωσας δουλείας
καὶ ἀνήγαγες αὐτοὺς
εἰς ὄρος ἁγιάσματος βοῶντας·
ᾄσωμέν σοι τῷ Θεῷ ἡμῶν
ᾠδὴν ἐπινίκιον
τῷ ἐν πολέμοις κραταιῷ.
Ὠδὴ β΄
Ἴδετε ἴδετε ὅτι ἐγώ εἰμι Θεὸς
ὁ πάλαι τὸν Ἰσραὴλ
ἐν Ἐρυθρᾷ θαλάσσῃ διαγαγὼν
καὶ σώσας καὶ θρέψας
καὶ ἐκ δουλείας πικρᾶς
ἐλευθερώσας Φαραώ.
Ὠδὴ γ΄
Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ
ὑψώθη κέρας μου ἐν Θεῷ μου
ἐπλατύνθη ἐπ' ἐχθρούς μου τὸ στόμα μου
εὐφράνθην ἐν σωτηρίῳ σου.
Ὠδὴ δ΄
Ὁ προφήτης Ἀββακοὺμ
τοῖς νοεροῖς ὀφθαλμοῖς προεῖδε, Κύριε,
τὴν παρουσίαν σου·
διὸ καὶ ἀνέκραζεν·
ἀπὸ Θαιμὰν ἥξει ὁ Θεὸς
δόξα τῇ δυνάμει σου·
δόξα, Χριστέ, τῇ συγκαταβάσει σου.
Ὠδὴ ε΄
Κύριε ὁ Θεὸς ἡμῶν,
εἰρήνην δὸς ἡμῖν·
Κύριε ὁ Θεὸς ἡμῶν,
κτῆσαι ἡμᾶς·
Κύριε, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν
τὸ ὄνομά σου ὀνομάζομεν.
Ὠδὴ ς΄
Ὡς ὕδατα θαλάσσης, φιλάνθρωπε,
τὰ κύματα τοῦ βίου χειμάζει με·
διὸ ὡς Ἰωνᾶς σοι κραυγάζω, Λόγε,
ἀνάγαγε ἐκ φθορᾶς
τὴν ζωήν μου, εὔσπλαγχνε Κύριε.
Εἱρμὸς ἄλλος
Ὡς τὸν προφήτην Ἰωνᾶν
τοῦ κήτους ἀνήγαγες
ὁ Θεὸς ῥῦσαί με
ἐκ τῆς θήρας τοῦ ἀλλοτρίου
καὶ σῶσον, οἰκτίρμον, ὡς πολυέλεος.
Ὠδὴ ζ΄
Τῶν Χαλδαίων ἡ κάμινος
πυρὶ φλογιζομένη
ἐδροσίζετο πνεύματι
Θεοῦ ἐπιστασίᾳ·
οἱ παῖδες ὑπέψαλλον·
εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.
Εἱρμὸς ἄλλος
Ὁ ἐν καμίνῳ πυρὸς
τοὺς παῖδας διασώσας
εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.
Ὠδὴ η΄
Ἄγγελοι καὶ οὐρανοὶ
τὸν ἐπὶ θρόνου δόξης ἐποχούμενον
καὶ ὡς Θεὸν ἀπαύστως δοξαζόμενον
εὐλογεῖτε ὑμνεῖτε
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
Ὠδὴ θ΄
Ἀλλότριον τῶν μητέρων ἡ παρθενία
καὶ ξένον ταῖς παρθένοις ἡ παιδοποιΐα
ἐπὶ σοί, Θεοτόκε,
ἀμφότερα ὠκονομήθη·
διό σε πᾶσαι αἱ φυλαὶ τῆς γῆς
ἀπαύστως μεγαλύνομεν.

331

Ποίημα Ἀνδρέου Κρήτης Ἱεροσολυμίτου

Λ φ. 216β. Β φ. 276β

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὁ Εἱρμός.
Ἄσωμεν ᾠδὴν τῷ Θεῷ
τῷ ἐκ πικρᾶς δουλείας τοῦ Φαραὼ
ῥυσαμένῳ Ἰσραὴλ
καὶ ἐν πυρίνῳ στύλῳ
καὶ φωτὸς νεφέλῃ
καθοδηγήσαντι
ὅτι δεδόξασται.
Ὠδὴ β
Ἴδετε ἴδετε
ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν
ὁ ἐν ἐλέει πλούσιος
καὶ ἀγαθὸς ἐν οἰκτιρμοῖς
ὁ λυτρούμενος λαὸν
ἐκ πλάνης καὶ δουλείας
τῶν ἀθέων ἐχθρῶν.
Εἱρμὸς ἄλλος
Ἴδετε ἴδετε
ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν
ὁ τοὺς ἀπειθεῖς Ἰουδαίους διελέγχων
παρρησίᾳ καὶ διδάσκων
τὰ ἐν νόμῳ Μωσέως
ἀψευδῶς νομοθετηθέντα
ὡς βασιλεὺς καὶ δεσπότης
καὶ ποιητὴς τοῦ παντός.
Ὠδὴ γ΄
Στερέωμά μου, σωτήρ, ὑπάρχεις
καὶ καταφυγή μου καὶ δύναμις
καὶ ἀλεννθεῖσαν τὴν καρδίαν μου
στερέωσον εἰς τὸν φόβον σου
ὅτι οὐκ ἔστιν ἅγιος
ὡς σὺ ὁ Θεός.
Ὠδὴ δ΄
Εἰσακήκοα, Κύριε,
τὴν ἀκοήν σου καὶ ἐφοβήθην
κατενόησα τὰ ἔργα σου
καὶ ἐδόξασα τὸ κράτος σου, Δέσποτα.
Ὠδὴ ε΄
Ὀρθρίζοντες πρὸς σὲ τὸν φιλάνθρωπον
ἀνυμνοῦμέν σε, Χριστὲ ὁ Θεός,
δώρησαι ἡμῖν τὰ ἐλέη σου.
Εἱρμὸς ἄλλος
Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου
πρὸς σέ ὁ Θεὸς
ἔλεος παράσχου μοι.
Εἱρμὸς ἄλλος
Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου
πρὸς τὴν σὴν ὑμνῳδίαν
διότι φῶς καὶ εἰρήνη
τὰ σὰ προστάγματα.
Εἱρμὸς ἄλλος
Τὸ πνεῦμά μου ὀρθρίζει
πρὸς σέ, Χριστὲ ὁ Θεὸς ἡμῶν·
τὸ φῶς τῶν προσταγμάτων σου
ἀνάτειλον ἐν ἐμοὶ
ἵνα δοξάζω σε.
Ὠδὴ ς΄
Ὡς ἐκ κήτους ἐλυτρώσω τὸν προφήτην σου
καμέ, σωτὴρ ἡμῶν,
τοῦ πλήθους τῶν πταισμάτων μου λύ-
[τρωσαι.
Εἱρμὸς ἄλλος
Ὡς τὸν προφήτην τριήμερον
ἐκ βυθοῦ ἀνήγαγες
καὶ ἡμᾶς διάσωσον
ἐκ φθορᾶς ὁ Θεὸς ὡς παντοδύναμος.
Ὠδὴ ζ΄
Ῥήματι τυράννου
ἡ τῶν παίδων κάμινος
ἐξεκαύθη ποτὲ
τοὺς Χαλδαίους φλέγουσα
τοὺς δὲ πιστοὺς δροσίζουσα
ὕμνον γὰρ ἀνέμελπον
ἐν φλογὶ πυρπολούμενοι
ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ.
Εἱρμὸς ἄλλος
Εὐλογητὸς εἶ, Χριστέ,
ὁ τοὺς παῖδας ἐν φλογὶ
ἀφλέκτους διασώσας
καὶ ὑπερύμνητος ὑπάρχεις
ἐν πάσῃ τῇ σοφίᾳ σου.
Ὠδὴ η΄
Ἐν καμίνῳ χορείαν στησάμενοι νεανίαι
τὴν ἐναρμόνιον τάξιν
διεξιόντες τῆς κτίσεως
προτρέπονται δοξάζειν
τὴν παντουργικὴν σοφίαν
Χριστὸν ἀναμέλποντες·
εὐλογεῖτε τὰ ἔργα πάντα
τὸν ἐξ οὐκ ὄντων τὰ πάντα συστησάμενον.
Ὠδὴ θ΄
Ἄνασσα ἀνάσσων
μητροπάρθενον κλέος
ὄρος Θεοῦ ἅγιον
ἡ φωτοφόρος λυχνία
ἡ κιβωτὸς τοῦ ἁγιάσματος
ἐξ ἧς προῆλθε Χριστὸς
σαρκοφόρος ὡς ὤφθη
καὶ τοῖς ἀνθρώποις συνανεστράφη·
ἣν πᾶσαι αἱ δυνάμεις
τῶν οὐρανῶν μεγαλύνουσιν.

332

ΕΙΣ ΤΗΝ ΓΕΝΝΗΣΙΝ ΤΟΥ ΠΡΟΔΡΟΜΟΥ

Ποίημα Ἀνδρέου Κρήτης

Α φ. 216β. Β φ. 277β

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὁ Εἱρμός.
Ἐν Ἐρυθρᾷ Φαραὼ
σὺν ἅρμασιν ἐβύθισας
καὶ τὸν λαὸν διὰ Μωσέως ἔσωσας
ἄδοντά σοι, Κύριε,
ᾠδὴν ἐπινίκιον
ὡς λυτρωτῇ ἡμῶν Θεῷ.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

'Ωδὴ β'

Ἴδετε ἴδετε
ὅτι ἐγώ εἰμι Θεὸς
ὁ ἐν θαλάσσῃ πρὶν διασώσας
καὶ ἐν ἐρήμῳ καθοδηγήσας
λαὸν Ἰσραηλίτην τῇ ἐξουσίᾳ μου.

'Ωδὴ γ'

Ἐν Κυρίῳ Θεῷ μου
ἐστερεώθη ἡ καρδία μου
καὶ καυχάσθω λέγουσα·
ὅτι οὐκ ἔστιν ἅγιος
οὐκ ἔστι δίκαιος
πλὴν σου, Κύριε.

'Ωδὴ δ'

Ἀκήκοα, Κύριε,
τὴν ἀκοήν σου καὶ ἐροβήθην
κατενόησα τὴν ἄφατον οἰκονομίαν σου
καὶ ἐδόξασα, Λόγε,
τὴν συγκατάβασίν σου.

'Ωδὴ ε'

Ὀρθρίζομεν πρὸς σὲ
τὸν οἰκτίρμονα Θεὸν καὶ Λόγον
διότι φῶς τὰ προστάγματά σου
ἐπὶ τῆς γῆς ἐπόιησας.

'Ωδὴ ς'

Ὡς Ἰωνᾶν τοῦ θηρὸς ἐλυτρώσω,
μόνε φιλάνθρωπε,
οὕτω κἀμὲ διάσωσον, Χριστὲ ὁ Θεός,
καὶ εἰς λιμένα εὔδιον
ἐγκαθορμίσας σῶσόν με.

'Ωδὴ ζ'

Ὁ ἐν δόξῃ θαυμαστὸς εὐλογητὸς εἶ,
δημιουργὲ ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

'Ωδὴ η'

Χοροὶ ἀγγέλων ἐωθινὸν ὕμνον
ἀναμέλποντες λέγουσιν·
εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

'Ωδὴ θ'

Σὲ τὴν ἄφλεκτον βάτον
ἣν προεώρακε Μωσῆς
ἀκαταφλέκτως καιομένην ποτὲ
τῷ τῆς θεότητος πυρὶ
ὡς ἀφλέκτως κηήσασαν τὸν Κύριον
σεσαρκωμένον Θεὸν
ἐν ὕμνοις ἀσιγήτοις μεγαλύνομεν.

333

ΕΙΣ ΤΗΝ ΓΕΝΝΗΣΙΝ ΤΟΥ ΧΡΙΣΤΟΥ
Ποίημα Ἀνδρέου Κρήτης

Λ φ. 218α. Β φ. 278α

'Ωδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

* Τῷ ἐν Αἰγύπτῳ κραταιῶς
ὀλέσαντι τὸν Φαραὼ
καὶ τὸν λαὸν διὰ ξηρᾶς
καθοδηγήσαντι Θεῷ
αὐτῷ μόνῳ ἄσωμεν,
ἆσμα ἐπινίκιον
ὅτι δεδόξασται.

'Ωδὴ β'

Ἐν ἀγαλλιάσει δῶμεν μεγαλωσύνην
Κυρίῳ τῷ Θεῷ ἡμῶν.

'Ωδὴ γ'

Ἐλπράνθη ἡ καρδία μου, Κύριε,
ἐν τοῖς ποιήμασί σου
καὶ ἐπλατύνθη τὸ στόμα μου εἰς δοξολογίαν
ὅτι οὐκ ἔστιν ἅγιος
καὶ δίκαιος πλὴν σου, Κύριε.

'Ωδὴ δ'

Εἰσακήκοα, Κύριε, τὴν ἀκοήν σου
κατενόησα τὰ ἔργα σου, εὐσπλαγχνε,
ὅτι τὸν κόσμον ἔσωσας
καὶ ἐδόξασα τὴν δυναστείαν σου.

'Ωδὴ ε'

Τῶν προσταγμάτων σου τὸ φῶς
τηλαυγῶς ἡμῖν ἀνάτειλον, Χριστέ,
ἵνα τὴν δικαιοσύνην σου μαθόντες
εὐαρέστοί σοι ἀναδειχθῶμεν οἱ γηγενεῖς.

'Ωδὴ ς'

Τὴν τοῦ κήτους γαστέρα ὥσπερ τάφον
κεκτημένος ὁ Ἰωνᾶς
ἐκραύγαζεν ἀνάγαγε
ἐκ φθορᾶς ὁ Θεὸς
τὴν ζωήν μου καὶ σῶσόν με.

'Ωδὴ ζ'

Νόθον πρόσταξιν
οἱ εὐσεβεῖς Ἰσραηλῖται
ἀπώσαντο· παῖδες βοῶντες·
τῶν πατέρων ὁ Θεὸς εὐλογητὸς εἶ.

Εἱρμὸς ἄλλος

Ὁ ἐν δόξῃ θαυμαστὸς εὐλογητὸς εἶ.

'Ωδὴ η'

Πάντα τὰ ἔργα Κυρίου
οἱ παῖδες ἐκραύγαζον εὐλογεῖτε
τὸν τῷ λόγῳ τὰ πάντα
δημιουργήσαντα Θεὸν
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

'Ωδὴ θ'

Σὲ τὴν ἀνωτέραν τῶν κτισμάτων
τὴν ἐπὶ γῆς οὐρανὸν γενομένην
ὡς ἐν μήτρᾳ σου Θεὸν χωρήσασαν
πᾶσαι γενεαὶ μεγαλύνομεν.

334

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΕΥΘΥΜΙΟΝ
Ποίημα Ἀνδρέου Πηροῦ [1]

Λ φ. 219β. Β φ. 280α

'Ωδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

Ὁ παράδοξον ὁδὸν ἐν θαλάσσῃ
τῷ λαῷ σου κατασκευάσας
τὴν οὐράνιον ἡμῖν πορείαν
εὐεπίβατον ποίησον
ἵνα καινὴν ᾠδήν σοι ἄσωμεν, Κύριε.

'Ωδὴ β'

Ἴδετε ἴδετε
ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν
ὁ ἐν θαλάσσῃ Ἐρυθρᾷ
ὁδηγήσας τὸν Μωσέως λαὸν
εἰς γῆν ἐπαγγελίας
τῇ ἀνεικάστῳ ἐξουσίᾳ μου.

'Ωδὴ γ'

Ὁμοίωσόν με, Χριστέ,
νοητῶς τῷ ὄρει τῷ Σιὼν
ὑψώσας καὶ στερεώσας
τῇ ἐπὶ σοὶ πεποιθήσει
καὶ καταστάξας τὴν δρόσον
σοῦ τῆς χάριτος, φιλάνθρωπε.

'Ωδὴ δ'

Τὴν σὴν ἐνανθρώπησιν
ἣν πρὸ αἰώνων προώρισας
ἐπ' ἐσχάτων εὐδοκήσας τελέσαι,
Κύριε, εἰσακήκοα
καὶ φόβῳ ἀνύμνησα.

'Ωδὴ ε'

Ἀγαθὲ φωτὰς καὶ εἰρήνης χορηγὲ
τοῦ σκότους με
καὶ πολέμου ῥῦσαι τῶν παθῶν
ὀρθρίζοντα, Χριστέ,
πρὸς τὴν σὴν αἴνεσιν.

'Ωδὴ ς'

Ὑπερῆρταν τὴν κεφαλήν μου αἱ ἀνομίαι μου
καὶ ὡς βαρὺ φορτίον ἐπ' ἐμὲ βαρυνθεῖσαι
εἰς ἀπογνώσεως βάθη καθέλκουσί με·
ἀλλὰ πρὶν βυθισθῆναι,
Κύριε, σῶσόν με.

'Ωδὴ ζ'

Μιμητὰς τῶν τριῶν σου, Κύριε, παίδων
ποίησον ἡμᾶς
ἀνθισταμένους πρὸς τὴν ἁμαρτίαν
καὶ τὸ πῦρ τῶν ἡδονῶν
πατοῦντας καὶ ψάλλοντας·
ὁ Θεὸς εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας.

(1) Ἀνδρέου Κρήτης κατὰ τὸν Λαυριωτικὸν Κώδ. Β 32.

'Ωδὴ η'

Ἱερουσαλὴμ ἡγιασμένης·
εὐγενεῖς ὄντες παῖδες ἐδείχθησαν
οἱ τῶν ἐν αὐτῇ θείων θρησκευμάτων
μὴ λαβόντες λήθην ὁλόλιθον
ἀλλὰ τὸ Βαβυλώνιον πῦρ
ἑαυτοῖς εὐσεβοῦσι προξενήσαντες
ἐν ᾧ δροσισθέντες ἔψαλλον
εὐλογεῖτε τὰ ποιήματα πάντα τὸν Κύριον.

'Ωδὴ θ'

Σωματώσεως θείας
ὄργανον, Παρθένε, γέγονας
καὶ τῆς τοῦ Λόγου
πρὸς τὴν ἐκ σοῦ σάρκα μίξεως νυμφών·
ἡνωμένας γὰρ οὐσίας
διὰ προσήγαγες
ἕνα Χριστὸν ἡμῖν τεκοῦσα
διπλοῦν ἐνεργείαις
καὶ θελήσεσι δεικνύμενον
ὃν ὑμνοῦντες
σέ, Θεοτόκε, μεγαλύνομεν.

335

Ποίημα Στεφάνου Σαββαΐτου ἀνεψιοῦ Ἰωάννου μοναχοῦ

Λ φ. 221α. Β φ. 284β

'Ωδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

* Τῷ καταδιελόντι
τὴν Ἐρυθρὰν θάλασσαν εἰς διαιρέσεις
καὶ διαγαγόντι τὸν Ἰσραὴλ διὰ μέσου αὐτῆς
ἐν χειρὶ κραταιᾷ
καὶ ὑψηλῷ βραχίονι
τῷ μόνῳ Θεῷ ἄσωμεν
τῷ ποιοῦντι μεγάλα καὶ παράδοξα
θαυμαστὰ καὶ ἐξαίσια τέρατα.

'Ωδὴ β'

Ἴδετε ἴδετε ὅτι ἐγώ εἰμι
ὁ πάντων δεσπόζων
οὐρανοῦ τε καὶ γῆς καὶ τῶν ἐν αὐτοῖς
ὁ τὸν λαόν μου διαθῶντα
ἐν ἐρήμῳ κορέσας
τῇ ἀφάτῳ βουλήσει
καὶ εὐσπλαγχνίᾳ μου.

'Ωδὴ γ'

Στερέωσον, Χριστέ, τῇ πέτρᾳ τῆς ἐκκλησίας
ἡμᾶς τοὺς σὲ ὑμνοῦντας
ἵνα ὀρθοδόξῳ πίστει βοῶμεν·
οὐκ ἔστιν ἅγιος πλὴν σου, Κύριε.

'Ωδὴ δ'

Εἰσακήκοα, Κύριε,
τῶν θαυμαστῶν σου ἔργων

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

τὴν παράδοξον ἐργασίαν
ὅτι ἐκ Παρθένου τεχθεὶς
σωτηρίαν εἰργάσω ἐν μέσῳ τῆς γῆς
καὶ ἐδόξασα, Λόγε,
τὴν ἀνείκαστον καὶ θαυμαστήν οἰκονομίαν [σου.

Ὠδὴ ε′

Ὁδήγησόν με, Χριστέ,
τῷ φωτὶ τῶν ἐντολῶν σου
τὸν ἐκ τῶν ἔργων μου τῶν δεινῶν
σκότει πλησιάσαντα
καὶ ἐκ νυκτὸς πρὸς σὲ ὀρθρίζοντα
τὴν εἰρήνην παράσχου μοι, φιλάνθρωπε.

Ὠδὴ ς′

Ὁ βυθὸς ὃν συνεστησάμην ἐξ ἔργων δεινῶν
συνέχει με, Κύριε, τὸν ταλαίπωρον
ἀλλ' ὡς τὸν Ἰωνᾶν
ἀβλαβῆ διέσωσας ἐκ τοῦ θηρὸς
οὕτω κἀμὲ συνεήρησον
τῇ παναγάθῳ εὐσπλαγχνίᾳ
καὶ δυνάμει σου.

Ὠδὴ ζ′

Πυρὶ φλεγομένῃ παῖδα ἡ κάμινος
τῶν Χαλδαίων, τρεῖς παῖδας δεξαμένη [ὑσίους
εἰς δρόσον μετεποιεῖτο·
ὑμνοῦντες δὲ οἱ παῖδες ἐβόων·
ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ
καὶ ὑπερύμνητος
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ η′

Ἑλκὼν ἵστατο ποτὲ ἐν Βαβυλῶνι
καὶ ὁ κήρυξ ἐν ἰσχύϊ ἐκραύγαζεν·
ὅστις πεσὼν μὴ προσκυνήσει
ἐμβληθήσεται ἐν τῇ καμίνῳ τοῦ πυρός·
οἱ δὲ παῖδες εἰσαχθέντες ἔψαλλον·
εὐλογείτω πᾶσα ἡ κτίσις τὸν Κύριον.

Ὠδὴ θ′

Κλοπὴν μὴ ὑποστᾶσα
τῆς παρθενίας, πάναγνε,
καὶ τὰ μητέρων λαθοῦσα
ἀπεκύησας ἡμῖν βρέφος πανάγιον
καὶ διὰ τοῦτο πᾶσα ἡ κτίσις
μεγαλύνει σε πιστῶς.

336

ΕΙΣ ΤΑΣ ΝΗΣΤΕΙΑΣ
Ποίημα Στεφάνου Σαββαΐτου

Β φ. 285β

Ὠδὴ α′. Ἦχος πλ. δ′. Ὁ Εἱρμός.

* Ἐκ τῶν περιεχουσῶν με θλίψεων
σὺ καταφυγὴ
ἐγένου μοι, Χριστὲ ὁ Θεός,
καὶ ἐκ τῶν ἀναγκῶν μου ἐρρύσω με
τῇ δεξιᾷ σου τῇ κραταιᾷ·
διὸ ἄσμα ἀναπέμπω σοι ἐπινίκιον
ὡς πρὶν ὁ Ἰσραὴλ πεζεύων
τὴν ἄβατον ἀβρόχοις ἴχνεσιν.

Ὠδὴ γ′

Μὴ καυχάσθω ὁ καυχώμενος
ἐπὶ πλήθει ἰσχύος αὐτοῦ
ἀλλ' ἢ ἐν τούτῳ καυχάσθω
ἐν τῷ συνιέναι τὸν Θεὸν
καὶ δοξῶν σοι ἀσιγήτως·
ἅγιος εἶ, Κύριε.

Ὠδὴ δ′

Ἀκήκοεν ὁ Ἀββακοὺμ
τὰ παράδοξα τεράστια, Χριστέ,
τῆς σῆς ἐνανθρωπήσεως
καὶ ἐκστὰς ἀνεβόα·
δόξα τῇ δυνάμει σου, Κύριε.

Ὠδὴ ε′

Ὅτι φῶς τὰ προστάγματά σου, Κύριε,
ἐν αὐτοῖς ἡμᾶς ὀρθρίζειν δίδαξον
ὁ Θεὸς ἡ εἰρήνη τῶν ψυχῶν ἡμῶν.

Ὠδὴ ς′

Τὴν ἐκ καρδίας δέησιν
μὴ ὑπερίδῃς, Χριστέ,
ὁ ἐν κοιλίᾳ τοῦ ἅδου τριημερεύσας
ἀλλ' ἐπάκουσον καὶ ῥῦσαί με
ἐκ τοῦ ἅδου τῶν παθῶν, φιλάνθρωπε.

Ὠδὴ ζ′

Δημιουργὲ τῶν ὅλων καὶ Θεὲ
συνοχεῦ καὶ πρύτανι
Λόγε Θεοῦ καὶ πατρὸς
ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η′

Τῷ θεϊκῷ προστάγματι
πειθαρχοῦντες οἱ παῖδες ποτὲ
βασιλεύοντος ἀντίθεον
χρυσολατρείαν διέπτυσαν
ἀπειλὴν δὲ φλογὸς
διὰ τῆς εὐσεβείας πατήσαντες
δροσιζόμενοι ἔψαλλον·
εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον

Ὠδὴ θ′

Θεανθρωπότητος σύνοδος
ἐν τῇ γαστρί σου γέγονε.
Μαρία θεονύμφευτε·
καὶ γὰρ ὁ ἐκ τῆς Τριάδος
προσλήψει σαρκὸς ἐμψυχωμένης
τῆς ἐκ σοῦ ἀφράστως σεσωμάτωται·
διὸ ἀνυμνοῦντές σε μεγαλύνομεν.

337

ΕΙΣ ΤΑ ΒΑ·Ι·Α
Ποίημα Στεφάνου Σαββαΐτου

Β φ. 286α

Ὠδὴ α′. Ἦχος πλ. δ′. Ὁ Εἱρμός.

* Τῷ ἐν θαλάσσῃ Ἐρυθρᾷ
τὸν Φαραὼ βυθίσαντι
καὶ ἐν ἐρήμῳ τὸν λαὸν
τοῦ Ἰσραὴλ ὁδηγήσαντι
καὶ ἐπὶ πώλου σήμερον
μυστικῶς καθεζομένῳ
ᾄσωμεν Χριστῷ ὅτι δεδόξασται.

Ὠδὴ γ′

Στερέωσόν με, Χριστέ,
τῇ πίστει τῇ ἁγίᾳ
ἵνα μὴ σαλεύσῃ με ἐκ σοῦ ὁ δυσμενὴς
βοῶντά σοι τὸν ὕμνον ὥσπερ οἱ παῖδες
εὐλογημένος εἶ, σωτήρ, ὁ παραγενόμενος
σῶσαι τὸ γένος ἡμῶν.

Ὠδὴ δ′

Εἰσακήκοα τὴν ἀκοήν σου, Κύριε, καὶ ἐφο- [βήθην
κατενόησα τὰ ἔργα σου καὶ ἐξέστην
ὅτι ἐν πώλῳ καθήμενος ἐγνώσθης
εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ὠδὴ ε′

Δώρησαι ἡμῖν τὴν εἰρήνην σου, Χριστέ,
ὁ τῷ πώλῳ ἐπιβάς
καὶ λῦσον ἡμῶν τὴν ἀλογίαν
ἵνα ἐπινίκιον ὕμνον
ἐπάδοντες εἴπωμεν·
ὡσαννὰ ἐν τοῖς ὑψίστοις.

Ὠδὴ ς′

Ὁ ἐν Ἰσαὰκ τὸ πάθος προγράψας
καὶ ἐν Ἰωνᾷ ταφὴν προτυπώσας
καὶ ἀνάστασιν τοῖς πᾶσι παρέχων
σοὶ βοῶμεν σὺν τῷ προφήτῃ·
ἐκ φθορᾶς ἡμᾶς ἀνάγαγε,
εὔσπλαγχνε Κύριε.

Ὠδὴ ζ′

Μετὰ τῶν παίδων Ἱερουσαλὴμ σε ἀνυ- [μνοῦμεν
εὐλογημένος ὁ ἐρχόμενος
ἐν ὀνόματι Κυρίου
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Εἱρμὸς ἄλλος

Ἀποβλεψάμενος ὁ τύραννος
τοῦ τετάρτου τὴν μορφὴν
ἔλεγε τοῖς μετ' αὐτοῦ·
τρεῖς ἐβάλομεν ἐν τῇ φλογὶ
νῦν δὲ τέσσαρας ὁρῶ·
τοῦ ἑνὸς ἡ μορφὴ
ἐξιστᾷ μου τὸν νοῦν
ἐκπλήττει μου τὸν λογισμόν·
τῶν τριῶν ὁ χορὸς
ὑμνεῖτε εἰς τοὺς αἰῶνας.

Ὠδὴ η′

Χριστὸν τὸν ἀποστείλαντα
τοὺς ἑαυτοῦ μαθητὰς
λῦσαι ἀλόγων ἐθνῶν τὴν πλάνην
ἐν πώλῳ ἐποχούμενον
μετὰ παίδων κλαδηφόρων
ὑμνοῦντες βοήσωμεν·
εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ′

Ποίημα Ἰωάννου μοναχοῦ

Ἐξ ἀχράντων σου λαγόνων, πάναγνε,
προῆλθεν ὁ Ἐμμανουὴλ
καὶ τὴν πάλαι φθαρεῖσαν εἰκόνα τοῦ Ἀδὰμ
Χριστὸς μορφωθεὶς ἀνεκαλέσατο·
οὐ γὰρ ἔφερε βλέπειν
ὃν ἔπλασε χερσὶν
ὑπὸ τοῦ ὄφεως σατὰν λυμαίνεσθαι·
ὅθεν ὡς τέλειον αὐτὸν Θεὸν
καὶ τέλειον ἄνθρωπον
καὶ σέ, Θεοτόκε, μεγαλύνομεν.

338

ΑΝΑΣΤΑΣΙΜΟΣ ΑΝΑΤΟΛΙΚΗ
Ποίημα Ἀνδρέου Κρήτης

Α φ. 222α. Β φ. 280β

Ὠδὴ α′. Ἦχος πλ. δ′. Ὁ Εἱρμός.

* Ἐξομολογεῖσθε τῷ Κυρίῳ λαὸς Ἰσραὴλ
καὶ δῶμεν δόξα τῷ Θεῷ
τῷ Ἐρυθρὰν γεώσαντι
καὶ Φαραὼ βυθίσαντι
καὶ σώσαντι τὸν λαὸν αὐτοῦ
ᾠδαῖς ἅδοντα ὕμνον ἐπινίκιον
τῷ θαυμαστῷ Θεῷ ἡμῶν
ὅτι δεδόξασται.

Ὠδὴ β′

Ἄρτον ἔφαγεν ἄνθρωπος ἀγγέλων
πάλαι Ἰσραὴλ Σινᾷ ἐν τῇ ἐρήμῳ
τύπου δὲ ἀλήθεια, Χριστέ, σὺ ἦλθες
καὶ πληρώσας τὰ πάντα
τὸ σῶμά σου ἔθου εἰς βρῶσιν πιστοῖς
οἳ ἐν μεγαλωσύνῃ
ἀεί σε δοξάζουσιν.

Ὠδὴ γ′

Λόγῳ σου καὶ δυνάμει
τοὺς οὐρανοὺς ἐστερέωσας, Χριστέ,
καὶ τὴν θάλασσαν ψάμμῳ περιτείχισας
καὶ τῇ ἀκάρπῳ μου ψυχῇ

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

μετανοίας δάκρυα δώρησαι·
οὐ γὰρ ἔστιν ἅγιος
ὡς σὺ ὁ Θεὸς ἡμῶν.

Ὠδὴ δ'

Τὴν ἀκοήν σου, Κύριε,
εἰσακήκοεν ὁ προφήτης
Ἀββακοὺμ ἀκουτισθείς·
κατενόησε γὰρ
τῆς σῆς παρουσίας τὴν συγκατάβασιν
καὶ ἐκραύγαζε δόξα τῇ εὐσπλαγχνίᾳ σου.

Ὠδὴ ε'

Ἐξ ἀχλύος ἁμαρτημάτων
ἐπὶ τὸ φῶς τῶν προσταγμάτων σου
ὁδήγησόν με, Χριστὲ ὁ Θεός,
τὴν ψυχήν μου ῥῶτισον
καὶ τὸν νοῦν διέγειρον
εἰς τὸ ὑμνεῖν σου τὴν ἄρρητον δύναμιν.

Ὠδὴ ς'

Ἐκ τοῦ βυθοῦ τῶν κακῶν μου
ὡς πρὶν τὸν Ἰωνᾶν
ἀνάγαγε, Κύριε, καὶ σῶσόν με.

Ὠδὴ ζ'

Ῥήματι τυράννου
ἡ τῶν παίδων κάμινος ἐξεκαύθη ποτὲ
τοὺς Χαλδαίους φλέγουσα
τοὺς δὲ πιστοὺς δροσίζουσα·
ὕμνον γὰρ ἀνέμελπον
ἐν φλογὶ πυρπολούμενοι
ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ.

Εἱρμὸς ἄλλος

Ὁ ἐν δόξῃ θαυμαστὸς εὐλογητὸς εἶ,
δημιουργὲ ὁ Θεὸς
τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Ὁ τῶν χερουβὶμ ἐπ' ὤμων ἐποχούμενος
καὶ τοῖς σεραφὶμ ἀπαύστως ὑμνούμενος
τῶν σῶν οἰκτιρμάτων, ἱκέτευσον,
τῶν αἰώνων δημιουργέ,
αἰνετὸν καὶ ὑπερυψούμενον τὸ κράτος
τῆς μεγαλωσύνης σου εἰς τοὺς αἰῶνας.

Εἱρμὸς ἄλλος

Ὁ ἄναρχος Θεὸς Λόγος
ἐλθὼν ἐπὶ τὸ βάπτισμα
ἐτέλει τὸ μυστήριον
τῆς οἰκονομίας ἐν Ἰορδάνῃ
καὶ τῷ Προδρόμῳ ἔλεγε·
σύ με βαπτίζεις ὕδατι
ἐγὼ δέ σε ἐν Πνεύματι
μετὰ τῶν ἐν πίστει βοώντων μοι
εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Εἱρμὸς ἄλλος

Ἄγγελοι, οὐρανῶν αἱ δυνάμεις
ὑμνεῖτε τὸν Κύριον.

Ὠδὴ θ'

Σιγάτω αἱρετικῶν τὰ στίφη
τῶν μὴ κυρίως Θεοτόκον ὁμολογούντων σε
σὲ γὰρ ἄνωθεν οἱ προφῆται προεκήρυξαν
γενέσθαι μητέρα Θεοῦ·
καὶ μεσῖτιν τοῦ γένους ἡμῶν·
διό σε, Παρθένε, μεγαλύνομεν.

Εἱρμὸς ἄλλος

Μὴ ἀράτω εἰς ἡμᾶς ὁ ἐχθρὸς τὸ στόμα
μηδὲ αὐχήτω μεγαλορρήμων ἐν γλωσσαλ-
[γίαις
μὴ ὁμολογῶν σε κυρίως Θεοτόκον·
ἀλλὰ θραῦσον τούτων τὸν αὐχένα
καὶ κατέαξον εἰς γῆν
ὅπως μάθωσι κυρίως Θεοτόκον ὁμολογεῖν σε
καὶ πίστει δοξάζειν
ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν
ὁμοφρόνως μεγαλύνωσιν.

Εἱρμὸς ἄλλος

Μητέρα σε Θεοῦ γινώσκοντες
ἐν φωναῖς ἀσμάτων
οἱ πιστοὶ μεγαλύνομεν.

Εἱρμὸς ἄλλος

Ἄχραντε Θεοτόκε Παρθένε,
σὲ μεγαλύνομεν.

339

ΕΙΣ ΤΗΝ ΓΕΝΝΗΣΙΝ ΤΟΥ ΧΡΙΣΤΟΥ
Ποίημα Ἀνδρέου Κρήτης

Α φ. 228β. Β φ. 279α

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

Τῷ θαυμαστῷ Θεῷ ἡμῶν
ἄσωμεν ἆσμα καινὸν
τῷ ἐν θαλάσσῃ σώσαντι
τοὺς υἱοὺς Ἰσραὴλ
καὶ πόντῳ καλύψαντι
τοὺς ὑπεναντίους
ἐν ὑψηλῷ βραχίονι
ὅτι δεδόξασται

Ὠδὴ β'

Ἴδετε ἴδετε ὅτι ἐγώ εἰμι Θεὸς
ὁ καινουργήσας τὸν Ἀδὰμ
καὶ ἐκ Παρθένου σαρκωθείς
δι' εὐσπλαγχνίαν ἄῤῥητον
καὶ τὴν κτίσιν ἅπασαν δημιουργήσας
τῷ λόγῳ καὶ τῇ σοφίᾳ μου.

Ὠδὴ γ'

Ὁ στερεώσας οὐρανοὺς
καὶ τὴν γῆν ἐπὶ ὑδάτων ἑδράσας
στερέωσόν με, Κύριε,
τοῦ ἀεί σε δοξάζειν
ταῖς ἱκεσίαις τῆς τεκούσης σε μητρός.

Ὠδὴ δ'

Κεκρυμμένον μυστήριον
ἀπὸ τῶν αἰώνων ἐκτελῶν, ζωοδότα,
ἐκ Παρθένου ἠυδόκησας
διπλοῦς προελθεῖν
εἰς βροτῶν σωτηρίαν·
δόξα τῇ δυνάμει σου, Κύριε.

Ὠδὴ ε'

Ὁ τὸ φῶς ἐκλάμψας τῷ κόσμῳ,
Χριστὲ ὁ Θεός,
καὶ ἡμᾶς διάσωσον,
σωτήρ, καὶ φωταγώγησον
τοῦ ἀξίως ὑμνῆσαι τὰ σὰ γενέθλια.

Ὠδὴ ς'

Ὡς Ἰωνᾶς ἐκ τοῦ βυθοῦ σοι βοῶ, Κύριε,
ὁ ληχθεὶς ἐκ Παρθένου ἀνάγαγέ με
ὅπως θύσω σοι μετὰ φωνῆς αἰνέσεως.

Ὠδὴ ζ'

Κάμινον φλογὸς
μετέβαλες εἰς δρόσον
μηνύων, ἀγαθέ,
τὸν τόκον τῆς Παρθένου·
καὶ διὰ τοῦτο βοῶμέν σοι ὡς οἱ παῖδες·
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Τὸν ἐν τῷ ὄρει τῷ Σινᾷ
ὀφθέντα τῷ Μωσῇ
ἐν πυρὶ καὶ βάτῳ
καὶ ἐν καμίνῳ τοῖς παισὶ
μορφῇ ἀγγέλου συγκαταβάντα
ἱερεῖς εὐλογεῖτε
λαὸς ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Ἀθυμία κατέσχε τὴν Παρθένον
ὅτε ἔγκυον αὐτὴν ὁ Ἰωσὴφ ἑώρακε
καὶ ἐβόα πρὸς αὐτήν·
τί τοῦτο, κόρη; πόθεν τὸ βρέφος
ὃ μεγαλύνομεν;

340

ΑΝΑΣΤΑΣΙΜΟΣ
Ποίημα Ἀνδρέου Κρήτης

Β φ. 282α

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

Ἀνεκαλύπτετο βυθοῦ
τὸ κύτος ἐγκολπούμενον
φυγάδα πάλαι λαόν·
ἐπεκαλύπτετο δὲ αὖθις
τὸν Φαραὼ βυθίσαν
καὶ τάφος ἐγνωρίζετο·
διὸ ὁ ἐκλεκτὸς Ἰσραὴλ
σωθεὶς ἀνεβόα·
Κύριε τερατουργέ,
οὐκ ἔστιν ὅμοιός σοι
δεδοξασμένος ἐν θεοῖς,
οὐδὲ κατὰ τὰ ἔργα σου.

Ὠδὴ β'

Ὦ λαὸς παράφρων
ὦ σύστημα παράνομον
ἵνατί ἐγκατέλιπες Θεὸν
τὸν ποιήσαντά σε
καὶ ἐτελέσθης τῷ γλυπτῷ Βεελφεγώρ;
ἵνατί ἐπιλαθόμενος
τῶν εὐεργεσιῶν μου
ἐδούλευσας τοῖς μὴ οὖσι θεοῖς;
ἐπίγνωθι Κυρίου Θεοῦ σου
τοῦ ποιήσαντός σε
καὶ ἵλεως ἔσομαί σοι
ὅτι Θεὸς ἐλέους ἐγώ εἰμι
καὶ ἰάσομαί σε λέγει Κύριος.

Ὠδὴ γ'

Ὁ πόλον τείνας οὐρανοῦ
καὶ λόγῳ πήξας ἄκρα γῆς
τὸν λογισμόν μου στήριξον
καὶ τὸ κέρας μου ὕψωσον
ἵνα ψάλλω σοι τὸν ὕμνον
Θεὸς οὐκ ἔστι πλὴν σοῦ
ἅγιος καὶ δίκαιος, Κύριε.

Ὠδὴ δ'

Καταυγασθεὶς ὁ Ἀββακοὺμ
τῷ ὁδηγοῦντι Πνεύματι
τὴν σάρκωσιν ἐκήρυττε
τοῦ Λόγου πάλαι βοῶν·
ἐλεύσεται Θεὸς
ἐκ κατασκίου δασέος,
τουτέστιν ἐκ Παρθένου,
εἰς σωτηρίαν λαοῦ αὐτοῦ.

Ὠδὴ ε'

Ὁ ἐκ πατρὸς ἀνατείλας
τῆς δικαιοσύνης ἥλιος
τὸ τῆς ψυχῆς μου ζοφερὸν
λάμψον φωτί σου νοερῷ
ἵνα ὡς ἐν ἡμέρᾳ πορευόμενος
ταῖς θείαις ἐντολαῖς φθάσω βλέψαι σου
τὸ ἀνέσπερον κάλλος καὶ ἄῤῥητον.

Ὠδὴ ς'

Ἡ προσευχή μου ἐλθοί
εἰς ναόν σου τὸν οὐράνιον,
ὑπεράγιε Θεέ,
ἐν τῷ ἐκλείπειν γὰρ τὸ πνεῦμά μου

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

ἡ πανσθενὴς δεξιά σου
ἀντιλαβέτω μου, Κύριε.
'Ωδὴ ξ'
Κάμινος ἡ καυστικὴ
εἰς δρόσον μετεβάλλετο
ἀγγέλου συγκαταβάντος·
καὶ γὰρ τὰς ἐνεργείας διαμερίζουσα
τοῖς Χαλδαίοις ὡρᾶτο
σπινθηροβόλος τῇ φύσει
τοῖς ὁσίοις παισὶ δὲ
ὡς δροσοβόλος τῇ πίστει
δεδοξασμένος βοῶσι
καὶ αἰνετὸς ὁ Θεὸς
τῶν πατέρων ἡμῶν.
'Ωδὴ η'
Σάλπιγγος ἠχὴν
καὶ παναρμόνιον μέλος
οἱ τῆς Σιὼν ἀπόγονοι παῖδες οὐχ εἵλοντο·
χορείαν δὲ στησάμενοι
ᾠδήν σοι ἀνέκρουον
τῷ τὸ πῦρ δροσίσαντι
καὶ φῶς πηγάσαντι
εὐλογεῖτε βοῶντες
δρόσον καὶ πῦρ τὸν ποιήσαντα.
'Ωδὴ θ'
Τὴν κεκλεισμένην τῆς ἀγνείας σου πύλην
διῆλθε μόνος Κύριος
ἐσφραγισμένην φυλάξας
ὡς ἦν πρὸ τόκου παρθένος·
καινοποιεῖ γὰρ νόμους φύσεως
ὁ πλαστουργὸς τῆς φύσεως·
διὸ εὐσεβῶς μακαριοῦμέν σε
αἱ γενεαὶ τῆς γῆς, Θεοτόκε,
τὸν τόκον τὸν θεῖον μεγαλύνοντες.
Εἱρμὸς ἄλλος
Ὑπερτέρα τῷ κάλλει, Θεογεννήτρια,
ἀηδὼν ἡ τιμία καὶ θεοδίδιστος
χελιδὼν ἡ ἐν στέρνοις καταπετάζουσα
τὸν μελίρρυτον βότρυν τῷ κόσμῳ τρέφουσα·
διό, ἄχραντε κόρη, σὲ μεγαλύνομεν.

341

Ποίημα Ἰλία πατριάρχου Ἱεροσολύμων [1]

Λ φ. 230α. Β φ. 283β

'Ωδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.
Φαραὼ τὰ ἅρματα
καὶ τὴν δύναμιν πᾶσαν

(1) Ἀνδρέου Κρήτης κατὰ τῶν Λατίνων Κώδ. Β 32.

ἐν ὕδατι ἐκάλυψας, σωτήρ,
σώσας λαὸν Ἰσραήλ
ᾠδαῖς καὶ ὕμνοις
πρὸς σὲ πιστῶς βοῶντας·
ἄσωμέν σοι ἐπινίκιον ᾠδήν,
ὅτι δεδόξασαι.
'Ωδὴ β'
Μεγαλωσύνην Χριστῷ
τῷ Θεῷ προσάξωμεν πάντες λαοί·
προσέσχε γὰρ ταῖς φωναῖς
τῶν θείων οἰκετῶν αὐτοῦ
καὶ τὰς αἰτήσεις παρέσχεν
ὁ μόνος ἐν δικαιοσύνῃ
πάντα ἐργασάμενος.
'Ωδὴ γ'
Ἐκ τῶν ἐπανισταμένων μοι
τῆς ἁμαρτίας κυμάτων
τὴν ψυχὴν δονούμενος
σοὶ προσπίπτω, σωτήρ μου,
ἐν τῷ σῷ στερέωσον θελήματι.
'Ωδὴ δ'
Φωνῆς ἄνωθεν ἀκούσας Ἀββακοὺμ
καὶ ἐκστὰς ἔκραζεν·
ἐπέστη ἐκ Θαιμὰν
ὁ ποιήσας τὸν Ἀδὰμ χοϊκὸν
καὶ φορέσας τὸν Ἀδὰμ ἐκ μητρὸς
ἵνα τοὺς ἐξ Ἀδὰμ φθαρέντας ἀνακαλέσηται.
'Ωδὴ ε'
Ἐν νυκτὶ τὸν βίον μου ἀνάλωσα
ὁ τάλας ἐγὼ
ψηλαφητὸν σκότος διέδραμον
τῶν παθῶν τὴν ἐπανάστασιν
ὡς φύλακας ὑπελθὼν νυκτερινούς·
ἀλλά, φῶς νοερόν, ἥλιε,
διασκέδασάς μου τὴν ἀχλὺν
τὸ σκότος ἀπέλασον τῶν κακῶν μου
ὅτι πρὸς σέ, Κύριε,
ὀρθρίζει μου τὸ πνεῦμα.
'Ωδὴ ς'
Ὡς ἐξ ἀδήλων κυμάτων
περιέσχε με ζάλη ἁμαρτημάτων
καὶ ἀνανεῦσαι βουλόμενος
συγκαλύπτει με
καὶ ἀποπνίγει μου τὸ πνεῦμα,
εἰ μὴ προφθάσας βοηθήσῃς μοι·
ἀλλ' ὡς τὸν Ἰωνᾶν με ἀνάγαγε
ὁ Θεὸς καὶ ἐλέησόν με.
'Ωδὴ ζ'
Μνημονεύοντες τῶν γραφῶν Ἡσαΐου
οἱ θεοφόροι παῖδες παρεδίδοντο
βασιλεῖ ἀδίκῳ
καὶ πονηροτάτῳ παρὰ πᾶσαν τὴν γῆν
καὶ ἐξουδένωσαν ἐν τῇ σαρκὶ

τοὺς θεοὺς Βαβυλῶνος
καὶ ἐδροσίζοντο ἐν τῇ καμίνῳ
ὑπὸ σοῦ τοῦ Δεσπότου
ὅτε τὸν ἄγγελον ἀπέστειλας
ἐν τῷ ψάλλειν αὐτούς
εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.
'Ωδὴ η'
Ὁ περιβάλλων τὸν οὐρανὸν ἐν νεφέλαις
καὶ ἑτοιμάζων τῇ γῇ ὑετὸν
μέγας εἶ, Κύριε,
καὶ θαυμαστὰ τὰ ἔργα σου
καὶ τῆς συνέσεώς σου οὐκ ἔστιν ἀριθμός·
σὲ τρέμουσιν ἀγγέλων πᾶσαι στρατιαὶ
σὲ φρίττουσιν ἄβυσσοι
σοὶ δουλεύουσιν αἱ πηγαὶ
ἁπλῶς πᾶσα πνοὴ καὶ κτίσις
ὑμνεῖ σε εὐλογεῖ σε
καὶ δοξολογεῖ σε,
Χριστέ, εἰς τοὺς αἰῶνας.
'Ωδὴ θ'
Τίς ἑρμηνεύσει θαῦμα βλέπων ἄνανδρον
μητέρα φέρουσαν βρέφος ἄσπορον ;
ἐκ μαζῶν βρύει γάλα Παρθένος
μόνη τρέφουσα υἱὸν
τὸν τρέφοντα κόσμον ἅπαντα·
ὃν οὐκ ἔσπειρε πατὴρ
ἀλλ' ἐκύησε γαστήρ·
ὃν ὑμνεῖ τὰ χερουβὶμ
καὶ δοξάζει σεραφὶμ
ὡς Κύριον καὶ Θεόν.

342

Ποίημα Ἠλία πατριάρχου Ἱεροσολύμων

Λ φ. 230α

'Ωδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.
Τῷ ἐν θαλάσσῃ Ἐρυθρᾷ
τὸν Φαραὼ βυθίσαντι
καὶ ἐν ἐρήμῳ τὸν λαὸν
τοῦ Ἰσραὴλ ὁδηγήσαντι
ἄσωμεν Χριστῷ ὅτι δεδόξασται.
'Ωδὴ γ'
Ὁ στερεώσας οὐρανοὺς
καὶ τὴν γῆν ἐπὶ ὑδάτων ἑδράσας
στερέωσόν με, Κύριε,
τοῦ ἀεί σε δοξάζειν
ταῖς ἱκεσίαις τῆς τεκούσης σε, σωτήρ.
Εἱρμὸς ἄλλος
Ὁ τεχθεὶς ἐκ Παρθένου
καὶ σταυρὸν ὑπομείνας σαρκὶ
στερέωσον τὰς καρδίας ἡμῶν
εἰς τὸ ὑμνεῖν καὶ δοξάζειν
τὴν ἀνάστασίν σου, Κύριε.
'Ωδὴ δ'
Τὴν ἐξ ὄρους δασέος σου, Λόγε, παρουσίαν
κατανοήσας ὁ προφήτης ἐβόα·
δόξα τῇ δυνάμει σου, Κύριε.
Εἱρμὸς ἄλλος
Φόβῳ πολλῷ συσχεθεὶς Ἀββακοὺμ
ὁ τῶν προφητῶν σεβασμιώτατος
Πνεύματι θείῳ προορῶν
τὴν ἀνεξιχνίαστόν σου ἔλευσιν
παραδόξως μελῳδῶν ἐβόα·
Κύριε, εἰσακήκοα
τὴν ἀκοήν σου καὶ ἐφοβήθην
κατενόησα τὰ ἔργα σου
καὶ ἐδόξασά σου τὴν θεότητα.
'Ωδὴ ε'
Ἐκ νυκτός, φιλάνθρωπε,
τὸ πνεῦμά μου ὀρθρίζει
πρὸς δοξολογίαν
τῆς εὐσπλαγχνίας σου, οἰκτίρμον,
ἀλλ' εἰσάκουσον πάντων τῶν δεομένων σου
διὰ τῆς τεκούσης σε καὶ σῶσον ἡμᾶς.
'Ωδὴ ς'
Τρεῖς παῖδες οὐκ ἐλάτρευσαν
τυραννικὴν εἰκόνα·
μέσον δὲ τῆς καμίνου
ἐμβληθέντες ἐδροσίζοντο
καὶ τῷ ποιητῇ τῶν ὅλων
ἐκραύγαζον λέγοντες·
πάντα τὰ κτιστὰ εὐλογεῖτε
καὶ δοξολογεῖτε
αὐτὸν ὡς κτίστην καὶ Κύριον.
Εἱρμὸς ἄλλος
Ὅτε ἡ κάμινος, δέσποτα δημιουργέ,
πανευσεβεῖς παῖδας
διεφύλαξε τῇ σῇ δυνάμει
τότε ὁ συγχορευτὴς
ἄγγελος ταύτην ἐδρόσισε
καὶ σὺν τοῖς παισὶν ἀνεβόα·
εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.
'Ωδὴ ζ'
Ἀπορεῖ καὶ γλῶσσα καὶ νοῦς
τῶν ἐν σοὶ τελεσθέντων
ὑπεραρρήτων μυστηρίων
διερμηνεῦσαι τὸ πέλαγος·
ἐν γυναιξὶ γὰρ οὐδαμῶς δεδύνηται
παρθένος μήτηρ γενέσθαι·
σὺ δὲ καὶ τέτοκας
καὶ παρθένος διέμεινας·
διὸ ἐκπληττόμενοι
πόθῳ σε μεγαλύνομεν.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

343

ΕΙΣ ΤΟΝ ΤΕΤΡΑΗΜΕΡΟΝ ΛΑΖΑΡΟΝ

Ποίημα Ἠλία πατριάρχου Ἱεροσολύμων

Α φ. 224β. Β φ. 287α

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

* Θαυμάσια τὰ ἔργα σου, Κύριε,
καὶ ἡ ψυχή μου γινώσκει σαφῶς·
ἐκάλυψας γὰρ Φαραὼ
καὶ τὴν δύναμιν αὐτοῦ
εἰς θάλασσαν Ἐρυθρὰν
καὶ ἐποδήγησας λαὸν
ὕμνον σοι βοῶντα·
τῷ Κυρίῳ ἄσωμεν
ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ β'

Ἴδετε ἴδετε ὅτι ἐγώ εἰμι Θεὸς
ὁ ἐν ἐρήμῳ πάλαι
τὸν λαὸν τοῦ Ἰσραὴλ
καθοδηγήσας διὰ νεφέλης φωτεινῆς
καὶ διαθρέψας αὐτὸν τῇ δυνάμει μου.

Ὠδὴ γ'

Ὁ Θεὸς ἡμῶν ἐνδέδυται δύναμιν·
ὁ Θεὸς ἡμῶν ἅγιος·
ἐταπείνωσε γὰρ ὑπερήφανον
καὶ πτωχὸν ἐκ γῆς ἀνύψωσε·
καὶ διὰ τοῦτο αὐτὸν ἀνυμνοῦμεν
ἅγιος εἶ, Κύριε,
καὶ σὲ ὑμνεῖ τὸ πνεῦμά μου.

Εἱρμὸς ἄλλος

Στερέωσόν με, Χριστέ,
τῇ πίστει τῇ ἁγίᾳ
ἵνα μὴ σαλεύσῃ με
ἐκ σοῦ ὁ δυσμενὴς
βοῶντά σοι τὸν ὕμνον
ὥσπερ οἱ παῖδες·
εὐλογημένος εἶ, σωτήρ,
ὁ παραγενόμενος σῶσαι τὸ γένος ἡμῶν.

Ὠδὴ δ'

Βίᾳ τὰ ὄρη διεθρύβη
τῇ κραταιᾷ δυνάμει σου·
ἐξῆλθες γὰρ εἰς σωτηρίαν λαοῦ σου
τοῦ σῶσαι τοὺς χριστούς σου
καὶ ἀνάστασις γέγονας
τοῖς ἀπεγνωσμένοις,
Κύριε, δόξα τῇ δυνάμει σου.

Εἱρμὸς ἄλλος

Εἰσακήκοα τὴν ἀκοήν σου, Κύριε, καὶ ἐφο-
[βήθην
κατενόησα τὰ ἔργα σου καὶ ἐξέστην
ὅτι ἐν πώλῳ καθήμενος ἐγνώσθης
εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ὠδὴ ε'

Λύχνος τοῖς ποσί μου
ὁ νόμος σου, φιλάνθρωπε,
καὶ ἐν σοὶ τῷ Θεῷ μου ῥυσθήσομαι
ἀπὸ πειρατηρίου
καὶ ἐν τῷ φωτί σου ὑπερβήσομαι
τῆς ἔχθρας τὸ μεσότοιχον·
ὁδήγησόν με δέομαι
ὅτι σὺ ὁ φωτισμὸς
καὶ εἰρήνη τῶν ψυχῶν ἡμῶν.

Εἱρμὸς ἄλλος

Λάμψησαι ἡμῖν
τὴν εἰρήνην σου, Χριστέ,
ὁ τῷ πώλῳ ἐπιβὰς
καὶ λύσας ἡμῶν τὴν ἀλογίαν
ἵνα ἐπινίκιον ὕμνον
σοὶ ᾄδοντες εἴπωμεν·
ὡσαννὰ ἐν τοῖς ὑψίστοις.

Ὠδὴ ς'

Τὸν Ἰωνᾶν
ἐν τῷ κήτει, Κύριε,
μονώτατον κατώκισας·
ἐμὲ δὲ τὸν πεπεδημένον
ἐν ἄρχυσι τοῦ ἐχθροῦ
ὡς ἐκ φθορᾶς ἐκεῖνον διάσωσον.

Εἱρμὸς ἄλλος

Ὡς ἐν κοιλίᾳ τοῦ κήτους ὁ Ἰωνᾶς
οὕτω κἀγὼ ἐν τῷ βυθῷ τῶν πταισμάτων
καταποθεὶς σοι ἀναβοῶ·
φιλάνθρωπε Κύριε,
ῥῦσαι τὴν ψυχήν μου
ἐκ φθορᾶς καὶ σῶσόν με.

Ὠδὴ ζ'

Εὐλογητὸς εἶ, δεδοξασμένε Κύριε,
ὁ τοὺς ὁσίους σου παῖδας
φυλάξας ἀλωβήτους
ἐν μέσῳ καιομένης φλογὸς
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Τὴν ἔμψυτον πυρὸς ἐνέργειαν
ἔγκριτοι Ἑβραίων παῖδες ἐν τῇ καμίνῳ
τῇ τῆς ἀρχετύπου εἰκόνος
ἀνελλιπεῖ ἐμφερείᾳ
μετημείψαντο εἰς δρόσον θεότητος·
εὐρύθμως δὲ τῇ κτίσει δροσιζόμενοι
προσήρμοσαν τὰ μέλη·
εὐλογεῖτε πάντα τὰ κτιστὰ
τὸν κτίσαντα Θεὸν
καὶ ὑπερυψοῦτε, λέγοντες,
τὸν Κύριον εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Τὴν ἁγνὴν ἐνδόξως τιμήσωμεν

λαοὶ Θεοτόκον
τὴν τὸ πῦρ τῆς θεότητος δεξαμένην
ἐν τῇ γαστρὶ ἀρλέκτως
ἐν ὕμνοις μεγαλύνοντες.

Εἱρμὸς ἄλλος

Σὺ εἶ, Θεοτόκε, τὸ ὄρος
ἐν ᾧ εὐδόκησεν ὁ Θεὸς
κατοικεῖν ἐν αὐτῷ·
διό σε μεγαλύνομεν.

Εἱρμὸς ἄλλος

Σὲ Ἡσαΐας ῥάβδον ἐπονόμασεν
ἄνθος βλαστήσασαν
καὶ Δανιὴλ ὄρος ἀλατόμητον
καὶ πύλην ἀδιόδευτον Ἰεζεκιήλ·
Ἀββακοὺμ δὲ ὄρος κατάσκιον
καὶ σταμνον πάγχρυσον Μωσῆς
ἔνδον τὸ μάννα ἔχουσαν Χριστὸν
καὶ φέρουσαν εἰς τὸν κόσμιον ἀεὶ
ἵνα σώσῃ τοὺς σὲ μεγαλύνοντας.

344

ΑΝΑΣΤΑΣΙΜΟΣ

Ποίημα Ἠλία πατριάρχου Ἱεροσολύμων

Α φ. 227α. Β φ. 288α

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

* Ἐπάγη ὡσεὶ τεῖχος τὰ ὕδατα
ἐπάγη καὶ τὰ κύματα
ἐν μέσῳ τῆς θαλάσσης
καὶ διελθὼν ὁ Ἰσραὴλ διὰ ξηρᾶς
τὸν ἄβατον ἐβόησε·
τῷ ποιοῦντι μεγάλα θαυμάσια
ἄσωμεν ἆσμα καινόν.

Ὠδὴ β'

Ἴδετε ἴδετε
ὅτι ἐγώ εἰμι λέγει Κύριος
ὃν ἄνω ἀνυμνοῦσι
τῶν ἀγγέλων στρατιαὶ
καὶ κάτω προσκυνοῦσι
τῶν ἀνθρώπων γενεαὶ
ὡς κτίστην καὶ δεσπότην καὶ σωτῆρα
καὶ ποιητὴν τοῦ παντός.

Ὠδὴ γ'

Ὕψωσας τὸ κέρας τοῦ λαοῦ σου, Κύριε
ἀφ' οὗ κατῆλθες τῶν ὑψηλῶν
καὶ ἐνέδυσω τὰ ταπεινὰ
καὶ εὐφράνθησαν ἅμα
ὁ οὐρανὸς καὶ ἡ γῆ
διαγγέλλοντες τὰ μεγαλεῖά σου.

Ὠδὴ δ'

Τὸν πρὸ ἡλίου ἥλιόν σε,
Δέσποτα, ὁρῶσα ἡ ἐκκλησία
ἐπὶ σταυροῦ τὰς χεῖρας σωματικῶς
ἥλοις ἐμπεπαρμένον
καὶ τὴν τιμίαν καὶ ἄχραντον πλευρὰν
ἐξ ἧς ἀνέβλυσας πόμα σωτήριον τοῖς πιστοῖς
ἐν τῇ τάξει αὐτῆς ἔστηκε λέγουσα·
δόξα τῇ δυνάμει σου, Κύριε.

Εἱρμὸς ἄλλος

Τὴν ἐπ' ἐσχάτων σοι, Λόγε,
ἐκ Παρθένου σάρκωσιν
ἐν Πνεύματι προβλέπων
ὁ προφήτης Ἀββακοὺμ
ἐβόα ἐξιστάμενος·
ἐκάλυψεν οὐρανοὺς
ἡ ἀρετή σου, Κύριε,
καὶ πλήρης ἡ γῆ τῆς αἰνέσεώς σου·
δόξα ὁ Θεὸς τῇ εὐσπλαγχνίᾳ σου
δόξα τῇ συγκαταβάσει σου.

Ὠδὴ ε'

Εἰσελθέτω ἡ προσευχή μου
ἐνώπιόν σου, Κύριε,
ἐκ νυκτὸς ὀρθρίζει γὰρ τὸ πνεῦμά μου
πρὸς σὲ τὸ φῶς τὸ ἀληθινόν·
φώτισόν μου τὴν διάνοιαν, οἰκτίρμον,
τοῦ δοξάζειν σε, φιλάνθρωπε.

Ὠδὴ ς'

Ὡς ἐν ξυλίνῃ λάρνακι τὸν Νῶε,
σπινθῆρα τοῦ γένους,
ἐκ τοῦ κοινοῦ ναυαγίου διέσωσας
καὶ τὸν Ἰωνᾶν ἐν τῇ τοῦ νοητοῦ ζώου γα-
[στρὶ
ἐκ θαλαττίου κλύδωνος,
οὕτω κἀμὲ ῥῦσαι, σωτήρ,
τῶν παραπτωμάτων τῶν πολλῶν
καὶ κυβέρνησον τὴν ζωήν μου, ὡς φιλάν-
[θρωπος.

Ὠδὴ ζ'

Οὐ κριῶν καὶ ταύρων
καὶ ἀρνῶν πιόνων αἷμα
προσφέρομέν σοι τῷ φρικτῷ βασιλεῖ
ἀλλ' αἷμα τὸ σὸν τὸ πανάγιον
διαθήκης αἰωνίου τὸ ἀντάλλαγμα
δι' αὐτοῦ· μὴ παραδώῃς ἡμᾶς
τοῖς ἐχθροῖς ἡμῶν
ἵνα πᾶσα ἡ ἐκκλησία βοᾷ σοι·
εὐλογητὸς ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Πῦρ ὕλης γέννημα
καὶ δαπανᾷ τὴν ὕλην
καὶ ὑπηρέτας κακοὺς ἡ κακία·
τοὺς ἐν ἕξει καλῇ δὲ τρεῖς παῖδας
τῆς εὐσεβείας οὐκ ἔδεται τὸ πῦρ

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

πιανθέντας Θεῷ τῷ ῥύστῃ καὶ μέλποντας·
εὐλογεῖτε τὰ ἔργα τὸν Κύριον
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Κλίνας οὐρανοὺς
τῇ συγκαταβάσει σου, Κύριε,
ὤκησας ἁγνὴν Παρθένου μήτραν καὶ ἄ-
[φθορον
καὶ μὴ λυμηνάμενος
κλεῖθρα τῆς παρθενίας
Θεοτόκον ἀνέδειξας·
ἣν ὠδαῖς κατὰ χρέος
θεηγόροις μεγαλύνομεν.

345

ΑΝΑΣΤΑΣΙΜΟΣ

ἧς ἡ ἀκροστιχίς :

« Χριστοῦ ἔγερσιν σὺν τοῖς παθήμασι μέλπω ».

Ποίημα Ἠλία πατριάρχου Ἱεροσολύμων

Β φ. 289α

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

* Χῦμα θαλάσσης
χερσωθείσης ἤπειρον
δεσποτικῷ προστάγματι
μεσοποροῦντα ἤγαγε
τὸν Ἰσραὴλ βοῶντα
ὠδὴν τῷ Θεῷ χαριστήριον.

Ὠδὴ γ'

Τὸ στόμα μου πλατύνας
ἔμπλησον σοφίας, Κύριε,
ἵνα ἀπαύστως μετ' ὠδῆς
τὸν ὕμνον σοι ἀνακράζω·
ὅτι Θεὸς οὐκ ἔστιν
ἅγιος πλήν σου, Χριστέ.

Ὠδὴ δ'

Ἐκ Παρθένου προελθὼν
οὐ πρέσβυς οὐκ ἄγγελος
ἀλλ' αὐτὸς ὁ Κύριος
τοὺς πιστῶς μελῳδοῦντας
ἔσωσας κράζειν σοι, Χριστέ,
δόξα τῇ ἐλεύσει σου,
μόνε φιλάνθρωπε.

Ὠδὴ ε'

Ἱνατὶ παραβλέπεις με
ἐν εὐκαιρίαις ἐν θλίψεσι, Κύριε,
ἐπίνευσον δέομαι
καὶ τῆς ἀγνοίας μου τὸ ζοφῶδες
διάρας κάλυμμα
τῷ φωτισμῷ τῷ σῷ φώτισον,
τὸ φῶς τὸ ἄδυτον.

Ὠδὴ ϛ'

Ναόν σου εἰς ἅγιον
εἰσελθέτω μου ἡ δέησις·
ὡς Ἰωνᾶς γὰρ ἐκ βάθους
πταισμάτων κράζω σοι·
ἐκλείπει ἡ ψυχή μου
ἀλλ' ὡς μόνος δυνάστης ἀφέλκυσον
φθορᾶς με, εὔσπλαγχνε Κύριε.

Ὠδὴ ζ

Συστήσαντες εὔπλοκον χορείαν
οἱ θεολάτραι παῖδες
καὶ τῆς ἀπάτης καθαιρέται
ἐν Δεηρᾷ τῇ καμίνῳ δροσιζόμενοι
μελῳδικῶς ἐκραύγαζον·
εὐλογητὸς εἶ ὁ ἀβύσσους βλέπων
καθήμενος ἐπὶ τῶν χερουβὶμ
Θεὸς ἡμῶν εἰς τοὺς αἰῶνας.

Ὠδὴ η'

Μουσικῇ συμφωνίᾳ μὴ θελχθέντες
θεϊκὴν δὲ ἀναλαβόντες ἁρμονίαν
ἐν τῇ φλογὶ ὡς ἐν λειμῶνι χορεύοντες
οἱ παῖδες Δαυὶδ
μουσικῶς ἀνεκρούοντο·
εὐλογείτω πᾶσα ἡ κτίσις τὸν Κύριον
τὸν δεδοξασμένον εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'

Μητρικήν σου τὴν πύλην διοδεύων Κύριος
ἐν μὲν εἰσόδῳ ἄσαρκος
ἐν δὲ ἐξόδῳ ἔνσαρκος
ἐσφραγισμένην δὲ αὖθις
τὴν σὴν μήτραν τετήρηκεν·
ὅθεν καὶ πάντες οἱ πιστοὶ
ὡς μητροπάρθενον κόρην
γεραίροντες μεγαλύνομεν.

346

[ΑΝΑΣΤΑΣΙΜΟΣ]

Ποίημα Ἠλία πατριάρχου Ἱεροσολύμων

Β φ. 290α

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

* Λάτρην τὸν ἐξ Αἰγύπτου
φυγάδα πόντιον
τὸν Ἰσραὴλ ἐβίβασας
ὕμνον κραταιὸν
τῇ βάσει μέλποντα·
τῷ βυθίσαντι τυράννους
Θεῷ ἄσωμεν τῷ Κυρίῳ

ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ γ'

Ἄνοιξον προβλήμασι τὸ στόμα μου
πλατύνας τὴν καρδίαν μου
ὁ εὐρύνας οὐρανὸν
γλύκανον τὴν γλῶσσάν μου τοῖς λόγοις σου
ψαλτὰ ποιῶν μοι τὰ ἐξαίσια τοῦ νόμου σου·
ἅγιος γὰρ εἶ
καὶ οὐκ ἔστιν πλήν σου, Κύριε.

Ὠδὴ δ'

Ἰχνηλατήσας τὴν ἄφραστον
ἐκ τῆς Παρθένου οἰκονομίαν
ἐξεστηκὼς ὁ Ἀββακοὺμ
ἐβόα προφητικῶς·
ἀπὸ Θαιμὰν ἥξει ὄρους τῆς σαρκὸς
ὁ Θεὸς δύναμίς μου
ἐν τῷ δοξασθήσομαι.

Ὠδὴ ε'

Τῆς νυκτὸς τὸ ἀφεγγὲς
τοῖς λαμπαδουργοῖς δακτύλοις σου ὁ φαι-
[δρύνας
καὶ ὄργανον δεδειχὼς τῆς ἡμέρας
τοῦ ἡλίου τὴν ποίησιν
τὴν ἐσκοτισμένην καρδίαν μου
τῷ νεύματί σου τῷ ἀγαθῷ
ὁ Θεός μου
ἀνυμνοῦσάν σε καταύγασον.

Ὠδὴ ϛ'

Ὕδωρ περιεχύθη μοι πολὺ
καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τέλος·
ἀλλ' ἐλθέτω ἐξ ἀγνοίας σκότους
τοῦ περικυκλοῦντός με
πρὸς τὴν ἄβυσσον τῆς σῆς φωτοχυσίας
[ἡ ζωή μου
ὁ μόνος Θεὸς καὶ φιλάνθρωπος.

Ὠδὴ ζ'

Εἰς τὸ πλάτος ὕψωσας
καὶ τῷ ὕψει ἐπλάτυνας
τὴν ἐκκλησίαν ἀναστηλώσας·
ἐν ἡ τριαδικῶς νεανίαι συμφώνως
εὐλογητὸς εἶ, ἔκραζον,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Ἄσματα ἀσμάτων
δαυιτικῶς μεμελετηκότες οἱ παῖδες
πατρώου νόμου προέστησαν·
διὰ τοῦτο ἐν μέσῳ καμίνου καιομένης
θείαν ἐπεσπάσαντο ἀρωγὴν
ὑμνοῦντες· εὐλογεῖτε
τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ'

Ἐξαίσια τοῦ τόκου σου, Παρθένε,
τὰ ἀκραιφνῆ μυστήρια
καὶ θείας ἐμβατεύσεως·
χερουβὶμ δοξάζει
σεραφὶμ συσκιάζει
γηγενεῖς δὲ κυδαίνει
καὶ θιασώτας ὀτρύνει,
πάμμακάριστε,
σέ, Θεοτόκε, μεγαλύνομεν.

347

ΑΝΑΣΤΑΣΙΜΟΣ ΣΙΝΑ·Ι·ΤΙΚΗ

Β φ. 291α

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

* Τῷ Κυρίῳ ἄσωμεν
ὡς Μωσῆς ἐν τῇ θαλάσσῃ
ἐπινίκιον ὠδὴν
ὅτι δεδόξασται.

Ὠδὴ γ'

Στερέωσον, Χριστέ,
τῇ πέτρᾳ τῆς ἐκκλησίας
ἡμᾶς τοὺς σὲ ὑμνοῦντας
ἵνα ἐν ὀρθοδόξῳ πίστει βοῶμεν
οὐκ ἔστιν ἅγιος πλήν σου, Κύριε.

Ὠδὴ δ'

Τὴν ἐξ ὄρους δασέος σου, Λόγε,
παρουσίαν κατανοήσας
ὁ προφήτης ἐβόα·
δόξα τῇ δυνάμει σου, Κύριε.

Ὠδὴ ε'

Ὀρθρίζοντες πρὸς σὲ τὸν φιλάνθρωπον
ἀνυμνοῦμέν σε, Χριστὲ ὁ Θεός,
δώρησαι ἡμῖν τὴν εἰρήνην σου.

Ὠδὴ ϛ'

Ὡς τὸν προφήτην Ἰωνᾶν
τοῦ κήτους ἀνήγαγες ὁ Θεὸς
οὕτω ῥῦσαί με ἐκ θηρὸς τοῦ ἀλλοτρίου
καὶ σῶσόν με, οἰκτίρμον, ὡς πολυέλεος.

Ὠδὴ ζ'

Εὐλογητὸς εἶ, Χριστέ,
ὁ τοὺς παῖδας ἐν φλογὶ
ἀφλέκτους διασώσας
καὶ ὑπερύμνητος ὑπάρχεις
ἐν πάσῃ τῇ σοφίᾳ σου.

Ὠδὴ η'

Ῥήματος ἰσχύοντος τοῦ βασιλέως
καὶ μουσικῶν ὀργάνων συμφωνούντων
κάμινος ἐπυροῦτο
ταῖς ἑπταμέτροις καύσεσιν
ἐν ᾗ παῖδες εὐσεβεῖς
τῷ μόνῳ εὐεργέτῃ Θεῷ
ὕμνον ἀναμέλποντες ἔλεγον·
εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

Ὠδὴ θ'

Σὲ τὴν τῶν χερουβὶμ ἁγιωτέραν
μητέρα καὶ δούλην τοῦ σωτῆρος ἡμῶν
ἐν ὕμνοις μεγαλύνομεν.

348

ΑΝΑΣΤΑΣΙΜΟΣ
ΣΙΝΑΪΤΙΚΗ

Βφ. 291α

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

* Ἄσωμεν τῷ Κυρίῳ
τῷ ὑψίστῳ τῷ δεδοξασμένῳ
ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ γ'

Στερέωμα καὶ καταφυγή μου
γενοῦ ὁ Θεὸς ὁ μόνος ἅγιος.

Ὠδὴ δ'

Τὴν ἀκοὴν ἐνιχηθεὶς τῆς σῆς συγκαταβά-
[σεως
ὁ προφήτης φόβῳ ἐβόα σοι, σωτήρ,
δόξα τῇ δυνάμει σου·
δόξα τῇ ἀνεικάστῳ μακροθυμίᾳ σου.

Ὠδὴ ε'

Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου
πρὸς σὲ ὁ Θεὸς
ἔλεος παράσχου μοι.

Ὠδὴ ς'

Ὡς ἐκ τοῦ κήτους ἐλυτρώσω τὸν προφήτην
[σου
καμέ, σωτὴρ ἡμῶν
τοῦ πλήθους τῶν πταισμάτων λύτρωσαι.

Ὠδὴ ζ'

Οἱ πολλάκις σωθέντες
ἐξ ἀμέτρων πταισμάτων
Χριστῷ τὸν ὕμνον
ὡς ἐν καμίνῳ ἀναμέλψωμεν
εὐλογητὸς ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Τρεῖς παῖδες οὐκ ἐλάτρευσαν
τυραννικὴν εἰκόνα·
μέσον δὲ τῆς καμίνου
ἐμβληθέντες ἐδροσίζοντο
καὶ τῷ ποιητῇ τῶν ὅλων
ἀνέκραζον λέγοντες·
πάντα τὰ κτιστὰ εὐλογεῖτε
καὶ δοξολογεῖτε αὐτὸν
ὡς κτίστην καὶ Κύριον.

Ὠδὴ θ'

Λόγον Θεοῦ καὶ δημιουργὸν
ἐν γαστρὶ σοῦ, Θεοτόκε, συνείληφας
σωματούμενον καὶ τέτοκας
τὸν αὐτὸν εἰς βροτῶν σωτηρίαν
μεθ' οὗ σε μεγαλύνομεν.

349

ΑΝΑΣΤΑΣΙΜΟΣ
ΣΙΝΑΪΤΙΚΗ

Βφ. 291

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

* Θαυμαστὸς ὁ Θεὸς ἡμῶν
ὁ ἐν θαλάσσῃ σώσας
λαὸν ἀβρόχως διοδεύοντα·
αὐτῷ μόνῳ ἄσωμεν
ὕμνον ἐπινίκιον.

Ὠδὴ γ'

Ὁ τεχθεὶς ἐκ Παρθένου
καὶ σταυρὸν ὑπομείνας σαρκὶ
στερέωσον τὰς καρδίας ἡμῶν
εἰς τὸ ὑμνεῖν καὶ δοξάζειν
τὴν ἀνάστασίν σου, Κύριε.

Ὠδὴ δ'

Προθεωρῶν τοῖς νοεροῖς ὄμμασι
τὴν σήν, ὁ Θεός, ἐπὶ γῆς παρουσίαν
ὁ προφήτης μυστικῶς ἐβόα·
δόξα σοι, μόνε φιλάνθρωπε.

Ὠδὴ ε'

Ὀρθρίζοντες ὑμνοῦμέν σε, Κύριε,
τὸν ὑπ' ἀγγέλων ἀπαύστως
ἐν ὑψίστοις δοξολογούμενον.

Ὠδὴ ς'

Τὸ πάθος σου, Χριστέ, ἐτύπωσεν
ἐπὶ τοῦ κήτους Ἰωνᾶς ὁ προφήτης
μηνύων πᾶσι τὴν ἀνάστασιν.

Ὠδὴ ζ'

Εὐλογητὸς εἶ, δεδοξασμένε Κύριε,
ὁ τοὺς ὁσίους σου παῖδας
φυλάξας ἀλύτους
ἐν μέσῳ καιομένης φλογός
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Ὁ ἄναρχος Θεὸς Λόγος
ἐλθὼν ἐπὶ τὸ βάπτισμα
ἐτέλει τὸ μυστήριον
τῆς οἰκονομίας ἐν Ἰορδάνῃ
καὶ τῷ Προδρόμῳ ἔλεγε·
σύ με βαπτίζεις ὕδατι
κἀγὼ δέ σε ἐν Πνεύματι
μετὰ τῶν ἐν πίστει βοώντων μοι·
εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ'

Σὺ εἶ, Θεοτόκε, τὸ ὄρος
ἐν ᾧ εὐδόκησεν ὁ Θεὸς
κατοικεῖν ἐν αὐτῷ·
διό σε μεγαλύνομεν.

350

ΑΝΑΣΤΑΣΙΜΟΣ
ΣΙΝΑΪΤΙΚΗ

Βφ. 291

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

* Ἄσωμεν Χριστῷ τῷ Θεῷ
τῷ λυτρωσαμένῳ τὸν Ἰσραὴλ
ἐκ δουλείας Φαραώ
ὅτι δεδόξασται.

Ὠδὴ γ'

Στερέωσον, Κύριε, τὰς καρδίας ἡμῶν
εἰς τὸ ὑμνεῖν καὶ δοξάζειν σου
τὴν τριήμερον ἀνάστασιν.

Ὠδὴ δ'

Ἀκήκοα, Κύριε,
τὴν ἐκ τοῦ τάφου σου ἔγερσιν
καὶ ἐδόξασα, Λόγε,
τὴν ἀκατάληπτόν σου δύναμιν.

Ὠδὴ ε'

Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου
πρὸς τὴν σὴν ὑμνῳδίαν
διότι φῶς καὶ εἰρήνη τὰ προστάγματά σου.

Ὠδὴ ς'

Ὡς τὸν προφήτην τριήμερον
ἐκ βυθοῦ ἀνήγαγες, Κύριε,
οὕτως ἐκ φθορᾶς ὁ Θεὸς
ἡμᾶς ἀνάγαγε.

Ὠδὴ ζ'

Ὁ ἐν καμίνῳ πυρὸς τοὺς παῖδας διασώσας
εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας, Κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Τῇ πίστει τετειχισμένους τοὺς παῖδας
οὐκ ἐσύλησεν ἡ πλάνη τυραννήσασα
ἀλλὰ καὶ φλογὶ προθύμως ἐπέβησαν
εἰς ἣν καὶ διεσώθησαν
πᾶσι νομοθετήσαντες
τῷ δημιουργῷ κράζειν
ἐν ἀγαλλιάσει ἐν ἄσμασιν·
εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ'

Μεγαλύνωμεν πάντες
τὴν μητέρα τοῦ φωτὸς
δι' ἧς ἡμῖν ἔλαμψε τὸ φέγγος τὸ ἄδυτον
καὶ ἐρώτησε τὰς ψυχὰς ἡμῶν.

Εἱρμὸς ἄλλος

Τὸν ποιήσαντα μεγαλεῖα μόνον Θεὸν
καὶ παρθένον δείξαντα μετὰ τόκον
ὡς τὸν ὅλων Κύριον μεγαλύνωμεν.

Εἱρμὸς ἄλλος

Σὲ τὴν ἀνωτέραν τῶν χερουβὶμ
καὶ ἐνδοξοτέραν τῶν σεραφὶμ
Θεοτόκε Παρθένε,
ὕμνοις μεγαλύνομεν.

351

[ΑΝΑΣΤΑΣΙΜΟΣ]
ΣΙΝΑΪΤΙΚΗ

Βφ. 293β

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

* Ἄσωμεν τῷ μόνῳ Κυρίῳ
θαυμαστῶς ὅτι ράβδῳ
τὸ πέλαγος ἔτεμε
καὶ πόντων μέγαν Ἐρυθρᾶς
διῆλθεν Ἰσραὴλ
Μωσέως τὸν ὕμνον
ὡς Θεῷ δεδοξασμένῳ.

Ὠδὴ γ'

Στερέωσόν με, Χριστέ,
βεβαίωσόν με ἐν σοὶ
καὶ τὰ τόξα σύντριψον
τῶν πολεμίων ἐχθρῶν
καὶ τὸ στόμα μου πλάτυνον
ἐπὶ τοὺς ἐχθρούς μου, μόνε φιλάνθρωπε,
σὺ γὰρ μόνος πέλεις ἅγιος
ὁ ἐν ἁγίοις ἀναπαυόμενος Θεός.

Ὠδὴ δ'

Ἀκήκοα, Κύριε,
τὴν ἀκοήν σου καὶ ἐφοβήθην
δόξα τῇ δυνάμει σου,
μόνε φιλάνθρωπε.

Ὠδὴ ε'

Ἐκ νυκτός σου ὁ προφήτης, οἰκτίρμον,
ἐν ἄσμασιν ἀπαύστοις ἐκραύγαζεν·
ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σὲ
διότι φῶς τὰ προστάγματά σου, Κύριε.

Ὠδὴ ς'

Ἄβυσσός με ταράττει ἁμαρτημάτων
πέλαγός με βυθίζει πλημμελημάτων·
διό, σωτήρ, κραυγάζω σοι
ἀνάγαγέ με ἐκ βυθοῦ ὡς ἐλεήμων.

Ὠδὴ ζ'

Μετὰ τῶν παίδων σε ἀνυμνοῦμεν
εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας,
Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Τὸν ἐν τῇ βάτῳ ὀφθέντα τῷ Μωυσῇ
ἐπὶ τοῦ ὄρους Σινᾶ
καὶ ἐν καμίνῳ τοῖς παισὶ τῶν Ἑβραίων
Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

Ὠδὴ θ΄

Τὸν ἄνω πρὸ τῶν αἰώνων
γεννηθέντα ἄνευ μητρὸς
ἐπ' ἐσχάτων δὲ τῶν χρόνων
τέτοκας, Θεογεννῆτορ,
ἄνευ πατρὸς καὶ δίχα φθορᾶς
ὃν προσκυνοῦντες
σὲ μεγαλύνομεν.
Εἱρμὸς ἄλλος κατ' ᾠδ
Ἀνανδρος ὑπάρχουσα
πῶς γαλουχεῖς, Θεοτόκε.
Βρέφος ἐν ἀγκάλαις σου
ὁρώμενον φερομένη
τὸν τὰ πάντα φέροντα.
Γάλακτι τρεφόμενον
τὸν τρέφοντα πᾶσαν κτίσιν.
Διό σε, πανύμνητε,
τὴν ἡμῶν σωτηρίαν μεγαλύνομεν.

352

[ΑΝΑΣΤΑΣΙΜΟΣ]
ΣΙΝΑΪΤΙΚΗ

Β φ. 294β

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὁ Εἱρμός.

* Ἐν ἐξόδῳ Ἰσραὴλ
ἐξ Αἰγύπτου οἶκον Ἰακώβ
ἐκ λαοῦ βαρβάρου
ἄσωμεν τῷ Κυρίῳ
τῷ κραταιῷ ἐν πολέμοις
ὅτι δεδόξασται.

Ὠδὴ γ΄

Στερέωμά μου γενοῦ καὶ καταφυγή μου
ὁ στερεώσας οὐρανοὺς τῇ δυνάμει σου
ὅτι οὐκ ἔστιν ἅγιος πλὴν σου, Κύριε.

Ὠδὴ δ΄

Προθεωρῶν τοῖς νοεροῖς ὄμμασι
τὴν αὐτήν, ὁ Θεός, ἐπὶ γῆς παρουσίαν
ὁ προφήτης μυστικῶς ἐβόα·
δόξα σοι, μόνε φιλάνθρωπε.

Ὠδὴ ε΄

Ὀρθρίζει πρὸς σέ, Χριστέ, τὸ πνεῦμά μου
διότι φῶς τὰ προστάγματά σου, σωτήρ,
ἐγένοντο ἰάματα τοῖς δούλοις σου.

Ὠδὴ ς΄

Ἄβυσσός με κυκλοῖ τῆς ἁμαρτίας
ἀλλ' ἐκτείνας, εὔσπλαγχνε, τὴν χεῖρά σου
ὡς τὸν Ἰωνᾶν με διάσωσον.

Ὠδὴ ζ΄

Ὁ ἐν Βαβυλῶνι ποτὲ τρεῖς παῖδας
ἀβλαβεῖς διαρυλίξας ἐν πυρὶ
ἀσιγήτως μέλποντας·
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η΄

Ὅτε εἰς τὴν κάμινον, δέσποτα δημιουργέ,
πανευσεβεῖς παῖδας διεφύλαξες τῇ σῇ δυνάμει
τότε ὁ συγχορευτὴς
ἄγγελος ταύτην ἐδρόσιζεν
καὶ σὺν αὐτοῖς ἐβόα·
εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ΄

Τὴν μητέρα τοῦ φωτὸς
δεῦτε λαοὶ ἐν ὕμνοις τιμήσωμεν
ὅτι μόνη ἔτεκε τὸν βασιλέα καὶ Κύριον·
διό, ἄχραντε Παρθένε,
ἐπαξίως σε μεγαλύνομεν.

353

[ΑΝΑΣΤΑΣΙΜΟΣ]
ΣΙΝΑΪΤΙΚΗ

Β φ. 295α

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὁ Εἱρμός.

* Τὸ πέλαγος Ἐρυθρᾶς διῃρέθη
καὶ γέγονε τάφος Φαραωνίτιδος
καὶ ὡς τρίβος τοῖς Ἰσραηλίταις
οὕς στύλος καθωδήγει πυρὸς
τύπος τοῦ σταυροῦ·
ᾠδὴν γὰρ ἀνεβόων
ἐπινίκιον Θεῷ λέγοντες·
ἐνδόξως δεδόξασται.

Ὠδὴ γ΄

Ἀκαταλήπτῳ κράτει σου
τὸ πᾶν συστησάμενος
ἀρρήτως, σῶτερ, ἐκ μὴ ὄντων
καὶ διαμορφώσας αὐτὰ
τῆς ψυχῆς τὸ εἰδεχθὲς
τῆς ἐμῆς καλλωπίσας
καταξίωσον καυχᾶσθαι ἐπὶ σοὶ
καὶ στερεοῦσθαι ἀκλονήτως καὶ βεβαίως.

Ὠδὴ δ΄

Ἡ ἕξις μου ἐν ἐμοὶ ἐταράχθη
εἰσῆλθε δὲ τρόμος εἰς τὰ ὀστᾶ μου·
τὰ ἔργα γὰρ τῆς σῆς οἰκονομίας
κατανοῶν ἐν ἐκστάσει κραυγάζω·
δόξα τῇ δυνάμει σου, Κύριε.

Ὠδὴ ε΄

Φώτισόν με, Κύριε,
ὁ τὸ φῶς ἀνατείλων
καὶ δίδαξόν με ποιεῖν
τὰ σὰ προστάγματα.

Ἦχ

διότι φῶς καὶ εἰρήνη
ὑπάρχεις, φιλάνθρωπε.

Ὠδὴ ς΄

Λαίλαψ με παισμάτων βυθίζει
καὶ πρὸς βυθὸν ἀπέρριμμαι
θανατηφόρον, φιλάνθρωπε,
ἀλλὰ τὴν σὴν ἔκτεινον χεῖρα
καὶ Ἰωνᾶν ὡς ἐκ κοιλίας
τοῦ θηρὸς ὑπεξήγαγες,
οὕτω δυνάμει, σῶτερ, τῇ ἀνεικάστῳ σου
λύτρωσον θλίψεως κήτους
καὶ πρὸς ναόν σου τὸν θεῖον
σώσας ἀνάγαγε.

Ὠδὴ ζ΄

Τὴν κάμινον
ὁ βουλῇς τῆς μεγάλης ὢν ἄγγελος
χῶρον ὡς χλοηφόρον
παισὶν ἀπετέλει·
ὕμνουν ὡς ἄγγελοι αὐτὸν
καὶ γὰρ ἔψαλλον τερπνῶς·
ὁ δόξῃ τῇ θείᾳ
Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄

Φλόγα τοῦ πυρὸς οἱ τρεῖς νεανίαι
ἔρωτος Θεοῦ πυρὶ ἀναφλεχθέντες
ὡς ἄγνοι τὴν ψυχὴν
καὶ νοῦν ἱεροὶ ἔσβεσαν
νεφέλη ὥσπερ φωτοβολοῦσα
τούτους γὰρ ἐρρούρει
δροσίζουσα ἡ φλόξ
ἐν ᾠδαῖς Χριστὸν δοξολογοῦντας
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄

Βασιλικῆς ἁλουργίδος
τιμιωτέρα ὑπάρχεις, πανάμωμε,
ὁ γὰρ ἐκ σοῦ σαρκωθεὶς Θεὸς Λόγος
ἀνωτέραν σε πεποίηκε
τῶν ἄνω δυνάμεων·
ἣν ἀσωμάτων ταξιαρχίαι
ἀπαύστως μεγαλύνουσιν.

354

ΑΝΑΣΤΑΣΙΜΟΣ
Ποίημα Γεωργίου [Ἀνατολικοῦ]

Α φ. 228β

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὁ Εἱρμός.

* Τῷ ἐν χειρὶ κραταιᾷ
ἐν Ἐρυθρᾷ θαλάσσῃ
διὰ Μωσέως λαὸν καθοδηγήσαντι
τῶν αἰώνων Θεῷ ἀναμέλψωμεν.

Ὠδὴ β΄

Οὐρανέ, πρόσχες καὶ λαλήσω
καὶ ἀκουέτω ἡ γῆ ῥήματα
ἐκ στόματός μου, λέγει Κύριος.

Ὠδὴ γ΄

Ὁ ἐπιχρώσας ὑδάτων πήξας τὴν γῆν
καὶ ἑδράσας ἐν συνέσει τοὺς οὐρανούς
στερέωσον πρὸς ὕμνον σου, Κύριε,
τὰς καρδίας ἡμῶν.

Ὠδὴ δ΄

Ἐξ ὄρους τῆς Παρθένου
παραγενέσθαι σε, Λόγε,
ὁ προφήτης ἀνεβόα·
ἀκήκοα, Κύριε,
τὴν ἀκοήν σου καὶ ἐφοβήθην.

Ὠδὴ ε΄

Πρὸς σὲ τὸν ἄδυτον ἥλιον
τὸ πνεῦμά μου ἐκ νυκτὸς ὀρθρίζει
ἀνάτειλον ἐν ἐμοὶ
τὸ φῶς τῶν σῶν ἐντολῶν,
μόνε φιλάνθρωπε.

Ὠδὴ ς΄

Ὡς ὁ προφήτης Ἰωνᾶς
οὕτω κἀγὼ κραυγάζω σοι, σωτήρ,
κυβέρνησόν μου τὸν νοῦν
τοῦ σὲ δοξάζειν.

Ὠδὴ ζ΄

Ἐν Βαβυλῶνι αἰχμάλωτοι παῖδες
ἀγόμενοι ἀπὸ τῆς Σιὼν
τοῦ Μωσέως νόμου φύλακες
τῇ χρυσοτεύκτῳ εἰκόνι
μὴ προσιέμενοι λατρεῦσαι ποτὲ
ἀλλ' ἀγράρῳ θυσίᾳ θωρακισθέντες
ἐνώπιον τυράννου δυσσεβοῦς
ὡμολόγουν τὸν ἕνα Θεόν·
ὅθεν βληθέντες ἐν τῇ καμίνῳ
τὴν φλόγα καταπιτοῦντες ἔψαλλον·
ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄

Ἀφλέκτως ἐν φλογὶ
οἱ γενναιότατοι παῖδες
βασιλέα Κύριον
δοξάζοντες ὑπῆρχον
γνωστὸν αὐτὸν ποιοῦντες
παρανόμῳ βασιλεῖ·
διὸ θαρροῦντες ἔψαλλον
εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ΄

Τὴν ἐν γαστρὶ ὃν οὐρανὸς οὐκ ἐχώρει
χωρήσασαν Παρθένον
οἱ πιστοὶ εὐσεβῶς ὡς μητέρα τοῦ Θεοῦ
ἅσμασιν ἀσιγήτοις μεγαλύνομεν.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

355

[ΑΝΑΣΤΑΣΙΜΟΣ]
Ποίημα Γεωργίου Σικελιώτου

B φ. 296a

'Ωδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

* Ὁ σχίσας τὴν Ἐρυθρὰν
χειρὶ καὶ ῥάβδῳ Μωσέως ποτὲ
καὶ στήσας τειχηρικῶς
τὸ ὕδωρ κῦμα μὴ φέρον
ἦν οὐκ εἶδε γῆν ὁ ἥλιος τότε
ὑποδείξας τῷ λαῷ σου
πρὸς τρίβον πορείας ὁδοῦ
σύ με, Λόγε, καταρτίσας
πρὸς αἶνον σωτηρίας ἐποδήγησον
ἄσαί σοι ἆσμα καινόν.

'Ωδὴ γ'

Ὁ συνιὼν τὸν Κύριον
ἐνδυναμούσθω ἐν αὐτῷ
μὴ ἐν τῇ δυνάμει αὐτοῦ
ἢ ἐν σοφίᾳ ἢ ἐν τῷ πλούτῳ
ἀλλ' εἰς Θεὸν τὸν στερεοῦντα τοὺς καυ-
[χωμένους
ἐν τῇ ἐπιγνώσει αὐτοῦ καὶ βοῶντας·
οὐκ ἔστιν ἅγιος πλὴν σου, φιλάνθρωπε.

'Ωδὴ δ'

Τῆς σῆς ἐνανθρωπήσεως, Λόγε, τὴν παρου-
[σίαν
προδιαγνοὺς Ἀββακοὺμ
ὡς ἐν φρίκει τὸν νοῦν συνεξίστατο·
ἐγὼ δὲ ταύτην ἐνοῶν
ὡς μέλλεις ἐλεύσεσθαι δεύτερον
κρῖναι κόσμον τρόμῳ βοῶ σοι·
δόξα τῇ δόξῃ σου.

'Ωδὴ ε'

Φώτισόν μου τὸν νοῦν ὁ Θεὸς
καὶ τῆς ψυχῆς μου τὸν κάρον ἀπέλασον·
— ἐσκοτισμένη γὰρ πέλει
ὡς πράξασα τὰ ἐν τῷ βίῳ ἐπιθυμήματα —
ὡς τῆς εἰρήνης χορηγὸς
καὶ τῆς ἀγάπης αἴτιος
ἵνα ἐκ νυκτὸς ὀρθρίζων δοξάζω σε.

'Ωδὴ ς'

Ἐκ τῶν ἐμῶν λογισμῶν τῶν πονηρῶν
ἡ κεφαλή μου ἔδυ εἰς χάος βυθοῦ
καὶ ἐκ ποικίλων κακῶν τῶν τοῦ ἐχθροῦ
ἡ ζωή μου ἔδυ εἰς θάνατον·
ὁ ἔχων πλῆθος ἐλέους
ἀπεγνωσμένον με οἶκτον
ἵνα ὅσα ἠδίκηκα ἀποδώσω σοι
εἰς σωτηρίαν ἐμήν, ὦ τρισάγιε.

'Ωδὴ ζ'

Θεομαχῶν ὁ τύραννος
εἰκόνα ἔστησε ποτὲ
ὑψαυχενῶν ὁ ἄσωτος
λαὸν ὑπέταξε πολὺν
εἰς προσκύνησιν αὐτῆς
οὓς καὶ πείσας ἀπώλεσε·
οἱ τρεῖς παῖδες δὲ ταύτην
καταπτύσαντες ἐβόων·
Θεῷ λατρεύειν δέον καὶ μὴ ξοάνοις·
καὶ βληθέντες ἐν καμίνῳ φλογερᾷ
ὕδωρ τὸ πῦρ ἀπειργάσαντο·
ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ.

'Ωδὴ η'

Τοὺς τρισαρίθμους σου παῖδας, τρισάγιε,
Τριὰς συνεστήσατο·
ὁ πατὴρ γὰρ Ἀνανίαν ἔδειξεν
ὁ υἱὸς δὲ Ἀζαρίαν ἔστεψε
καὶ τὸ Πνεῦμα τὸ ἅγιον Μισαὴλ τὸν πιστόν·
καὶ πεδηθέντες ἐν καμίνῳ πυριφλέκτῳ
ὡς εἰς ὕδωρ βαπτίσματος ἔφαλλον·
οὓς μακαρίζοντες
εὐλογοῦμέν σε, Κύριε Κύριε.

'Ωδὴ θ'

Θεοῦ τὸν τόκον οὐδεὶς
ῥητόρων λέξαι δεδύνηται·
οὐ φέρει βρότειος νοῦς
τὰ σὰ μυστήρια γνῶναι, σεμνή,
ἐπειδὴ γὰρ παρθενεύεις
ἐκ τόκου ἀλοχεύτου
ὡς οὐδ' ἅπαξ θήλεια ὑπέμεινεν·
ἀπορούντες ἀγνοοῦμεν
τὸ πῶς μακαρίσωμεν
τὸν ἀλόχευτον τόκον σου, πάναγνε·
ἄνευ γὰρ σπέρματος ὤφθης
δίχα ῥεύσεως
ἀποτέξασα, Θεομακάριστε,
διὸ καὶ τῷ χαίρε σοι πίστει
ἀναβοῶμεν μεγαλύνοντες
τὸν ἀπὸ σοῦ γεννηθέντα Θεὸν ἡμῶν.

356

[ΑΝΑΣΤΑΣΙΜΟΣ]
Ποίημα Γεωργίου Σικελιώτου [1]

A φ. 233β. B φ. 297β

'Ωδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

* Ἄβυσσον ἄπειρον
οὐ τετριμμένην ἄβατον

(1) Σικελοῦ ὁ Κῶδ. τῆς Λαύρας· Στεφάνου μοναχοῦ ὁ Κῶδ. τῶν Παρισίων.

γεώσας θείῳ προστάγματι
λαὸν διεβίβασε
Μωσῆς ἀβρόχοις ἴχνεσιν
ᾄδοντα ἐπινίκιον ὕμνον
τῷ λυτρωτῇ καὶ Θεῷ
ἐνδόξως ὅτι μόνος δεδόξασται.

'Ωδὴ β'

Πρόσεχε οὐρανὲ
καὶ κήρυξον μεθ' ἡμῶν
ἀπέραντον μεγαλωσύνην
θείας χρηστότητος.

'Ωδὴ γ'

Οὐρανοὺς ὡσεὶ δέρριν ἐκτείνας, Κύριε,
σοφίᾳ τῆς παντουργικῆς ἐξουσίας
ὡς βάσιμον κρηπῖδα
τῇ γῇ τὸ ὕδωρ περιθέμενος
ἰσχὺν καὶ κράτος ἐνδεδυμένος
καμὲ συγκύπτοντα πταίσμασιν· ἀνορθώσας
τῇ ἐλπίδι τῶν ἐντολῶν σου, φιλάνθρωπε,
βεβαίωσον φυλάττειν τὰ προστάγματά
σου.

'Ωδὴ δ'

Ὄρους νοητοῦ τῆς Παρθένου
φιλανθρωπίᾳ ἀφάτῳ
ἐτμήθης λίθος ἄνευ χειρός, σπορᾶς ἀνδρός,
διέκοψας δὲ κεφαλὰς
πλάνης δυναστῶν εἰδώλων
καὶ τῆς σῆς αἰνέσεως τὰ σύμπαντα ἐπλή-
[ρωσας·
διὸ σωθέντες βοῶμεν·
Κύριε, δόξα τῇ δυνάμει σου.

'Ωδὴ ε'

Ἐκ πλήρεώς με, σωτήρ,
τῶν πταισμάτων ἀνακάλεσαι
καὶ ὁδήγησον ἐν τοῖς προστάγμασί σου
τὴν εἰρήνην παρέχων μοι τῶν ἐντολῶν σου
ἐκ νυκτὸς ὀρθρίζοντι,
μόνε φιλάνθρωπε.

'Ωδὴ ς'

Περιεχύθη ὕδωρ
πταισμάτων εἰς ψυχήν μου
ἀλλ' εἰς τὸ πλῆθος βλέπων
τῶν θείων οἰκτιρμῶν σου
ἐν τῷ ἐκλείπειν μέ, Κύριε,
ἐκ φθορᾶς ἀνάγαγε
τὴν ζωήν μου ὅπως θύσω σοι
μετὰ φωνῆς αἰνέσεως.

'Ωδὴ ζ'

Προσομιλεῖν τῇ ἀσεβείᾳ
πτήξαντες παῖδες Ἑβραίων ἐν Βαβυλῶνι
δίχειν τὸ πῦρ μὴ δεδιότες δι' εὐσέβειαν
μέσον τῆς καμίνου βληθέντες
συμφώνως ἀνέμελπον·
τῶν πατέρων ἡ παντουργικὴ σοφία
ὁ Θεὸς εὐλογητὸς εἶ.

'Ωδὴ η'

Παῖδες αἰχμάλωτοι ἐν τῇ καμίνῳ βλη-
[θέντες
σὺν τοῖς σαραβάροις καὶ τιάραις
ἄνακτος τυράννου πρόσταγμα ἐξεφαύλισαν
καὶ τὴν φλόγα εἰς δρόσον μεταμφιάσαντες
τὸν ὕμνον ἀνέμελπον οὕτω βοῶντες·
πᾶσα πνοὴ καὶ κτίσις
τὸν Κύριον εὐλογεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς πάντας τοὺς αἰῶνας.

'Ωδὴ θ'

Τῆς κυοφορίας σου τὸ κῦδος, πανάμωμε,
ἀνερμήνευτον ὑπάρχει·
συνέλαβες γὰρ ἀσπόρως
καὶ ἔμεινας ἄφθορος·
διὰ τοῦτό σου τὸν τόκον μακαρίζοντες
σὲ ἀκαταπαύστοις χείλεσιν
ἐκ καρδίας μεγαλύνομεν.

Εἱρμὸς ἄλλος

Ἄχραντε κόρη, μήτηρ
ἀλλὰ δούλη τοῦ βρέφους
θάμβος νόων ἀλλὰ κάθαρσις ψυχῶν
ξένον ἄκουσμα
ἀλλὰ κλέος γένους βροτῶν
σὲ ὡς θεοδόχον σκηνὴν τοῦ Λόγου
ὕμνοις θεηγόροις
οἱ πιστοὶ μεγαλύνομεν.

357

ΑΝΑΣΤΑΣΙΜΟΣ
Ποίημα Γεωργίου Σικελιώτου [1]

A φ. 233β. B φ. 298β

'Ωδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

* Τῷ τοὺς Αἰγυπτίους θεῷ
σὺν ἵπποις καὶ τριστάταις
εἰς ἄπειρον βυθὸν συγκαλύψαντι
καὶ λαὸν Ἰσραηλίτην διασώσαντι
ἐν δυνάμει κραταιᾷ
ἆσμα ἀναπέμψωμεν πάντες
τῷ θαυμαστὰ τερατουργήσαντι.

'Ωδὴ γ'

Οὐράνιον ὕψος
ἐν δυνάμει συστησάμενος
καὶ ἐπίγειον πλάτος
ἐν ὕδασι θεμελιώσας, Κύριε,

(1) « Ἀκολουθία Σικελῆ » ὁ Λαυριωτικὸς Κῶδιξ. Στεφάνου μοναχοῦ ὁ τῶν Παρισίων.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

τὴν στειρωθεῖσάν μου ψυχὴν
ἐξ ἔργων δεινῶν
καρποφορεῖν ἀξίως ποίησον·
οὐ γὰρ γινώσκω ἕτερον πλὴν σοῦ,
ἅγιε, μόνε φιλάνθρωπε.

Ὠδὴ δ'

Τὴν ἐπ' ἐσχάτων σου, Λόγε, ἐκ Παρθένου σάρκωσιν
ἐν πνεύματι προβλέπων ὁ προφήτης Ἀββακοὺμ
ἐβόα ἐξιστάμενος·
κάλυψεν οὐρανοὺς ἡ ἀρετή σου, Κύριε,
καὶ πλήρης ἡ γῆ τῆς αἰνέσεώς σου
δόξα ὁ Θεὸς τῇ εὐσπλαγχνίᾳ σου·
δόξα τῇ συγκαταβάσει σου.

Ὠδὴ ε'

Τὸ πνεῦμά μου ὀρθρίζει πρὸς τὴν σὴν θεότητα·
φῶς γὰρ ἀπρόσιτον
σὺ ὑπάρχεις, Κύριε, φωτίζων με.

Ὠδὴ ς'

Τὸν Ἰωνᾶν ἐκ τοῦ κήτους
διέσωσας βοήσαντα
ἐκ καρδίας, Κύριε,
καὶ γινώσκων σου κἀγὼ
τὸ εὔσπλαγχνον, σωτήρ,
σὺν αὐτῷ κραυγάζω πρὸς σέ
ἀναβήτω ἐκ φθορᾶς
τῶν κακῶν ἡ ζωή μου ὁ Θεός.

Ὠδὴ ζ'

Κάμινον φλογὸς
μετέβαλες εἰς δρόσον
μηνύων, ἀγαθέ,
τὸν τόκον τῆς Παρθένου·
καὶ διὰ τοῦτο βοᾷμέν σοι ὡς οἱ παῖδες
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Τὸν ποιητὴν καὶ λυτρωτὴν
καὶ κτίστην τῶν ἁπάντων
ὃν εὐλογοῦσιν ἄγγελοι ἀκαταπαύστως
ὑμνεῖτε λαοί
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Θεοῦ πατρὸς βουλήσει
Θεὸν Λόγον συναναρχον πατρὶ
φιλανθρωπίᾳ ἀῤῥήτῳ
συγκαταβάντα, ὁλόθρυτε κόρη,
ἀπειράνδρως συνέλαβες
καὶ τέτοκας ἐπ' ἐσχάτων
βροτείου γένους τὴν ἀρὰν ἐκδιώξαντα
ὃν μακαρίζοντες
σὲ τὴν ἄῤῥηκτον πιστάδα μεγαλύνομεν.

358

ΕΙΣ ΤΟΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ ΔΗΜΗΤΡΙΟΝ

Ποίημα Γεωργίου Ἁγιοπολίτου

Β φ.300α

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

* Ἐπινίκιον ᾠδὴν
ἄσωμεν Χριστῷ τῷ Θεῷ
τῷ ἐν Λιγύπτῳ θαυμαστὰ
τέρατα ποιήσαντι
καὶ ἐκ δουλείας ἀπαλλάξαντι τοῦ Φαραὼ
τὸν λαὸν τοῦ Ἰσραὴλ
ὡς βοηθῷ καὶ σκεπαστῇ
καὶ λυτρωτῇ ἡμῶν.

Ὠδὴ γ'

Ὁ κλίνας οὐρανοὺς
καὶ καταβὰς ἐπὶ τῆς γῆς
διὰ βροτῶν σωτηρίαν,
Χριστὲ ὁ Θεός,
στερέωσον ἐν πέτρᾳ με τῆς ἐκκλησίας σου·
τῶν πιστῶν γὰρ ὑπάρχεις τροπαιοῦχος καὶ στήριγμα.

Ὠδὴ δ'

Ἡ ἕξις μου ἐν ἐμοὶ ἐταράχθη,
εἰσῆλθε δὲ τρόμος εἰς τὰ ὀστᾶ μου·
τὰ ἔργα γὰρ τῆς ἐμῆς οἰκονομίας
κατανοῶν ἐν ἐκστάσει κραυγάζω·
δόξα τῇ δυνάμει σου, Κύριε.

Ὠδὴ ε'

Φωταγωγὲ τῶν ἐσκοτισμένων
καὶ λυτρωτὰ τῶν χειμαζομένων,
Κύριε ὁ Θεὸς ἡμῶν,
τὴν σὴν εἰρήνην δὸς ἡμῖν
καὶ τὰς καρδίας ἡμῶν φώτισον
πρὸς τὴν σὴν θεογνωσίαν.

Ὠδὴ ς'

Μετὰ φωνῆς αἰνέσεως
δέξαι με βοῶντά σοι, Χριστέ·
ὡς ἐκ τοῦ κήτους Ἰωνᾶν
ἐλυτρώσω ἀσινῆ
οὕτω κἀμὲ ἀνάγαγε
ἐκ βυθοῦ τῶν πταισμάτων μου
ὁ Θεὸς ὡς οἰκτίρμων καὶ πολυέλεος.

Ὠδὴ ζ'

Ἡ Βαβυλωνία κάμινος
ἑπταπλασίως ἐκαυθεῖσα

τῶν Χαλδαίων ὑπηρέτας κατέφλεξε
τῶν Ἑβραίων δὲ τοὺς παῖδας ἐδρόσισε
ὑμνοῦντας καὶ λέγοντας·
εὐλογητὸς ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Οἱ εὐσεβεῖς νεανίαι
ἐν τῇ καμίνῳ βληθέντες
τὸ πῦρ οὐ κατέπτηξαν
καὶ παραδόξως δροσισθέντες
τὴν κτίσιν ἅπασαν
προσεκαλοῦντο ψάλλοντες·
τὰ ποιήματα πάντα Κυρίου
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Τὴν πανευπρεπῆ καὶ ἀρίστην
τοῦ πλαστουργοῦ καὶ ἀριστοτέχνου λοχεύτριαν
προορῶν ὁ προφήτης
Ἰεζεκιὴλ ἐβόα·
ἰδοὺ πύλη ἐσφραγισμένη
καὶ οὐδεὶς οὐ μὴ διέλθῃ δι' αὐτῆς
εἰμὴ μόνος Κύριος ὁ Θεὸς Ἰσραὴλ
ὃν ἀνυμνοῦντες μεγαλύνομεν.

359

ΑΝΑΣΤΑΣΙΜΟΣ ΚΑΙ ΕΙΣ ΤΟΥΣ ΑΓΙΟΥΣ ΠΑΝΤΑΣ

Ποίημα Κυπριανοῦ μοναχοῦ

Β φ. 300β

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

* Τὸν Φαραὼ σὺν ἅρμασιν ἐβύθισας
ἐν Ἐρυθρᾷ θαλάσσῃ
τῇ δεξιᾷ σου, Χριστέ,
καὶ λαὸν Ἰσραηλίτην
ἀῤῥύχως διέσωσας
ᾄδοντα ᾠδὴν μωσαϊκὴν
τῇ δεξιᾷ σου, ἀναλλοίωτε.

Ὠδὴ γ'

Γηθομένη καρδίᾳ ἡ Ἄννα
ἡ ἄμεμπτος ἐμβρυοφοροῦσα
τὸν ἐκφάντορα τῆς οἰκονομίας σου
ἐβόα, Χριστέ, προφανῶς·
ἐστερεώθη ἡ καρδία μου εἰς τὸ σωτήριόν σου·
οὐ γὰρ ἔστι πλήν σου Θεός,
Κύριε τῶν δυνάμεων.

Ὠδὴ δ'

Ἀκριβῶς ὁ Ἀββακοὺμ
τὴν ἔλευσίν σου, Κύριε,
διὰ Πνεύματος θείου
τρόμῳ ἀνεβόα δοι·
ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ
ἐν τῷ παρεῖναι τὸν καιρὸν
ἐκ κόρης ἀπειράνδρου
ἀναδειχθήσῃ, Χριστέ,
εἰς βροτῶν σωτηρίαν
καὶ ἐχθροῦ κατάλυσιν.

Ὠδὴ ε'

Τὸ φῶς τῶν προσταγμάτων σου, φιλάνθρωπε,
ἀνάτειλον ἐν ἐμοὶ
καὶ ἀπέλασον τὸν ζόφον τῶν παθῶν μου
ἵνα ὀρθρίζων ὑμνῶ σου τὴν ἀγαθότητα.

Ὠδὴ ς'

Τῆς ἀπειλῆς προκειμένης
ὁ Ἰωνᾶς προεμήνυεν
ἔτι τρεῖς ἡμέραι
καὶ καταποντίζεται ἡ πόλις·
τοῦ δὲ Θεοῦ εὐσπλαγχνισθέντος
εἰσηκούσθη τῶν Νινευϊτῶν ἡ δέησις·
καθάπερ ἐκείνων ἤκουσας
καὶ ἡμᾶς τῶν πταισμάτων
ἐλευθέρωσον, σωτήρ,
πρεσβείαις τῶν ἁγίων σου.

Ὠδὴ ζ'

Ῥητορεύοντες παῖδες ἐν Βαβυλῶνι
ἀκήρατοι τοῦ πλάσαντος τὸν νόμον
ἴσχυναν τὸν τύραννον
καὶ καμίνου φλογὶ προσομιλήσαντες
δρόσῳ οὐρανίῳ κατήρδευσαν
βοῶντες ἐν εὐφροσύνῃ·
εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας, Κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Ὑψωμένην φλόγα
οἱ τρισάριθμοι παῖδες κατέσβεσαν
τῆς Τριάδος τυποῦντες τὴν λαμπρότητα
καὶ τὸν ὕμνον ἔμελπον ἐν τῇ καμίνῳ·
εὐλογείτω πᾶσα ἡ κτίσις τὸν Κύριον.

Ὠδὴ θ'

Ὦ τῆς ξένης σου κυήσεως,
Μητροπάρθενε ἀμίαντε!
ἄνευ σπέρματος ἀνδρὸς γὰρ
τὸν ἕνα τῆς Τριάδος συλλαβοῦσα
διπλοῦν αὐτὸν τέτοκας
καὶ μετὰ τόκον παρθένος
διέμεινας·
διό σε, ἀπειρόγαμε,
πᾶσαι γενεαὶ μεγαλύνομεν.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

360

Ποίημα Γεωργίου Ἀνατολικοῦ [1]

Β φ. 302α

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

* Ἐπάγη ὡσεὶ τεῖχος τὰ ὕδατα
ἐπάγη καὶ τὰ κύματα τῆς θαλάσσης
ἐξουσίᾳ τοῦ περιπατήσαντος ἐπὶ τῶν ὑδά-
[των
καὶ νῦν Ἰσραὴλ ὁ πάλαι
ὁδηγεῖται καὶ ἀκούει·
θαρσεῖτε ἐγώ εἰμι μὴ φοβεῖσθε
ὁ λαὸς ὁ θεόφρων
καὶ βοᾷ· τῷ Κυρίῳ
ἄσωμεν ἆσμα καινόν.

Ὠδὴ γ'

Ἐστερεώθη ἐπὶ σοί, παντάναξ Χριστέ,
ἡ καρδία βροτῶν τῶν ὑμνούντων σε
οὐκ ἔστιν ἅγιος πλήν σου,
Θεὲ πανοικτίρμον,
τοῦ ἀνυψοῦντος ἀπὸ γῆς πένητα
καὶ ἀπὸ κοπρίας ἐγείροντος πτωχὸν
καὶ δικαίως κρίνοντος τὰ ἄκρα τῆς γῆς.

Ὠδὴ δ'

Πνεύματι θείῳ
ὁ προφήτης Ἀββακοὺμ καθαρθείς
προεδήλου, Κύριε, τὴν παρουσίαν σου
καὶ ἐκπλαγεὶς τὰς ἀκοὰς ἐβόα·
ἀκήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην
καὶ ἐδόξασα, φιλάνθρωπε,
τὴν ἀκατάληπτόν σου δύναμιν.

Ὠδὴ ε'

Ὁ ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον
ἀρεταῖς γυμνητεύοντα
καὶ τὴν ψυχὴν τυφλωθέντα
ἔγειρόν με, σωτήρ, καὶ καταύγασον
δωρούμενός μοι τὴν σὴν εἰρήνην,
Κύριε τῆς δόξης.

Ὠδὴ ς'

Ἄβυσσος ἁμαρτημάτων
περιέχει με, Κύριε,
πέλαγος φιλανθρωπίας σε γινώσκω
διάσωσον καμὲ πρὸς τὸν ἀχείμαστον
λιμένα τῆς σωτηρίας
πρὸ τοῦ τὸ σκάφος μου λυθῇ
τῇ διαζεύξει τῆς σαρκὸς
πρὸ τοῦ τεθῶσι θρόνοι
καὶ τὰ κρυπτὰ παραστῶσι
καὶ ἀποδώσεις ἑκάστῳ, δικαιοκρῖτα,
κατὰ τὰ ἔργα ἃ εἰργάσατο.

Ὠδὴ ζ'

Τρεῖς παῖδες οὐκ ἐλατρεύσαν
τυραννικὴν εἰκόνα
ἀλλ' ἐμβληθέντες ἐν τῇ καμίνῳ
σωφρόνως τῷ σωτῆρι καὶ Θεῷ
πίστει ἀνεκραύγαζον·
εὐλογητὸς εἶ, Κύριε,
μόνε προσκυνητὲ
Θεὲ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Ξενοφρονεῖται ἄναξ τῶν Περσῶν καθορῶν
ἐν πεδίῳ κάμινον ἐκκαύσας Δειῳῦ
δρύσῳ ἐνοικιένης φλογὸς
καὶ παῖδας τεθραμμένους
νόμῳ θεογράφῳ ἁγίῳ
ὕμνον ἐν φλογὶ
ἐκ χειλέων στάζοντας·
εὐλογεῖτε πάντα τὰ κτίσματα
τὸν κτίσαντα Θεὸν
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Ἀγνείας ὡράϊσμα
καὶ παρθενίας καύχημα
βροτῶν ἐγκαλλώπισμα
καὶ ἀγγέλων σεμνολόγημα·
σέ, Θεοτόκε, διὸ πάντες μεγαλύνομεν.

Εἱρμὸς ἄλλος

Ἀπόρρητον τὸ τῆς σῆς κυοφορίας
μυστήριον, κεχαριτωμένη·
σὺ γὰρ μετὰ τόκον παρθένος διέμεινας
καὶ σὲ ἀγγέλων τάξεις
καὶ ἀρχαγγέλων καὶ τῶν ἀνθρώπων
πᾶσα πνοὴ ὑμνεῖ
καὶ δοξάζει καὶ μεγαλύνει σε.

---

(1) « Ἑτέρα Γεωργίου Ἀνατολικῆ » ἐν τῷ Κώδικι.

361

Ποίημα Γεωργίου Ἀνατολικοῦ

Β φ. 303α

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

* Τὸ γεωθὲν ὕδωρ ἐπέζευσε ποτὲ
ποσὶν ἀβρόχοις λαὸς μωσαϊκός·
τὸ αὐτὸ δὲ ἐπαναστραφὲν
ἐκάλυψε βυθῷ
ἐπιβεβηκότας ἐφ' ἅρμασι καὶ ἵπποις·
καὶ ὁ εἰπὼν διώξας καταλήψομαι
κατήγετο εἰς ᾅδην·
ὁ δὲ διωκόμενος ἀνήγετο
εἰς ὄρος ἁγιάσματος Θεοῦ

ἐπινίκιον ἆσμα ἀναμέλπων
τῷ λυτρωτῇ καὶ βασιλεῖ τῶν αἰώνων.

Ὠδὴ γ'

Ὅτι Θεὸς γνώσεων Κύριος
καὶ Θεὸς ἑτοιμάζων ἀνταπόδοσιν
ἐν ἡμέρᾳ κρίσεως
διὰ τοῦτο, ψυχή μου, βόησον
ὅτι οὐκ ἔστιν ἅγιος
πλὴν σου, Κύριε.

Ὠδὴ δ'

Τὸ ἄφραστον μυστήριον τῆς ἐνανθρωπή-
[σεώς σου,
Χριστὲ ὁ Θεός,
ὁ προφήτης Ἀββακοὺμ κατανοήσας
[ἐβόα·
ὄρους δασέος ἥξει,
τουτέστιν ἐκ Παρθένου,
εἰς βροτῶν ἀνάπλασιν Κύριος.

Ὠδὴ ε'

Ἐν πνεύματι λατρείας
ὀρθρίζομεν πρὸς σέ, Χριστὲ ὁ Θεός,
καὶ δεόμεθά σου, φιλάνθρωπε,
τὴν σὴν εἰρήνην δὸς ἡμῖν
καὶ ἐλέησον ἡμᾶς
ὅτι ἐκτός σου ἄλλον
Θεὸν οὐκ οἴδαμεν.

Ὠδὴ ς'

Ἐκ νεότητός μου ἐπὶ τὰ πονηρὰ
ἐγκεκύλισμαι ὁ τάλας ἐγὼ
καὶ καταβεβύθισμαι
καὶ καταπεπάτημαι
καὶ γνόφος μοι ἐπανέστη
καὶ οὐχ εὗρον ἄλλην σωτηρίαν
εἰμὴ πρὸς σὲ κατέφυγα
τὴν τοῦ προφήτου Ἰωνᾶ
προσιρέρων φωνὴν καὶ βοᾶν σοι·
ἐκ φθορᾶς ἀνάγαγε
τὴν ζωήν μου, πολυέλεε.

Ὠδὴ ζ'

Ἡ φλογοφόρος κάμινος
τῶν Χαλδαίων τρεῖς παῖδας δεξαμένη
δροσοβόλος ἐδείκνυτο·
διὸ καὶ μέσον ταύτης χορεύοντες
οἱ γενναῖοι τῷ φρονήματι παῖδες
συμφώνως ἔψαλλον·
εὐλογητὸς εἶ, Κύριε
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Ἐκκαύσατε τὴν κάμινον ἑπταπλασίως
ἕως οὗ εἰς τέλος ἐκκαῇ
ὁ τύραννος ἔφη τοῖς Χαλδαίοις
τὸν Ἀνανίαν Ἀζαρίαν καὶ Μισαὴλ
ἐμβάλετε αὐτοὺς ἐν αὐτῇ
οἵτινες τῇ εἰκόνι τῇ χρυσῇ
οὐ προσεκύνησαν ἀλλ' ἔλεγον·
ἡμεῖς Θεὸν ἔχομεν
ἐν οὐρανοῖς ὃν λατρεύομεν
καὶ προσκυνοῦμεν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Σὲ τὴν φερέσβιον κόρην
τὴν ἀδαῆ νύμφην
ἣν ἀπήμαντον ἐφρούρησεν
ἐκ Θεοῦ ἀμήτωρ καὶ ἀγὼς γόνος ἀπάτωρ,
ἄνασσα κόσμε,
ἣν πᾶσαι αἱ δυνάμεις
τῶν οὐρανῶν μεγαλύνουσιν.

362

Ποίημα Γεωργίου Ἀνατολικοῦ

Β φ. 304α

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

* Ὡς πάχος γῆς διερράγη
τὸ ὕδωρ τὸ ἐρυθραῖον, Χριστέ,
ἐβύθισας ἀναβάτας
καὶ ἵππους Φαραωνίτου λαοῦ
τὸν Ἰσραὴλ διασώσας
βυθοδείᾳ ἐν ἀβρόχοις ποσί.

Ὠδὴ γ'

Ὀρφουργὲ Κύριε,
ὁ οὐρανοὺς στερεώσας τῷ λόγῳ σου
καὶ ἐφ' ὑδάτων ἐδράσας
τὴν γῆν τῇ σῇ δυνάμει
καμὲ στερέωσον
εἰς τὸ δοξάζειν σε, Λόγε,
μόνος γὰρ εἶ ἅγιος.

Ὠδὴ δ'

Φόβῳ πολλῷ συσχεθεὶς ὁ Ἀββακοὺμ
ὁ τῶν προφητῶν θαυμασιώτατος
Πνεύματι θείῳ προορῶν
τὴν ἀνεξιχνίαστόν σου ἔλευσιν
παραδόξως μελῳδῶν ἐβόα·
Κύριε, εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφο-
[βήθην
κατενόησα τὰ ἔργα σου
καὶ ἐδόξασά σου τὴν θεότητα.

Ὠδὴ ε'

Ἐκ νυκτός, φιλάνθρωπε,
τὸ πνεῦμά μου ὀρθρίζει πρὸς δοξολογίαν
τῆς εὐσπλαγχνίας σου, οἰκτίρμον,
ἀλλ' εἰσάκουσον πάντων τῶν δεομένων σου
διὰ τῆς τεκούσης σε καὶ σῶσον ἡμᾶς.

Ὠδὴ ς'

Τὸ πέλαγος τοῦ βίου χειμάζει με
τὰ κύματα τῶν ἐμῶν πταισμάτων βυθίζου-
[σί με

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

καὶ συνέχομαι ὑπὸ κήτους
χαλεποῦ τῆς ἁμαρτίας·
διό σοι κραυγάζω ὡς Ἰωνᾶς
τὴν ζωήν μου, Κύριε, ἀνάγαγε
ἐκ φθορᾶς καὶ σῶσόν με.

Ὠδὴ ζ'

Ἡ φλογοφόρος κάμινος
τῶν Χαλδαίων τρεῖς παῖδας δεξαμένη
δροσοβόλος ἐδείκνυτο·
διὸ καὶ μέσον ταύτης χορεύοντες
οἱ γενναῖοι τῷ φρονήματι παῖδες
συμῳδῶνως ἐβαλλον·
εὐλογητὸς εἶ, Κύριε
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'

Ῥιπισθεῖσα ἡ φλὸξ τῆς καμίνου
κύκλῳ ἀφλέκτους διέσωσεν
οὓς ἔφερε μέλποντας·
εὐλογεῖτε τὰ ποιήματα πάντα τὸν Κύ-
[ριον.

Ὠδὴ θ'

Σὲ Ἡσαΐας ῥάβδον ἐπωνόμασεν
ἄνθος βλαστήσασαν
καὶ Λανιὴλ ὄρος ἀλατόμητον
καὶ πύλην ἀδιόδευτον Ἰεζεκιὴλ
Ἀββακοὺμ δὲ ὄρος κατάσκιον
καὶ στάμνον πάγχρυσον Μωσῆς
ἔνδον τὸ μάννα ἔχουσαν Χριστὸν
καὶ φέρουσαν εἰς τὸν κόσμιον, ἁγνή,
ἵνα σώσῃ τοὺς σὲ μεγαλύνοντας.

Εἱρμὸς ἄλλος

Ἰδών σου τὴν ὀπτασίαν, Παρθένε,
ὁ νομοθέτης βάτον ἄφλεκτον
ἐν πυρὶ καομένην
κατεπλάγη τὸ μυστήριον.

363

Ποίημα Γεωργίου Ἀνατολικοῦ

B φ. 805

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

* Φωτὸς νεφέλη διεξοδικῶς
ἐπεσκίασε τὸν Ἰσραήλ·
θυθὸς θαλάσσης ἐπιστρεπτικῶς
κατεπόντισε τὸν Φαραώ·
ὦ τοῦ θαύματος!
ὁ μὲν προσεκαλεῖτο
ὡς ἐκλεκτὸς εἰς ἁγιασμόν,
ὁ δὲ ἐξεπέμπετο
ὡς ἀπειθὴς εἰς ἀφανισμόν·
φοβερὸς γὰρ ὑπάρχεις,
σωτήρ, καὶ τίς ἀντιστήσεταί σοι;

Ὠδὴ γ'

Ῥύστης μου ἐξ ἐχθρῶν ὀργίλων
σὺ ὑπάρχεις, Κύριε·
διὸ καὶ καυχώμενος
ἐν τῷ συνιεῖν καὶ γινώσκειν σε
μέλπω, ὕμνησε·
ἐκτός σου ἄλλος
Θεὸς οὐ πρόσεστιν.

Ὠδὴ δ'

Ἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς
τὸ σωτήριόν σου·
ἐκ Παρθένου προῆλθες [1]
τὸν πεσόντα προσλαβών
καὶ θεώμενόν σε, Λόγε·
δόξα τῇ δυνάμει σου.

Ὠδὴ ε'

Πυρὸς ἄνθρακι θείῳ
τὰ χείλη καθαρθεὶς
ὁ μεγαλοφωνότατος Ἡσαΐας
πρὸς σέ, Χριστέ, ἐβόα·
ἐκ νυκτὸς ὀρθρίζω.

Ὠδὴ ς'

Ὀλισθηρὸς ἀπερίτμητος
καὶ δυσάθλως πεπόντισμαι
ἐν θλίψει μου σὲ ἐπικαλοῦμαι
ὁ Θεὸς ἐπίβλεψόν
ἐπ' ἐμὲ καὶ σῶσόν με.

Ὠδὴ ζ'

Νόθον πρόσταγμα
οἱ εὐσεβεῖς Ἰσραηλῖται
ἀπώσαντο παῖδες βοῶντες·
τῶν πατέρων ὁ Θεὸς
ἡμῶν εὐλογητὸς εἶ.

Ὠδὴ η'

Μελουργοῦσι τὰ θεῖα
εὐσεβόφρονες παισὶ
μετεσκευάζετο ἡ ἑπτάμετρος φλὸξ
παραδόξως εἰς δρόσον·
ἐβόων γὰρ γήθοντες
ἡ προϋποστᾶσα φύσις
αἶνει τὸν Κύριον.

Ὠδὴ θ'

Ἔγνωνται φύσεις ἐν σοί,
μῆτερ Θεοῦ, τηλαυγῶς
οὐσίᾳ τῇ καθ' ἡμᾶς·
ἣν ἐκ σοῦ γὰρ μετέσχεν
θνητὴν μετουσίαν
κοινωνήσας ἡμῖν,
ἐθέωσεν ὁ ἄῤῥητος.

(1) Ὁ Κῶδ. προελθών καὶ τὸν αὐτόν προσλαβών.

μεθ' οὗ σε τὰ πέρατα
μεγαλύνομεν, ἁγνή.

Εἱρμὸς ἄλλος

Ἀλλότριον τοῖς θεόφροσι τὸ μῖσος
ἐμπόρευμα τοῖς κακόφροσιν ὁ φθόνος·
σὺ γάρ, Λέσποινα, σώζεις
τοὺς ὁμολογοῦντάς σε
Θεοτόκον ἀληθῆ.

364

Ποίημα Λαμιανοῦ μοναχοῦ

B φ. 806

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

* Ἀνεκαλύπτετο βάσις
ὕδωρ ἑκατέρωθεν
πεπηγότα τεῖχη
ἐν πεζοπόρῳ τρίβῳ
ὅπως πορευθῇ ὁ Ἰσραὴλ
ἄδων ἐν ἄσμασι
τὰ κράτη σου Κύριε.

Ὠδὴ γ'

Πλάτυνον τὰ χείλη [1]
λόγοις χρηστοῖς·
στηριζόμενος τῇ ἐκκλησίᾳ
τοῦ ἀντιπάλου ἐχθροῦ
καθελῶ τὰς βάσεις
καὶ στήριξον σωτήρ μου
ὅπως μελῳδῶ σοι
ὅτι οὐκ ἔστι πλήν σου
[ἅγιος] φιλάνθρωπε.

Ὠδὴ δ'

Θεοπτικῶς καθορῶν ὁ προφήτης
μυστήριον Θεοῦ οἰκονομίας
ἄδων ἐν ἐκστάσει ἐβόα
δόξα τῇ δυνάμει σου, Κύριε.

Ὠδὴ ε'

Τοῦ ἀπροσίτου φωτός σου, Χριστέ, αἰτού-
[μεθα
τὴν τοῦ ὄρθρου φαεινὴν φωταύγειαν
θέσθαι ἐν ἡμῖν,
ὅπως, τῇ σῇ δόξῃ ἱκετεύοντες,
τὴν εἰρήνην σου φαιδρῶς καθοπλισώ-
[μεθα
ἐν πάσῃ σεμνότητι.

Ὠδὴ ς'

Παραδόξως σου τὸν τύπον
φέρει, Κύριε, ὁ προφήτης
εἰσδύσας ἐν τῷ κλύδωνι τοῦ θυθοῦ
τάφου τὸ κῆτος
καὶ τῆς ἀναστάσεως πάλιν
τούτου ἡ λύτρωσις.

Ὠδὴ ζ'

Ὧν τῶν πατέρων Θεὸς καὶ ὑπερένδοξος
χαλδαϊκὴν φλόγα μεταμφιάσας
τοῖς παισὶν ὥσπερ δρόσον
ἀρδείας βλύσιν
παρέσχε τὴν κάμινον.

Ὠδὴ η'

Οἱ εὐσεβείας παῖδες
ὁρῶντες ἡγιασμένην ἔνδοξον
κώμην Ἱερουσαλὴμ
τὸ πῦρ τὸ ἐκφλέγον
διελθεῖν ἀφλέκτως ἴσχυσαν
καὶ τῇ ῥανίδι τῆς δρόσου
αὐτὸ ὁμοῦ παίναντες
Θεὸν ἐκδιδάσκουσι
τὰ ποιήματα πάντα
ὑμνεῖτε ἐν ἄσμασιν.

Ὠδὴ θ'

Μεγαλορρώνως μιμησάμενοι
Γαβριὴλ τὸν ἀρχάγγελον
λέξωμεν χαῖρε ἄχραντε ἁγνὴ
οἱ Θεοτόκον ἐνδόξως σε μεγαλύνοντες.

Εἱρμὸς ἄλλος

Νεφέλην σε νοητὴν
τὸν θεῖον ὄμβρον βαστάζουσαν
γινώσκοντες εὐσεβῶς
σοῦ τὰ μεγαλεῖα τὰ σεπτά,
Θεοτόκε, κηρύττομεν
ὅτι τὸν ἀνερμήνευτον
ὥσπερ ἄμπελος φέρεις
τὸν ἀγεώργητον βότρυν,
θεοχώρητε σκηνὴ
καὶ πηγὴ ἀκένωτε,
δι' ἧς εὐφραίνεται κόσμος·
ὅθεν σε πάντες
οἱ πιστοὶ μεγαλύνομεν.

(1) Ὁ Κῶδ. χειλέων... στηριζόμενον.

365

ΑΚΟΛΟΥΘΙΑ ΙΑΜΒΙΚΗ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ ΒΑΣΙΛΕΙΟΝ

Ποίημα Δαμιανοῦ μοναχοῦ

B φ. 807

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

* Βάσιν ἄβυσσον διώδευσεν ἀβρόχως
ἀνυπέρθετον ἐννοήσας Ἰσραὴλ
σύνθημα σκευωρίας κατακρατούσης

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

ἠπείγετο βάθεσι τὴν ὠδὴν μελῳδῶν,
σὺν ἐκτάσει τῆς χειρός, Θεοῦ τῶν ὅλων. [1]

ᾨδὴ γ'

Ἐκ στειρώσεως Ἄννα παιδοποιΐαν
ὑψίστῳ φέρουσα καρδίαν καθαρὰν
θεόθεν ἔσχεν προφητικαῖς ὠλέναις·
ὅθεν καὶ ἐγκαυχωμένη ἀνεβόα
ὑψώθη κέρας μου ἐπὶ τῷ Θεῷ μου.

ᾨδὴ δ'

Ἄπλετος κάθοδος τοῦ θείου Πνεύματος
στέγει τιμαλφέσιν ἐκ καθαρᾶς καρδίας
ὡς γνώσεως προφητικῆς ἐμφαινούσης
σάρκωσιν ἀνερμήνευτον τὴν σήν, Λόγε,
γεγηθὼς δοξάζει τὴν δυναστείαν σου.

ᾨδὴ ε'

Πνεῦμα νοερὸν καὶ ἄϋλον παμφλάζον
ὕλην σε καθορώμενος Ἡσαΐας
ξένην ἐμφάνισιν βροτοῖς ἐπαναλάμπων
εὐθυβόλοις ῥήμασι Χριστοῦ τοῦ Θεοῦ
τὴν φρικτὴν κυοφορίαν προμηνύων.

ᾨδὴ ς'

Ταρτάρου κλεῖθρα κατεῖδεν ὁ Ἰωνᾶς
ἠπειγμένος ἐν βόθρῳ κητώας γαστρὸς
σωτὴρ ὁδοὺς μελλουσῶν ἐλλάμψεων
τέτευχεν ἐν εὐμενείᾳ πάλιν ζωῆς
ὡς ἀλήκτῳ φρικτωρίᾳ τοῦ σωτῆρος.

ᾨδὴ ζ'

Ἀβέλτερον ἄνακτα μυκτηρίσαντες
σθένει τρεῖς παῖδες ἐν Βαβυλῶνι ποτὲ
ἰταμὸν κάμινον εἰς δρόσον ἤνεγκαν
λάμψαντος φωτὸς οὐρανίου ἐν αὐτοῖς
εὐλογητὸς ὁ Θεὸς ἀναμέλποντες.

ᾨδὴ η'

Ἄγευστοι φρεσὶ καὶ ἅμμασιν οἱ παῖδες
ραστωνικῆς πάλαι ἀναδικούμενοι
εἶδον εἰς ἀμύχου βρέτας ἕως πότμου
τειχίσματος δὲ τοῦ θείου Παρακλήτου
ἠπειγμένοι μελῳδικῶς ἀνέμελπον.

ᾨδὴ θ'

Ῥητορεύομεν, Δέσποινα, τὴν λοχείαν σου
δοξάζομεν, ἄχραντε, τὸ σὸν κύημα·
μόνη γὰρ ὑπῆρξας μητράθεος, ἁγνή,
ἡ ἐπουράνιος πύλη καὶ λυχνία
θαυμαστόν τε τῆς Ἕβας ἱλαστήριον.

(1) Παραμεμορφωμένος καὶ ἀκατάληπτος ὁ παρὼν Εἱρμὸς ἐν τῷ Κώδικι οὕτως ἔχων : « σύνθημα σκεωρίας καταχρατούσης ἐπήγετο βαθέσι ὁ ποῦς μελῳδῶν συνεκστάσει τῇ χειρὶ Θεοῦ τῶν ὅλων. » Παρομοίαν διαστρέβλωσιν ὑπέστησαν καὶ αἱ λοιπαὶ ᾠδαὶ μὴ δυνάμεναι νὰ θεραπευθῶσιν ἄνευ τῆς βοηθείας ἄλλου Κώδικος· διὰ τοῦτο δημοσιεύομεν ὡς ἔχει τὸ κείμενον ἐν τῷ Κώδικι σκοτεινὸν καὶ ἀκατανόητον κατ' ἀντιγραφὴν τοῦ Σπυρίδωνος Λαυριώτου.

366

ΤΟΥ ΑΥΤΟΥ
ΙΑΜΒΟΙ ΕΙΣ ΤΟΥΣ ΑΓΙΟΥΣ ΤΕΣΣΑΡΑΚΟΝΤΑ ΜΑΡΤΥΡΑΣ

Β φ. 307β

ᾨδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

Τρίβον θαλάσσης ὑγρὰν Ἰσραὴλ πάλαι
χέρσον βαδίζει δεσπότου θεουργίᾳ·
αὖθις δὲ Χριστοῦ κλῆρος ἡγιασμένος
ἄρβαρτον ἄρδην ἐξαμείβεται τρίβον
αἶνον φέρων σοι τερπνὸν εὐχαριστίας.

ᾨδὴ γ'

Ἵκται βρύουσα καρδίαις ἰσχνομιέναις
Ἄννα προφῆτις ἐκφυᾶ θεῖον γόνον·
παίδων στερεῖται διὸ καὶ βρύει λύσιν
. . . . . .
Θεὸν πρὸς αὐτὸν Κύριον καὶ δεσπότην.

ᾨδὴ δ'

Ἔρριψεν φωτὸς γήγενοῦς σαρκὸς τύπον
φέγγος τὸ θεῖον μυστικὴν θεωρίαν·
ἄραν δὲ τούτους εἰς ἀληθείας τύπους
ἄριστα πρὶν ἔλεξεν Ἀββακοὺμ ἥκες
Θεὸς βροτωθεὶς εἰς γένους ἀνάπλασιν.

ᾨδὴ ε'

Πάθος ζοφῶδες τὸ πρὶν ἡμαυρωμένον
ῥοαῖς πολυρρύτοισι διάρας φῶς
νῶν ἐν πολυκλύοισι, Χριστέ, πνευμάτων
λὸν καθαίρεις τῆς λυγρᾶς ἁμαρτίας
τεσσαρακοντάριθμον ἐκπλύνας στῖφος.

ᾨδὴ ς'

Λίθουσα γαστὴρ θηρὸς ἐκ θαλαττίου
δέδεκτ' Ἰωνᾶν ζῶντα δὲ τ' ἀποπτύει
ᾅδης νέκυς φθορᾷ δὲ τοὺς καθειργμένους
σθένει κραταιῷ τοῦ Θεοῦ καὶ δεσπότου
. . . . . .

ᾨδὴ ζ'

Ὕμνος τριλαμπὴς ἐξ ἀκηράτων νέων
τὴν ἑπτάμετρον ἠγχρωμένην φλόγα
εἰς ἑπτάριθμον ἡμερομένην δρόσον
μεταμιμάζων ἦδε τὴν μίαν φύσιν
ἡ τρισσοφαιδρόκοσμος εὐλογητὸς εἶ.

ᾨδὴ η'

Σὲ τὸν θεουργὸν αἴτιον καὶ δεσπότην
ἡ τῶν ἁπάντων κτισμάτων ἀνεῖ φύσις
μοναρχικὴν τριάρτρον ἀρρήτου φύσιν
καὶ τριπρόσωπον οὐσίας μοναρχίαν
ὧν εὐλογεῖ τρέμουσα καὶ Θεὸν σέβει.

ᾨδὴ θ'

Ξύλον σὺ μήτηρ τοῦ Θεοῦ ζωηφόρον
διεκτραπεῖσα γηγενῶν ξύλῳ φύσις
Θεοῦ φέρουσα υἱὸν ἄρρητον βότρυν
θηγήν τι λύτρον ὥσπερ ὠδῆς μίχη [1]
εἰς μὲν τόκος σε· διό σε δοξάζομεν.

367

ΑΚΟΛΟΥΘΙΑ ΑΝΑΣΤΑΣΙΜΟΣ
Ποίημα Ἀνδρέου Κρήτης

Β φ. 308

ᾨδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

Ὅτε Μωυσῆς τῇ ῥάβδῳ
τὴν Ἐρυθρὰν σταυροτύπως διέτεμε
τότε Φαραὼ σὺν ἅρμασι
βυθῷ κατεκαλύπτετο
καὶ ἄβατον τρίβον
διοδεύσας Ἰσραὴλ
μελῳδικῶς ἀνεβόα·
ἄσωμεν τῷ Κυρίῳ ἆσμα καινὸν
ὅτι βοηθὸς καὶ σκεπαστὴς
ἐγένετο ἡμῖν εἰς σωτηρίαν.

ᾨδὴ γ'

Δονουμένην τοῦ βίου μοχθηραῖς
μελεδώναις μου τὴν ψυχὴν
εὐερκεστάτῃ πέτρᾳ σου ἔδρασον
ἵνα σὺν τῇ προφήτιδι γεγηθὼς
ἀναχράζω σοι, αἰωνοτόκε·
οὐκ ἔστιν ἄλλος πλὴν σου Θεὸς ἡμῶν.

ᾨδὴ δ'

Ἀββακοὺμ ὁ προφήτης
τοῖς νοεροῖς ὀρθαλμοῖς
προκατιδών σου, Κύριε,
τὴν ἔλευσιν ἐβόα·
ἦξει ὁ Θεὸς ἀπὸ Θαιμὰν σαρκούμενος
ἐκ κόρης παρθένου
εἰς τὸ σῶσαι πάντας τοὺς χριστοὺς αὐτοῦ.

ᾨδὴ ε'

Ὀρθρίζοντας πρὸς σέ, Χριστέ,
κτῆσαι ἡμᾶς, Κύριε,
ἐκτός σου γὰρ Θεὸν ἄλλον οὐκ οἴδαμεν
τὸν σταυρωθέντα καὶ ταφέντα
καὶ ἀναστάντα Χριστόν.

ᾨδὴ ς'

Τῷ κήτει τῶν πταισμάτων μου περιέπεσα
καὶ κατήγαγέ με εἰς ᾅδου κατωτάτου
ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου τῆς ἁμαρτίας·
ἀλλ' ἀναβήτω ἐκ φθορᾶς ἡ ζωή μου
δέομαι πρὸς σὲ Κύριε.

ᾨδὴ ζ'

Ὁ πρὸ αἰώνων σὺ εἶ τῶν πατέρων Θεὸς

(1) Οὕτως ἀσυνάρτητα καὶ ἀκατάληπτα ἐν τῷ Κώδικι ὡς ἀντεγράφησαν ὑπὸ τοῦ Σπυρίδωνος.

παῖδες πυρὶ ἀφλέκτως
προσομιλήσαντες ἔλεγον
καὶ εὐχαριστήριον ὕμνον
ἄδοντες ἀνεβόων·
Κύριε, εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας.

ᾨδὴ η'

Τῆς Τριάδος τὴν δόξαν
θεοσεβεῖς τυπώσαντες παῖδες
ἐν καμίνῳ τοῦ πυρὸς ἐμβληθέντες
ὡς ἐν θαλάμῳ χορεύοντες ἐψαλλον·
τὰ ἔργα Κυρίου τὸν Κύριον
ὑμνεῖτε ὅσιοι καὶ ταπεινοὶ τῇ καρδίᾳ
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

ᾨδὴ θ'

Χαίροις ἡ ἔμψυχος πόλις
ἡ ἄνω Ἰερουσαλὴμ
ἐκ σοῦ ἐξελεύσεται ἡγούμενος
ὁ προφήτης προεφθέγγετο
τῶν ἀποστόλων ὁ χορὸς
καὶ ἀγγέλων ὁ δῆμος κραυγάζει σοι·
διό σε Θεοτόκε μεγαλύνομεν.

368

ΑΚΟΛΟΥΘΙΑ ΕΤΕΡΑ
Ποίημα Θεοδοσίου μοναχοῦ

Β φ. 309β

ᾨδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

Τὸ ἐρυθραῖον πέλαγος εἰς τύπον τοῦ σταυροῦ ῥάβδῳ διηρέθη
ἐν ᾧ ἡ φαραωνῖτις δύναμις ποντωθεῖσα γέγονεν ὑποβρύχιος·
Ἰσραὴλ δὲ φεύγων τὸν διώκοντα διεσώζετο ψάλλων
ἄσωμεν τῷ Θεῷ ἡμῶν ὅτι δεδόξασται.

ᾨδὴ γ'

Ἄναξ δέσποτα Χριστέ,
ἐν σοὶ καυχώμεθα
καὶ σὲ ὡς Θεὸν ἡμῶν ἐπιγινώσκομεν
τὸν νοῦν ἡμῶν στερέωσον ἐν τῇ πέτρᾳ
καὶ πίστει τῆς ὁμολογίας σου.

ᾨδὴ δ'

Τὴν ἐπ' ἐσχάτων σου, Λόγε,
ἐκ Παρθένου σάρκωσιν
ἐν πνεύματι προβλέπων
ὁ προφήτης Ἀββακοὺμ
ἐβόα ἐξιστάμενος·
ἐκάλυψεν οὐρανοὺς
ἡ ἀρετή σου, Κύριε,

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

καὶ πλήρης ἡ γῆ τῆς αἰνέσεώς σου·
δόξα ὁ Θεὸς τῇ εὐσπλαγχνίᾳ σου
δόξα τῇ συγκαταβάσει σου.

Ὠδὴ ε'

Ὁ ἀνατείλας ἀρρήτως
καὶ ἐκ Παρθένου προελθὼν
καὶ τὸν ζόφον τῶν εἰδώλων διαλύσας ἀπὸ [γῆς
καὶ κόσμον ὅλον φωτίσας
σῶσον ἡμᾶς, Κύριε.

Ὠδὴ ς'

Τῷ κλύδωνι τῆς θαλάσσης
περιπεσὼν ὁ Ἰωνᾶς
κατάδυτος γέγονεν
ἐν κοιλίᾳ τοῦ κήτους μυστικῶς
διαγριάρων τὴν σὴν ταφήν, δέσποτα Χριστέ,
καὶ τὴν τριήμερόν σου ἔγερσιν·
ὅθεν ἐκεῖνος
τοῦ γνόφου τῆς θαλάσσης ῥυόμενος
καὶ πρὸς τὴν ἤπειρον γηθόμενος
τὴν σὴν ἀνάστασιν προεξεικόνιζεν·
διὸ ὡς Ἰωνᾶς κραυγάζω σοι
ἀνάγαγε ἐκ φθορᾶς
τὴν ζωήν μου καὶ σῶσόν με.

Ὠδὴ ζ'

Ἐν Βαβυλῶνι αἰχμάλωτοι παῖδες
ἀγόμενοι ἀπὸ τῆς Σιὼν
τοῦ Μωυσέως νομοφύλακες
τῇ χρυσοτεύκτῳ εἰκόνι
μὴ προσιέμενοι λατρεῦσαι ποτὲ
ἀλλ' ἀγράφῳ οὐσίᾳ θωρακισθέντες
ἐνώπιον τυράννου δυσσεβοῦς
ὡμολόγουν τὸν ἕνα Θεόν·
ὅθεν βληθέντες ἐν τῇ καμίνῳ
τὴν φλόγα καταπατοῦντες ἐβόων·
ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'

Παίδων θίασος ἐν Βαβυλῶνι πάλαι
δόγμα ἠλόγησεν ἀνόμου βασιλέως
καὶ τὸ πῦρ μετέβαλε
τῆς καυστικῆς καμίνου
καὶ πίστει δροσιζόμενοι
τὴν ὠδὴν ἀνέμελπον λέγοντες·
εὐλογεῖτε τὰ ἔργα
Κυρίου τὸν Κύριον.

Εἱρμὸς ἄλλος

Τὴν ἔμφυτον τοῦ πυρὸς ἐνέργειαν
ἔγκριτοι Ἑβραίων παῖδες ἐν τῇ καμίνῳ
τὴν τῆς ἀρχετύπου εἰκόνος
ἀνελλειπῆ ἐμφέρειαν
μετημείψαντο εἰς δρόσον ποιότητος
εὐρύθμως δὲ τῇ κτίσει δροσιζόμενοι
προσήρμουν τὰ μέλη
εὐλογεῖτε πάντα τὰ κτιστὰ
τὸν κτίσαντα Θεὸν
καὶ ὑπερυψοῦτε λέγοντες
τὸν Κύριον εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Ἰλῶσαι ποία ἱμνοις
ἐπαρκέσει φρίξαι τὰ πεπραγμένα
ἐν σοὶ παραδόξως, Θεοτόκε ἁγία·
πάντα στενούμενα
λέξαι μὴ δυνάμενα
θαυμάτων ἐξαίσια·
τὴν πανάρετον ἐγκωμιάσωμεν
διὰ τοῦτο ὡς ἄνανδρον μητέρα
ἀσιγήτοις χείλεσι
τὴν Παρθένον Μαρίαν
ἐν ὕμνοις μεγαλύνοντες.

369

ΕΤΕΡΑ ΒΥΖΑΝΤΙΑΛΑ ΤΩΝ ΑΜΑΝΤΙΟΥ

Βλ. σ. 311

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

Ἐπινίκιον ὕμνον
τῷ τερατουργοῦντι Θεῷ
μωσαϊκῶς ἀναπέμψωμεν λαοί·
τὸν νοητὸν γὰρ Φαραὼ
βυθῷ κατεκάλυψε
σώσας τὸν νέον Ἰσραὴλ
ὅτι μόνος ἐνδόξως δεδόξασται.

Ὠδὴ γ'

Ὁ ἐν συνέσει μετεωρίσας τοὺς οὐρανοὺς
καὶ ἑδράσας ἐπὶ ὑδάτων τὴν γῆν
στερέωσον εἰς τὸ θέλημά σου
τὰς καρδίας ἡμῶν·
οὐ γὰρ ἔστιν ἅγιος
πλὴν σου, Κύριε φιλάνθρωπε.

Ὠδὴ δ'

Προβλεπτικοῖς ὑμνοις
ὁ προφήτης Ἀββακοὺμ
κατανοήσας, Κύριε,
τὴν σὴν ἐνανθρώπησιν
ἐκ κατασκίου δασέος ὄρους ἐβόα·
παρθενικῆς ἐκ νηδύος
ἐλεύσεται Θεὸς
σῶσαι θέλων πάντας τοὺς χριστοὺς αὐτοῦ.

Ὠδὴ ε'

Ὁ ζόφος τῆς ἀγνωσίας μου
τὰς τῆς καρδίας μου κόρας ἠμαύρωσε·
διὸ ἐκ νυκτὸς ὀρθρίζω
πρὸς σὲ τὸ φῶς τὰ ἄδυτον

τὸ ἐκ Παρθένου ἀνατεῖλαν,
νοητὲ ἥλιε ἄδυτε Χριστέ,
καταύγασόν μου τὸν νοῦν
διότι φῶς τὰ προστάγματά σου.

Εἱρμὸς ἄλλος

Πρὸς σὲ τὸν ἄδυτον ἥλιον
τὸ πνεῦμά μου ἐκ νυκτὸς ὀρθρίζει
ἀνάτειλον ἐν ἐμοὶ
τὸ φῶς τῶν σῶν ἐντολῶν,
μόνε φιλάνθρωπε.

Εἱρμὸς ἄλλος

Λάμψον ἐν ἐμοί, Χριστὲ ὁ Θεός μου,
τὸ φῶς σου τὸ ἀληθινὸν
καὶ φώτισον τὴν ἐσκοτισμένην μου ψυχὴν
ποιεῖν σου τὰ προστάγματα
ὅτι μόνος ὑπάρχεις φωτὸς χορηγός.

Εἱρμὸς ἄλλος

Ἥλιε ἄδυτε
ὁ συνεκλάμπων πατρὶ
πρὸς σὲ τοὺς ὀρθρίζοντας
ὄμμασι εὐσπλαγχνίας σου, σῶτερ, ὁρῶν
βράβευσον εἰρηναίαν ζωὴν
ἐκ νυκτὸς τῶν παθῶν
παλάμῃ σου τῇ κραταιᾷ
πρὸς ἐπουράνιον τρίβον κατευθύνων·
φῶς γὰρ καὶ εἰρήνη
ὑπάρχεις φιλάνθρωπε.

Ὠδὴ ς'

Κευθμῶν ἀβύσσου
καταπέπωκέ με τὸν δείλαιον
συνεχόμενον, Κύριε,
ὑπὸ κήτους χαλεποῦ
τῆς ἁμαρτίας μου καὶ βοᾷ σοι
τὸν προφήτην ἐκμιμούμενος
ἀνάγαγε ἐκ φθορᾶς
τὴν ζωήν μου, Κύριε, καὶ σῶσόν με.

Εἱρμὸς ἄλλος

Ἐκ νεότητός μου ἐγὼ
ἀσώτως ἐβίωσα
τὴν ψυχήν μου μολύνας
σὺν τῷ σώματι, Κύριε·
ἀλλὰ πρὸς σὲ καταφεύγω
ὡς Ἰωνᾶς ἔνδον τοῦ θηρὸς κραυγάζων σοι·
ἐκ φθορᾶς τὴν ζωήν μου
δι' οἰκτον, ἀγαθέ,
ἀνάγαγε καὶ σῶσόν με.

Ὠδὴ ζ'

Ὁ τῶν πατέρων καὶ ἡμῶν
Θεὸς εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας.

Ὠδὴ η'

Ἐπταπλάσιον φλόγα
καὶ θυμὸν δυσσεβοῦντος ἄνακτος
καταφρονήσαντες οἱ θεοφόροι παῖδες
ἀνευφήμουν βοῶντες
Θεὸν τὸν μόνον ἄναρχον
πάντα τὰ ἔργα ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'

Στάμνος βρύουσα μάννα τὸ ζωηρόρυτον
ὑπάρχεις, ἁγνή,
νεφέλη τε φέρουσα τὴν δρόσον τῆς χάριτος
καὶ τράπεζα τοῦ ἄρτου
χορηγοῦσα τῷ κόσμῳ
τροφὴν τὴν ἐπουράνιον
τὸν σαρκωθέντα Θεὸν
ἀπαύστως ἱκέτευε
μεθ' οὗ σε μεγαλύνομεν.

Εἱρμὸς ἄλλος

Ὦ θαῦμα τῶν ἁπάντων θαυμάτων καινό- [τερον!
πῶς ἡ Παρθένος ἔτεκε βρέφος
οὐρανοῦ τε καὶ γῆς ἀρχαιότερον
καὶ πάλιν παρθένος μετὰ τόκον διέμεινε·
διὸ πιστοὶ τοῦτο τὸ βρέφος
ὡς Θεὸν τῶν ἁπάντων
σὺν τῇ τεκούσῃ μεγαλύνωμεν.

Εἱρμὸς ἄλλος

Ἡ πρώτη Εὔα
τῇ ἀφαιρέσει τῆς πλευρᾶς πλασθεῖσα
τὴν φθορὰν διὰ βρώσεως εἰσήγαγεν.

ΤΕΛΟΣ.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

ΠΙΝΑΞ ΤΩΝ ΕΙΡΜΩΝ ΚΑΤ' ΑΛΦΑΒΗΤΟΝ

Α

* Ἄβατον ὁδὸν, πεζοπορῶν Ἰσραὴλ 196 (πλ. β') [1] (Γεωργίου Ἀνατολικοῦ).
* Ἄβατον πέλαγος τὸ ἐρυθραῖον 149 (πλ. α') (Γεωργίου Σικελιώτου).
* Ἄβατον ἄπειρον ἀγεώργητον πάλαι 60 (β') (Γεωργίου Ἀνατολικοῦ).
* Ἄβυσσον ἄπειρον οὐ τετριμμένην 248 (πλ. δ') (Γεωργίου Σικελιώτου).
Ἅγιος εἶ Κύριε ὁ Θεὸς ἡμῶν 129 (δ') (Γερμανοῦ).
* Ἄδειν ᾠδὴν καινὴν σοι Χριστὲ 212 (βαρὺς) (Ἐλισσαίου μοναχοῦ).
* Ἀηττήτῳ δεξιᾷ πόντου ἐρυθροῦ 57 (β') (Δαμιανοῦ μοναχοῦ).
Ἀθρόον πάλαι θάλασσαν ὁ Ἰσραὴλ 222 (πλ. δ') (Δαμασκηνοῦ).
Αἰγυπτία μὲν χεὶρ τὸν Ἰσραὴλ τυραννοῦσα 160 (πλ. β') (Δαμασκηνοῦ).
* Αἴγυπτον αἰσχρὰν ἐμπαθῶς δουλοῦμενοι 158 (πλ. α') (Θεογνώστου ἡγουμένου).
* Ἀλμυραῖῳ θανάτῳ ἐκάλυψε 218 (βαρύς).
Ἀναστάσεως ἡμέρα λαμπρυνθῶμεν 4 (α') (Δαμασκηνοῦ).
* Ἀνεκαλύπτετο βυθοῦ τὸ κύτος 237 (πλ. δ') (Ἀνδρέου Κρήτης).
* Ἀνίκμοις ἴχνεσι τὸ ἐρυθραῖον 216 (βαρὺς) (Γεωργίου Ἀνατολικοῦ).
Ἀνοίξω τὸ στόμα μου καὶ πληρωθήσεται 99 (δ') (Δαμασκηνοῦ).
* Ἅπαντες λαοὶ τῷ Κυρίῳ ἄσωμεν 85 (β') (Δαμασκηνοῦ).
* Ἄπειρον πλῆθος ὑδάτων πεζοπορῶν Ἰσραὴλ 188 (πλ. β') (Βυζαντιαία).
* Ἀπεκαλύπτετο βάσις 255 (πλ. δ') (Δαμιανοῦ).
* Ἄπλετον διενίσσετο ἐν σεισσεισμῷ 191 (πλ. β') (Σιναϊτική).
* Ἅρμασι γαυρούμενον τὸν Αἰγύπτιον 123 (δ') (Ἠλία πατριάρχου).
* Ἅρματα Αἰγυπτίων φυλῶν 148 (πλ. α') (Ἠλία μοναχοῦ).
* Ἅρματα Φαραὼ Κύριος ἔρριψεν εἰς θάλασσαν 206 (βαρὺς) (Ἀνδρέου Κρήτης).
Ἅρματα Φαραὼ καὶ τὴν δύναμιν αὐτῶν 104 (δ') (Ἀνδρέου Κρήτης).
* Ἅρματα Φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ 189 (πλι α'). (Ἀνδρέου Κρήτης).
Ἅρματα Φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ 180 (πλ. β').
Ἁρματηλάτην Φαραὼ ἐβύθισε 219 (πλ. δ') (Δαμασκηνοῦ).
Ἄσμα ἀναπέμψωμεν λαοὶ 225 (πλ. δ') (Γερμανοῦ).
Ἄσμα καινὸν ἄσωμεν λαοὶ 68 (γ') (Δαμασκηνοῦ).
* Ἄσμα καινὸν καὶ ᾠδὴν πνευματικὴν 93 (γ') (Ἀνδρέου Κρήτης).
* Ἄσμα καινὸν ὕμνον ἄσωμεν 61 (β') (Ἀνδρέου Τυφλοῦ).
* Ἄστατον πέλαγος Μωσῆς 214 (βαρὺς) (Κυπριανοῦ).
Ἄσομαί σοι Κύριε ὁ Θεός μου 103 (δ') (Γερμανοῦ πατριάρχου).
* Ἄσωμεν ἆσμα καινὸν πάντες λαοὶ 185, 187 (πλ. β') (Κυπριανοῦ).
Ἄσωμεν ἆσμα καινὸν τῷ βασιλεῖ 97 (δ') (Δαμασκηνοῦ).
* Ἄσωμεν ἆσμα καινὸν τῷ βασιλεῖ 191 (πλ. β') (Σιναϊτική).
Ἄσωμεν ἆσμα καινὸν τῷ Θεῷ 13 (α') (Ἀνδρέου Κρήτης).

(1) Ὁ ἀριθμὸς δηλοῖ τὴν σελίδα, τὰ δὲ ἐν παρενθέσει τὸν ἦχον καὶ τὸ ὄνομα τοῦ ποιητοῦ.

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

* Ἄσωμεν ἄσμα τῷ Θεῷ 32 (α΄) (Σιναϊτική).
* Ἄσωμεν ἄσμα καινὸν τῷ διὰ Μωσέως 55 (β΄) (Σιναϊτική).
* Ἄσωμεν ἄσμα καινὸν τῷ λυτρωτῇ 74 (γ΄) (Λαμιανοῦ μοναχοῦ).
* Ἄσωμεν ἄσμα καινὸν τῷ λυτρωτῇ 115 (δ΄).
* Ἄσωμεν λαοὶ ἐπινίκιον ἄσμα 2 (α΄) (Δαμασκηνοῦ).
* Ἄσωμεν λαοὶ τῷ ἐκ δουλείας 82 (γ΄).

Ἄσωμεν λαοὶ τῷ θαυμαστῶς τεραστουργήσαντι 97 (δ΄) (Λαμιασκηνοῦ).

Ἄσωμεν πάντες λαοὶ 4 (α΄) (Λαμιασκηνοῦ).
* Ἄσω τὸ θαυμαστὸν παράδοξον 127 (δ΄) (Κυπριανοῦ).
* Ἄσωμέν σοι ὕμνον ἐπινίκιον 151 (πλ. α΄) (Κυπριανοῦ).

Ἄσωμεν τῷ Κυρίῳ ἄσμα καινὸν 8 (α΄) (Κοσμᾶ).

Ἄσωμεν τῷ Κυρίῳ ἄσμα καινὸν 41 (β΄) (Λαμιασκηνοῦ).
* Ἄσωμεν τῷ Κυρίῳ ἄσμα καινὸν 204 (βαρὺς) (Ἀνδρέου Κρήτης).
* Ἄσωμεν τῷ Κυρίῳ ἐνδόξως γὰρ δεδόξασται 200 (βαρὺς) (Λαμιασκηνοῦ).
* Ἄσωμεν τῷ Κυρίῳ πάντες λαοὶ 223, 227 (πλ. δ΄) (Δαμιασκηνοῦ).
* Ἄσωμεν τῷ Κυρίῳ πᾶσα ἡ γῆ 66 (β΄).
* Ἄσωμεν τῷ Κυρίῳ τῷ βυθίσαντι 51 (β΄).

Ἄσωμεν τῷ Κυρίῳ τῷ βυθίσαντι 203 (βαρὺς) (Γερμανοῦ).

Ἄσωμεν τῷ Κυρίῳ τῷ διαγαγόντι 224 (πλ. δ΄) (Δαμασκηνοῦ).

Ἄσωμεν τῷ Κυρίῳ τῷ ἐκ δουλείας 167 (πλ. β΄) (Γερμανοῦ).

Ἄσωμεν τῷ Κυρίῳ τῷ ἐν θαλάσσῃ 88 (β΄) (Λαμιασκηνοῦ).

Ἄσωμεν τῷ Κυρίῳ τῷ θαυμαστῷ 187 (πλ. α΄) (Ἀνδρέου Κρήτης).

Ἄσωμεν τῷ Κυρίῳ τῷ παραδόξως βυθίσαντι 95 (δ΄) (Γερμανοῦ πατριάρχου).

Ἄσωμεν τῷ Κυρίῳ τῷ ποιήσαντι θαυμαστὰ 78 (γ΄) (Γερμανοῦ πατριάρχου).

Ἄσωμεν τῷ Κυρίῳ τῷ ποιήσαντι θαυμαστὰ 135 (πλ. α΄) (Γερμανοῦ).
* Ἄσωμεν τῷ Κυρίῳ τῷ τὴν ἅβατον 80 (γ΄) (Δαμιασκηνοῦ).
* Ἄσωμεν τῷ Κυρίῳ τῷ τὸν λαὸν δουλείας 168 (πλ. β΄) (Γερμανοῦ).
* Ἄσωμεν τῷ Κυρίῳ τῷ ὑψίστῳ 168 (πλ. β΄) (Γερμανοῦ).
* Ἄσωμεν τῷ Κυρίῳ τῷ ὑψίστῳ 244 (πλ. δ΄) (Σιναϊτική).
* Ἄσωμεν τῷ Κυρίῳ τῷ ὑψίστῳ 200 (βαρὺς) (Λαμιασκηνοῦ).
* Ἄσωμεν τῷ μόνῳ Κυρίῳ 245 (πλ. δ΄) (Σιναϊτική).
* Ἄσωμεν τῷ παμβασιλεῖ καὶ Θεῷ 208 (βαρὺς) (Σιναΐτου).
* Ἄσωμεν τῷ παραδοξοποιῷ Θεῷ 30 (α΄) (Ἀνδρέου Κρήτης).

Ἄσωμεν τῷ σωτῆρι τῶν ὅλων 138 (πλ. α΄) (Ἀνδρέου Κρήτης).
* Ἄσωμεν τῷ Κυρίῳ τῷ ὑψίστῳ 93 (γ΄) (Σιναϊτική).
* Ἄσωμεν τῷ Κυρίῳ ᾠδὴν ἐπινίκιον 9 (α΄) (Κοσμᾶ).
* Ἄσωμεν Χριστῷ τῷ δεδοξασμένῳ 134 (πλ. α΄) (Λαμιασκηνοῦ).
* Ἄσωμεν Χριστῷ τῷ δεδοξασμένῳ 150 (πλ. α΄) (Γεωργίου Σικελιώτου).
* Ἄσωμεν Χριστῷ τῷ Θεῷ 245 (πλ. δ΄) (Σιναϊτική).

Ἄσωμεν ᾠδὴν ἐπινίκιον 105 (δ΄) (Ἀνδρέου Κρήτης).
* Ἄσωμεν ᾠδὴν τῷ Θεῷ 15 (α΄) (Ἰλία πατριάρχου).

Ἄσωμεν ᾠδὴν τῷ Θεῷ 230 (πλ. δ΄) (Ἀνδρέου Κρήτης).

Ἄτριπτον ἀνυπήνθη ἀβρόχως θαλαττίαν 57 (β΄) (Λαμιασκηνοῦ).
* Ἄτριπτον ὁδὸν πεζεύσας Ἰσραὴλ 142 (πλ. α΄) (Ἰλία Ἱεροσολύμων).
* Ἀφανισθήτω τὸ ῥευστὸν ἀπ' ἐμοῦ τῆς κακίας 27 (α΄) (Ἰλία πατριάρχου).

Β

* Βάσιν ἄβυτον διώδευσεν ἀβρόχως 255 (πλ. δ΄) (Λαμιανοῦ).

Βοηθὸς καὶ σκεπαστὴς ἐγένετό μοι 44 (β΄) (Γερμανοῦ πατριάρχου).

Βοηθὸς καὶ σκεπαστὴς ἐγένετό μοι 70 (γ΄) (Γερμανοῦ πατριάρχου).

Βοηθὸς καὶ σκεπαστὴς ἐγένετό μοι 170 (πλ. β΄) (Ἀνδρέου Κρήτης).

Βοηθὸς καὶ σκεπαστὴς ἐγένετό μοι 229 (πλ. δ΄) (Ἀνδρέου Κρήτης).
* Βραχίονι ὑψηλῷ λαὸν διέσωσας 78 (γ΄) (Ἀνδρέου Κρήτης).
* Βραχίονι ὑψηλῷ δυνάμει σου κραταιᾷ 174 (πλ. δ΄) (Ἀνδρέου Κρήτης).

Βυθοῦ ἀνεκάλιψε πυθμένα 36 (β΄) (Κοσμᾶ).

Γ

* Γεγηθὼς ἁπλῶς Ἰσραὴλ 118 (δ΄) (Γεωργίου Σικελιώτου).
* Γεώσας διάρρουν φύσιν ὑδάτων 115 (δ΄) (Γεωργίου Σικελιώτου).

Γῆν ἐφ' ἣν οὐκ ἔλαμψεν οὐκ εἶδεν ἥλιος ποτὲ 136 (πλ. α΄) (Ἀνδρέου Κρήτης).

Δ

* Δεξιὰ Κυρίου ἐποίησε δύναμιν 169 (πλ. β΄) (Ἀνδρέου Κρήτης).
* Δεῦτε ἅπαντες λαοὶ ἄσωμεν 21 (α΄) (Ἰλία πατριάρχου).

Δεῦτε λαοὶ ἄσωμεν ἅγια Χριστῷ 37 (β΄) (Κοσμᾶ).
* Δεῦτε λαοὶ συμφώνως ἐν τῇ μνήμῃ 64 (β΄)
* Δεῦτε λαοὶ συμφώνως ἐν τῇ μνήμῃ πάντων ἁγίων 187 (πλ. β΄) (Σιναϊτική).
* Διαμείβεταί σου βουλομένου 166 (πλ. β΄) Λαμιασκηνοῦ).

* Διαμείβεταί σου βουλομένου 175 (πλ' β΄) (Στεφάνου Σαββαΐτου).

Διὰ στύλου πυρὸς καὶ νεφέλης 12 (α΄) (Ἀνδρέου Κρήτης).
* Διατεμὼν τὴν θάλασσαν τὴν Ἐρυθρὰν 126 (δ΄) (Γεωργίου Σικελιώτου).
* Διελθὼν πάντων ἐρυθρὸν 86 (γ΄) (Ἀνδρέου Κρήτης).
* Διελθὼν τὴν Ἐρυθρὰν θάλασσαν ὁ Ἰσραὴλ 161 (πλ. β΄) (Δαμιασκηνοῦ).
* Διήρηται μὲν τὸ ἐρυθραῖον 50 (β΄) (Ἀνδρέου Κρήτης).
* Διώξας καταλήψομαί σε εἶπεν ὁ ἐχθρὸς 136 (πλ. α΄) (Γερμανοῦ).

Δουλείας Χριστὸς ἐλυτρώσατο 2 (α΄) (Δαμασκηνοῦ).
* Δυνάμει τῇ σῇ Χριστὲ ὁδηγούμενος 215 (βαρὺς) (Γεωργίου Ἀνατολικοῦ).
* Δωδεκάτμητον πέλαγος 117 (δ΄) (Ἀνδρέου Κρήτης).

Ε

Ἐγχθονίους ὁ Ἰσραὴλ βυθοῦ πυθμένας ἰδὼν 214 (βαρύς).
* Ἐκ τῶν περιεχουσῶν με θλίψεων 234 (πλ. δ΄) (Στεφάνου).

Ἐν βυθῷ κατέστρωσε πότε 84 (β΄) (Δαμασκηνοῦ).
* Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου 246 (πλ. δ΄) (Σιναϊτική).

Ἐν Ἐρυθρᾷ Φαραὼ σὺν ἅρμασιν 231 (πλ. δ΄) (Ἀνδρέου Κρήτης).
* Ἐν ἰσχύϊ κραταιότητός σου Λόγε 185 (πλ. β΄) (Φωτίου).
* Ἐν νεφέλῃ φωτεινῇ καὶ στύλῳ πυρὸς 60 (β΄) (Ἀνδρέου Τυφλοῦ).
* Ἐν πυθμένι ναμάτων ἐρυθραίων 121 (δ΄) (Σεργίου Ἁγιοπολίτου).
* Ἐν φωνῇ ἀγαλλιάσεως σήμερον 23 (α΄) (Ἰλία πατριάρχου).
* Ἐξάρχει πάλαι νεανίδων ἄδουσα 18 (α΄) (Γεωργίου Σικελιώτου).
* Ἐξομολογεῖσθε τῷ Κυρίῳ λαὸς 235 (πλ. δ΄) (Ἀνδρέου Κρήτης).
* Ἐπάγη ὡσεὶ τεῖχος τὰ ὕδατα 42 (β΄) (Ἀνδρέου Τυφλοῦ).
* Ἐπάγη ὡσεὶ τεῖχος τὰ ὕδατα 124 (δ΄) (Ἀνδρέου Κρήτης).
* Ἐπάγη ὡσεὶ τεῖχος τὰ ὕδατα 139 (πλ. α΄) (Ἀνδρέου Κρήτης).
* Ἐπάγη ὡσεὶ τεῖχος τὰ ὕδατα 241 (πλ. δ΄) (Ἰλία Ἱεροσολύμων).
* Ἐπάγη ὡσεὶ τεῖχος τὰ ὕδατα 252 (πλ. δ΄) (Γεωργίου Ἀνατολικοῦ).

Ἔπαινον ὁ θεόπτης Μωυσῆς 10 (α΄) (Κοσμᾶ).
* Ἐπινίκιον ἅπαντες μωσαϊκῶς 45 (β΄) (Ἀνδρέου Κρήτης).
* Ἐπινίκιον ᾠδὴν ἄσωμεν Χριστῷ 250 (πλ. δ΄) (Γεωργίου Ἁγιοπολίτου).
* Ἐπινίκιον ὕμνον τῷ τερατουργήσαντι 258 (πλ. δ΄) (Βυζαντιαία).
* Ἐπινίκιον ᾠδὴν τῷ ῥυσαμένῳ 125 (δ΄).

Ἐπὶ τὴν ἄβυσσον μολῶν ὁ Ἰσραηλίτης 49 (β΄) (Κυπριανοῦ).
* Ἐπίστρεψον ἡμῶν τὴν αἰχμαλωσίαν 29 (α΄) (Γεωργίου Ἀνατολικοῦ).
* Ἐρράγη ἄβυσσος ῥάβδου τιμήματι 217 (βαρύς).
* Ἔρρηξε ῥάβδος τοῦ προφήτου Μωσέως 218 (βαρὺς) (Κυέστορος).
* Ἐρυθρὰν γκώσας ὡς Θεὸς 122 (δ΄) (Ἀνδρέου Κρήτης).

Ἔσωσε λαὸν θαυματουργῶν Λεσπότης 7 (α΄) (Ἰωάννου Ἀρκλᾶ).

Η

* Ἡ ἀπαράλλακτος εἰκὼν τοῦ πατρὸς 210 (βαρὺς) (Κυπριανοῦ).
* Ἡ δεξιά σου Κύριε δεδόξασται 53 (β΄) (Σιναϊτική).

Ἡ κεκομμένη τὴν ἄτομον ἔτεμε 220 (πλ. δ΄) (Δαμιασκηνοῦ).
* Ἤνοιξε Μωσῆς Ἰσραηλίταις πάλαι 182 (πλ. β΄) (Ἀν. Κυέστορος).
* Ἤπειρον πάλαι Ἰσραὴλ τὴν Ἐρυθρὰν ὡς ξηρὰν 176 (πλ. β΄) (Γεωργίου Ἀνατολικοῦ).
* Ἤπειρον πάλαι Ἰσραὴλ τὴν Ἐρυθρὰν 186 (πλ. β΄) (Κυπριανοῦ).
* Ἤπειρον πάλαι λαὸς Ἰσραηλίτης 192 (πλ. β΄) (Γεωργίου Σικελιώτου).
* Ἤπειρος ἐδέχθη πάλαι τῷ Ἰσραὴλ 50 (β΄) (Δαμιανοῦ μοναχοῦ).
* Ἠπειρωθεῖσα θάλασσα πάλαι 110 (δ΄) (Θεοδώρου Στουδίτου).

Ἠπειρωμένην θάλασσαν ἀβρόχοις τοῖς ποσὶ 175 (πλ. β΄) (Βασιλείου Παγουριώτου).
* Ἡ ῥάβδος τοῦ Μωσέως διέρρηξε θάλασσαν 210 (βαρὺς) (Κυπριανοῦ).

Θ

* Θάλασσαν εἰργάσω τὴν ἐκκλησίαν σου 205 (βαρὺς) (Ἀνδρέου Κρήτης).

Θάλασσαν ἔπηξας βυθίσας σὺν ἅρμασι 230 (πλ. δ΄) (Ἀνδρέου Κρήτης).
* Θάλασσαν Ἐρυθρὰν διέρρηξας 74 (γ΄) (Ἀνδρέου Κρήτης).
* Θάλασσαν τὴν Ἐρυθρὰν διέτεμε 62 (β΄) (Κυπριανοῦ).

Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος 94 (δ΄) (Δαμασκηνοῦ).
* Θαλάττιον πέλαγος σταυροῦ τὸ σημεῖον 58 (β΄) (Ἰλία Σικελιώτου).
* Θαυμάσια τὰ ἔργα Κυρίου τοῦ Θεοῦ 64 (β΄) (Σιναϊτική).
* Θαυμάσια τὰ ἔργα σου Κύριε 240 (πλ. δ΄) (Ἰλία Ἱεροσολύμων).
* Θαυμαστὸς εἶ ὁ Θεὸς καὶ θαυμαστὰ τὰ ἔργα σου 173 (πλ. β΄) (Ἀνδρέου Κρήτης).

Θαυμαστὸς ἐνδόξως ποιῶν τέρατα 76 (γ΄) (Ἀνδρέου Κρήτης).

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

* Θαυμαστὸς ὁ Θεὸς ἡμῶν ὁ ἐν θαλάσσῃ 244 (πλ. δ') (Σιναϊτική).
* Θαυματουργὸς ὑπάρχει τοῦ 'Ισραὴλ ὁ ρύστης 171 (πλ. β') ('Ανδρέου Κρήτης).
Θαυματουργὸς ὑπάρχει τοῦ 'Ισραὴλ ὁ ρύστης 171 (πλ. β') (Δαμασκηνοῦ).
* Θεὲ θεῶν Κύριε ὁ δι' ἐμὲ κατ' ἐμὲ γεγονὼς 185 (πλ. β') (Γεωργίου 'Ανατολικοῦ).
Θείῳ καλυφθεὶς ὁ βραδύγλωσσος γνόφῳ 99 (δ') ('Ιωάννου 'Αρκλᾶ).
* Θείῳ πνεύματι τὴν θάλασσαν 211 (βαρὺς) (Κυπριανοῦ).
* Θεὸς ἐφάνη ἐπὶ γῆς λυτρωσάμενος 146 (πλ. α').
* Θρηνήτω ἡ Αἴγυπτος οὐ μόνον τὰ πρωτότοκα 157 (πλ. α') (Γεωργίου 'Ανατολικοῦ).

Ι

Ἵππον καὶ ἀναβάτην εἰς θάλασσαν 131 (πλ. α'λ (Δαμασκηνοῦ).
* 'Ισραὴλ πεζεύσας θαλάσσης βυθὸν 188 (πλ. β') (Σιναϊτική).
Ἴχνεσιν ἀβρόχοις λαὸς 'Ισραηλίτης διεβιβάζετο 52 (β').

Κ

* Κατανοῶν τὸ μυστικὸν τῆς ἐλεύσεώς σου 65 (β') (Δαμασκηνοῦ).
* Κευθμὼν θαλάττιος σταυροτύπως 88 (γ') ('Ηλία πατριάρχου).
* Κευθμῶνες αἰώνιοι ἀνεκαλύπτοντο 98 (δ') (Δαμασκηνοῦ καὶ Στεφάνου).
* Κράτος ἐν ἰσχύϊ σου Χριστὲ 85 (γ') ('Ανδρέου Κρήτης).
* Κρύπτεται ὡς ἀληθῶς τῆς Παρθένου τὸ θαῦμα 184 (πλ. β').
Κύματι θαλάσσης τὸν κρύψαντα πάλαι 164 (πλ. β') (Κασιανῆς).
Κύματι θαλάσσης τὸν κρύψαντα πάλαι 165 (πλ. β') ('Αν. Κυέστορος).
Κύματι θαλάσσης τὸν κρύψαντα πάλαι 181 (πλ. β').
* Κυρίῳ τῷ Θεῷ ἡμῶν ᾠδὴν ἐπινίκιον 190 (πλ. β') (Σιναϊτική).

Λ

* Λαὸν περιούσιον τερατουργῶν ὁ Μωυσῆς 23 (α') ('Ηλία πατριάρχου).
* Λάτρην τὸν ἐξ Αἰγύπτου φυγάδα 242 (πλ. δ') ('Ηλία 'Ιεροσολύμων).

Μ

* Μεγέθει βραχίονός σου ἀπολιθωθήτωσαν 71 (γ') ('Ανδρέου Κρήτης).
Μωσαϊκὴ ῥάβδος θεϊκῇ δυναστείᾳ 199 (βαρὺς) (Δαμασκηνοῦ).
* Μωσαϊκῶς ἄσωμεν πάντες Χριστῷ 194 (πλ. β') (Θεοφάνους πρωτοθρόνου).
* Μωσέως ῥάβδου τὸν τύπον 20 (α') (Γεωργίου Σικελιώτου).
* Νάματα πάλιν 'Ερυθρᾶς διέρρηξας 50 (β') (Κυπριανοῦ).

Ν

* Νεῦσον πρὸς ἡμᾶς 'Ισραὴλ σου τὸν νέον 126 (δ') (Κωνστορος).
Νεύσει σου πρὸς γεφύδη ἀντιτυπίαν 193 (βαρὺς) (Δαμασκηνοῦ).
* Νεφελοπρέπεια ῥητὴ 28 (α') (Γεωργίου 'Ανατολικοῦ).

Ο

'Ο αἰσθητὸς Φαραὼ κατεποντίσθη 170 (πλ. β') ('Ανδρέου Κρήτης).
* 'Ο διελὼν τῷ λαῷ σου θάλασσαν 54 (β') ('Ηλία πατριάρχου).
* 'Οδὸν καὶ τάφον τὴν θάλασσαν δεικνὺς 32 (α') ('Ανδρέου Κρήτης).
* 'Οδὸν ξένην βαδίσας λαὸς 26 (α') ('Ηλία μοναχοῦ).
'Ο θειότατος προετύπωσε πάλαι Μωσῆς 5 (α').
* 'Ο κραταιὸς ἐν ἰσχύϊ τὸν νοητὸν καθελὼν 14 (α') ('Ανδρέου Κρήτης).
* 'Ο λαὸς τοῦ 'Ισραὴλ ἐν θαλάσσῃ 156 (πλ. α'). (Γεωργίου 'Ανατολικοῦ).
* 'Ο Μωυσῆς τὸν λαὸν τοῦ 'Ισραὴλ 147 (πλ. α') ('Ανδρέου Κρήτης).
* 'Ο πάλαι γεφυρώσας τὴν 'Ερυθρὰν 28 (α') ('Ηλία πατριάρχου).
* 'Ο πάλαι διαβιβάσας Μωσῆ ἐν θαλάσσῃ 189 (πλ. β') (Σεργίου 'Αγιοπολίτου).
* 'Ο παραγαγὼν ἐν ἐρήμῳ τὸν λαὸν 87 (γ') (Λαμιανοῦ μοναχοῦ).
'Ο παράδοξα ποιήσας τέρατα 118 (δ') (Γεωργίου Νικομηδείας).
'Ο παράδοξον ὁδὸν ἐν θαλάσσῃ 233 (πλ. δ') ('Ανδρέου Ἱηρού).
'Ο πατάξας Αἴγυπτον καὶ Φαραὼ 106 (δ') ('Ανδρέου Κρήτης).
* 'Ο πρὶν τειμὼν ἄτιμητον ὑγρὰν 81 (γ') (Κυέστορος).
* 'Ο ῥάβδῳ τμήξας θάλασσαν 116 (δ').
* 'Ο τὸν λαὸν τοῦ 'Ισραὴλ διαθρέψας 52 (β').
* 'Ο σχίσας τὴν 'Ερυθρὰν χειρὶ 248 (πλ. δ') (Γεωργίου Σικελιώτου).
'Ο τὰ ὕδατα πάλαι νεύματι θείῳ 67 (γ') (Δαμασκηνοῦ).
Οὐκ ἔστι σοι ὅμοιος δεδοξασμένε Κύριε 96 (δ') (Δαμασκηνοῦ).

Π

Παγιωθεῖσα ρευστὴ οὐσία 3 (α') (Κοσμᾶ).
* Παγεῖσα ρευστὴ ὑδάτων φύσις 181 (πλ. β').
* Παναστρατὶ τὸν ἁλαζόνα ἐβύθισας 24 (α') (Κυπριανοῦ).
* Παρθένος μάρτυς πολύαθλος 107 (δ') ('Ανδρέου Κρήτης).
* Πεζοπορῶν ὁ 'Ισραὴλ ἀνεπίβατον τρίβον 132 (πλ. α') (Δαμασκηνοῦ).
* Πεζοπορῶν ὁ 'Ισραὴλ τῆς ἀβύσσου τὸ τέρμα 144 (πλ. α').
Πεποικιλμένη τῇ θείᾳ δόξῃ 8 (α') (Κοσμᾶ).
* Περιούσιον λαὸν ἐν ἐρήμῳ ἔσωσας 80 (γ') ('Ανδρέου Κρήτης).
* Πολεμίους κραταιοὺς Κύριος συνέτριψεν 87 (γ') (Στεφάνου).
* Πόντον ἔρρηξε ῥάβδῳ 152 (πλ. α') (Γεωργίου 'Ανατολικοῦ).
Πόντῳ ἐκάλυψε Φαραὼ σὺν ἅρμασιν 201 (βαρὺς) (Κοσμᾶ).
* Πόντῳ ἐρυθρῷ πεζοπορήσας 'Ισραὴλ 149 (πλ. α') ('Ανδρέου Τυφλοῦ).
Πρὸς σὲ ὀρθρίζω τὸν δι' εὐσπλαγχνίαν 163 (πλ. β') (Κοσμᾶ).
* Προστάγματι δεσποτικῷ ὁ Μωυσῆς 209 (βαρὺς) (Σιναϊτική).
Προφητικῶς ὁ θεόπτης τῆς Θεοτόκου τὸν τύπον 221 (πλ. δ') (Δαμασκηνοῦ).

Ρ

* Ῥάβδος μωσαϊκὴ ἐπ' εὐθείας 91 (γ') ('Ανατολική).
* Ῥάβδος μωσαϊκὴ θάλασσαν διέτεμε 207 (βαρὺς) ('Ανδρέου Κρήτης).

Σ

* Σάλου τὸν 'Ισραὴλ ἐρυθραίου ἔσωσας 133 (πλ. α') (Δαμασκηνοῦ).
* Σὲ τὸν ἐν θαλάσσῃ δόντα ὁδὸν 177 (πλ. β') (Θεοδώρου 'Ανατολικοῦ).
* Σημεῖα καὶ τέρατα ἐν Αἰγύπτῳ 120 (δ') ('Ανδρέου Τυφλοῦ).
* Σθένος ὑπεναντίων ἔθραυσε 207 (βαρὺς) (Στεφάνου).
* Σοὶ τῷ θαυμαστῷ Θεῷ ἡμῶν 122 (δ').
Σοῦ ἡ τροπαιοῦχος δεξιὰ σ. 1 (α') (Δαμασκηνοῦ).
Σταυρὸν χαράξας Μωσῆς 224 (πλ. δ') (Κοσμᾶ).
* Σταυροῦ τὸ ξύλον προσκυνῶν 111 (δ') (Κυπριανοῦ).
Στείβει θαλάσσης κυματούμενον σάλον 37 (β') ('Ιωάννου 'Αρκλᾶ).
Συνεπάγη πρὸς ἑαυτὴν συσταλεῖσα 40 (β') (Κυπριανοῦ).
* Συνεχύθη πόλεμος δυνάμει Θεοῦ 150 (πλ. α') (Γεωργίου Σικελιώτου).

Τ

* Τὰ τῶν ἀσμάτων ἄσματα ἀναπέμπομεν 124 (δ').
* Τέμνεται προστάξει θεϊκῇ 'Ερυθρὰ 179 (πλ. β') (Βυζαντιαία).
* Τεμνομένην θάλασσαν λαῷ 193 (πλ. β') (Γεωργίου Σικελιώτου).
Τεμνομένην θάλασσαν ῥάβδῳ 70 (γ') (Κοσμᾶ).
* Τερατουργῶν πάλαι ὁ θεὸς 195 (πλ. β') ('Αγαλλιανοῦ μοναχοῦ).
* Τερατουργῶν ὁ Μωυσῆς τὰ ἐξαίσια 63 (β') (Στεφάνου).
* Τὴν ἀβατώδη ἤπειρον ὡς χέρσον 'Ισραὴλ 189 (πλ. β') (Θεοδοσίου μοναχοῦ).
* Τὴν ἄτομον ἡ κεκομμένη ῥάβδος διέτεμεν 167 (πλ. β') (Δαμασκηνοῦ).
* Τὴν δωδεκάπληγον θάλασσαν διεπέρασεν 62 (β') ('Ανδρέου Κρήτης).
* Τὴν ἐπινίκιον ᾠδὴν ἄσωμεν τῷ Κυρίῳ 208 (βαρὺς) ('Ανατολικοῦ).
* Τὴν 'Ερυθρὰν διεῖλε ῥάβδῳ Μωσῆς 59 (β') (Σιναϊτική).
* Τὴν 'Ερυθρὰν θάλασσαν τῷ διαστείλαντι 192 (πλ. β') (Σιναϊτική).
* Τὴν 'Ερυθρὰν ποσὶν ἀβρόχοις διοδεύσας 178 (πλ. β') ('Ανδρέου Κρήτης).
Τὴν Μωσέως ᾠδὴν ἀναλαβοῦσα 42 (β') ('Ανδρέου Κρήτης).
* Τὴν θάλασσαν ὡς ξηρὰν πεζοπορῶν ὁ Μωυσῆς 145 (πλ. α') (Θεοδώρου Στουδίτου).
Τῆς ἀβύσσου πάλαι τὸ ἄπειρον 48 (β') (Κυπριανοῦ).
* Τῆς 'Ερυθρᾶς τῶν κυμάτων τὸ ἄστατον 58 (β') (Γεωργίου 'Ανατολικοῦ).
* Τῆς πικρᾶς πλινθουργίας 31 (α') ('Ανδρέου Κρήτης).
* Τίς Θεὸς ὡς σὺ ἐν θεοῖς Κύριε 30 (α') (Γεωργίου 'Ανατολικοῦ).
Τμηθείσῃ τμᾶται πόντος ἐρυθρὸς 162 (πλ. β') (Κοσμᾶ).
* Τὸ ἀνυπόστατον ὕδωρ τῆς θαλάσσης 145 (πλ. α') (Θεοδώρου Στουδίτου).
* Τὸ ἄσμα τὸ νοητὸν ᾧ ἀναμέλπεται Θεὸς 108 (δ') ('Ανδρέου Κρήτης).
* Τὸ γεωθὲν ὕδωρ ἐπέζευσε ποτὲ 252 (πλ. δ') (Γεωργίου 'Ανατολικοῦ).
* Τὸ ἐρυθραῖον πεζεύων ὁ 'Ισραὴλ 55 (β') (Βυζαντίου).
* Τὸ ἐρυθραῖον πέλαγος ῥάβδῳ τεμὼν 183 (πλ. β') (Δαμασκηνοῦ).
* Τὸ ἐρυθραῖον πέλαγος εἰς τύπον τοῦ σταυροῦ 257 (πλ. δ') (Θεοδοσίου μοναχοῦ).
Τὸν 'Ισραὴλ ἐκ δουλείας ἐλυτρώσω 226 (πλ. δ') (Γερμανοῦ).
*. Τὸν νοητὸν Φαραὼ σὺν ἅρμασι βυθίσας 129 (δ') (Κυπριανοῦ).
* Τὸν Φαραὼ σὺν ἅρμασι ἐβύθισας 251 (πλ. δ') (Κυπριανοῦ).
Τὸν Φαραὼ σὺν ἅρμασιν ἐν τῇ θαλάσσῃ 16 (α') (Γερμανοῦ πατριάρχου).
* Τὸ πέλαγος 'Ερυθρᾶς διῃρέθη 246 (πλ. δ') (Σιναϊτική).
* Τόξον πολέμιον καὶ ἅρματα Φαραὼ 84 (γ') ('Ανδρέου Κρήτης).
* Τοῦ νοητοῦ τῆς ψυχῆς μου καὶ ὁλεθρίου ἐχθροῦ 195 (πλ. β') ('Ελισσαὲ μοναχοῦ).
* Τοὺς υἱοὺς 'Ισραὴλ διέσωσας Κύριε 69 (γ') (Δαμασκηνοῦ).
* Τρίβον θαλάσσης ὑγρὰν 'Ισραὴλ 256 (πλ. δ') (Δαμιανοῦ).
Τριστάτας κραταιοὺς ὁ τεχθεὶς ἐκ Παρθένου 95 (δ') (Δαμασκηνοῦ).
* Τῷ ἀνυψώσαντι ἡμᾶς ἐκ τῶν πυλῶν τοῦ θανάτου 103 (δ') (Δαμασκηνοῦ).

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

* Τῷ βοηθήσαντι Θεῷ ἐν Αἰγύπτῳ τῷ Μωσῇ 209 (βαρύς) (Σιναϊτική).
Τῷ βοηθήσαντι Θεῷ ἐν Αἰγύπτῳ τῷ Μωσεῖ 16 (α′) (Δαμασκηνοῦ).
* Τῷ βυθίσαντι θαλάσσῃ μυστικῇ 92 (γ′) (Θεοδώρου Στουδίτου).
Τῷ βυθίσαντι Θεῷ τὸν Φαραὼ 203 (βαρὺς) (Γερμανοῦ).
* Τῷ γεώσαντι Θεῷ θάλασσαν 217 (βαρύς).
* Τῷ γεώσαντι Θεῷ πέλαγος ἐρυθρὸν 153 (πλ. α′) (Γεωργίου Ἀνατολικοῦ).
* Τῷ διαβιβάσαντι κλυζομένους ἴχνεσι 10 (α′) (Κοσμᾶ).
* Τῷ διαρρήξαντι Θεῷ τὴν Ἐρυθρὰν 161 (πλ. β′) (Δαμασκηνοῦ).
* Τῷ διὰ Μωσέως ὁδηγήσαντι τὸν Ἰσραὴλ 153 (πλ. α′) (Σιναϊτική).
* Τῷ διὰ στύλου πυρὸς ὁδηγήσαντι 120 (δ′) (Σιναϊτική).
* Τῷ διαρρήξαντι Θεῷ τὴν θάλασσαν ῥάβδῳ 47 (β′) (Κυπριανοῦ).
Τῷ διασώσαντι Θεῷ ἐν θαλάσσῃ λαὸν 69 (γ′) (Δαμασκηνοῦ).
* Τῷ διελόντι θάλασσαν 156 (πλ. α′) (Κυπριανοῦ).
* Τῷ ἐκ δουλείας λυτρωσαμένῳ 215 (βαρὺς) (Γεωργίου Ἀνατολικοῦ).
Τῷ ἐκ ῥείθρων Ἐρυθρᾶς τειχοποιήσαντι 199 (βαρὺς) (Δαμασκηνοῦ).
Τῷ ἐκτινάξαντι Θεῷ τὸν Φαραὼ 201 (βαρὺς) (Δαμασκηνοῦ).
Τῷ ἐκτινάξαντι ἐν θαλάσσῃ 229 (πλ. δ′) (Γερμανοῦ).
* Τῷ ἐν Αἰγύπτῳ κραταιῶς ὀλέσαντι 232 (πλ. δ′) (Ἀνδρέου Κρήτης).
* Τῷ ἐν θαλάσσῃ Ἐρυθρᾷ τὸν Φαραὼ 68 (γ′) (Δαμασκηνοῦ).
* Τῷ ἐν θαλάσσῃ Ἐρυθρᾷ διασώσαντι 172 (πλ. β′) (Ἀνδρέου Κρήτης).
* Τῷ ἐν θαλάσσῃ Ἐρυθρᾷ ὡς διὰ ξηρᾶς καθοδηγήσαντι 160 (πλ. β′) (Δαμασκηνοῦ).
* Τῷ ἐν θαλάσσῃ Ἐρυθρᾷ τὸν Φαραὼ 235 (πλ. δ′) (Στεφάνου).
* Τῷ ἐν θαλάσσῃ Ἐρυθρᾷ τὸν Φαραὼ 239 (πλ. δ′) (Ἡλία Ἱεροσολύμων).
* Τῷ ἐν νεφέλῃ φωτεινῇ τὸν Ἰσραὴλ ὁδηγήσαντι 140 (πλ. α′) (Σιναϊτική).
* Τῷ ἐν στύλῳ πυρὰς καθοδηγήσαντι 77 (γ′) (Ἀνδρέου Κρήτης).
* Τῷ ἐν τῇ ὕδατι ὀφθέντι τῷ Μωσῇ 90 (γ′) (Ἀνδρέου Κρήτης).
* Τῷ ἐν ὕδατι σφοδρῷ Φαραὼ τὸν νοητὸν 152 (πλ. α′) (Σιναϊτική).
* Τῷ ἐν χειρὶ κραταιᾷ ἐν Ἐρυθρᾷ 247 (πλ. δ′) (Γεωργίου Ἀνατολικοῦ).
* Τῷ θαυμαστὰ τέρατα ποιήσαντι 227 (πλ. δ′) (Ἀνδρέου Κρήτης).
* Τῷ θαυμαστὰ ἐνδόξως ποιοῦντι 119 (δ′) (Στεφάνου).
* Τῷ θαυμαστῶς διελόντι θάλασσαν 54 (β′) (Σιναϊτική).
* Τῷ θαυμαστῷ Θεῷ ἡμῶν ᾄσωμεν 236 (πλ. δ′) (Ἀνδρέου Κρήτης).
* Τῷ καταδιελόντι τὴν Ἐρυθρὰν θάλασσαν 233 (πλ. δ′) (Στεφάνου).
* Τῷ καταδιελόντι τὸ ἀνυπόστατον ὕδωρ 178 (πλ. β′) (Ἀνδρέου Τυρλοῦ).
* Τῷ Κυρίῳ ᾄσωμεν πάντες λαοί 222 (πλ. δ′) (Δαμασκηνοῦ).
* Τῷ Κυρίῳ ᾄσωμεν ὡς Μωυσῆς 248 (πλ. δ′) (Σιναϊτική).
* Τῷ καταδιελόντι εἰς διαιρέσεις νάματα 143 (πλ. α′) (Στεφάνου Σαββαΐτου).
* Τῷ καταδιελόντι Θεῷ τὴν Ἐρυθρὰν 86 (γ′) (Ἀνδρέου Κρήτης).
Τῷ Κυρίῳ ᾄσωμεν ἐπινίκιον ᾠδὴν 18 (α′) (Νικηφόρου διακόνου).
Τῷ μετατρέψαντι τὴν θάλασσαν εἰς ξηρὰν 43 (β′) (Γερμανοῦ πατριάρχου).
* Τῷ ὁδηγήσαντι Θεῷ ἐν στύλῳ πυρὸς 75 (γ′) (Ἀνδρέου Κρήτης).
Τῷ ὁδηγήσαντι πάλαι τὸν Ἰσραὴλ 106 (δ′) (Ἀνδρέου Κρήτης).
* Τῷ πάλαι Μωσῇ τῷ θεράποντι 25 (α′) (Κυπριανοῦ).
Τῷ παισθενεῖ δεξιᾷ καταποντίσαντι 14 (α′) (Ἀνδρέου Κρήτης).
* Τῷ πλήθει τῆς δόξης σου συνέτριψας 83 (γ′) (Ἀνδρέου Κρήτης).
* Τῷ ποιήσαντι θαυμάσια ἐν Αἰγύπτῳ 119 (δ′) (Σιναϊτική).
* Τῷ ρυσαμένῳ δουλείας Φαραὼ 83 (γ′).
Τῷ ρυσαμένῳ τὸν Ἰσραὴλ ἐκ δουλείας 78 (γ′) (Γερμανοῦ πατριάρχου).
Τῷ συνεργήσαντι Θεῷ Μωυσῇ 202 (βαρὺς) (Γερμανοῦ).
Τῷ συντρίψαντι πολέμους ἐν βραχίονι αὐτοῦ 205 (βαρὺς) (Ἀνδρέου Κρήτης).
* Τῷ συντρίψαντι πολέμους ἐν βραχίονι αὐτοῦ 147 (πλ. α′) (Ἀνδρέου Κρήτης).
Τῷ συντρίψαντι πολέμους ἐν βραχίονι 228 (πλ. δ′) (Ἀνδρέου Κρήτης).
Τῷ σωτῆρι Θεῷ τῷ ἐν θαλάσσῃ λαῷ 132 (πλ. α′) (Δαμασκηνοῦ).
Τῷ τερατουργήσαντι ὑψηλῷ βραχίονι 113 (δ′) (Κυπριανοῦ).
Τῷ τὴν ᾅβατον κυμαινομένην θάλασσαν 39 (α′) (Κοσμᾶ).
* Τῷ τὸν ὑψαύχενα πάλαι Φαραὼ 142 (πλ. α′) (Γεωργίου Ἀγιοπολίτου).
* Τῷ τοὺς Αἰγυπτίους Θεῷ σὺν ἵπποις 249 (πλ. δ′) (Γεωργίου Σικελιώτου).
* Τῷ ὑποβρυχίων ποιήσαντι Φαραὼ 212 (βαρύς).
* Τῷ ὑψηλῇ δεξιᾷ καταποντίσαντι 46 (β′) (Θεοδώρου Στουδίτου).

Υ

Ὑγρὰν διοδεύσας ὡσεὶ ξηρὰν 220 (πλ. δ′) (Δαμασκηνοῦ).
* Ὑπὲρ ἐλέους τὸν Θεὸν δοξάσωμεν 133 (πλ. α′) (Δαμασκηνοῦ).
* Ὑποβρυχίους ὁ Θεὸς ἀναβάτας 177 (πλ. β′) (Δαμιανοῦ μοναχοῦ).

Ὑπὸ νεφέλης φωτεινῆς καὶ στύλου πυρὸς 101 (δ′) (Κοσμᾶ).
Ὑψαυχενῶν ἐν ἅρμασιν 45 (β′) (Σεργίου Ἀγιοπολίτου).
Ὑψώσω σε ὁ Θεὸς ὁ σωτήρ μου 17 (α′) (Δαμασκηνοῦ).

Φ

* Φαραὼ τὰ ἅρματα καὶ τὴν δύναμιν 238 (πλ. δ′) (Ἡλία Ἱεροσολύμων).
* Φαραωνίτας δυσμενεῖς ἐν θαλάσσῃ 178 (πλ. β′) (Δαμιανοῦ μοναχοῦ).
* Φυγάδα πάλαι Ἰσραὴλ διεβίβασας 91 (γ′) (Γεωργίου Ἀγιοπολίτου).
* Φυγάδι λαῷ ἐχερσοῦτο θάλασσα 89 (γ′) (Γεωργίου Σικελιώτου).
* Φωτὸς νεφέλη διεξοδικῶς 254 (πλ. δ′) (Γεωργίου Ἀνατολικοῦ).

Χ

Χέρσον ἀβυσσοτόκον πέδον ἥλιος 70 (γ′) (Κοσμᾶ).
Χερσώσας θάλασσαν ῥάβδῳ 72 (γ′) (Κυπριανοῦ).
* Χερσώσας πάλαι τὴν ἄβυσσον 19 (α′) (Γεωργίου Σικελιώτου).
Χοροὶ Ἰσραὴλ ἀνίκιμοις ποσὶ 102 (δ′) (Κοσμᾶ).
Χριστὸς γεννᾶται δοξάσατε 6 (α′) (Κοσμᾶ
Χριστὸς ἐν πόλει Βηθλεὲμ βρεφουργεῖτ 8 (α′).
* Χρυσοκολλήτοις ἅρμασι γαυρούμενος 14 (πλ. α′) (Γεωργίου Ἀγιοπολίτου).
* Χῦμα θαλάσσης χερσωθείσης 243 (πλ. δ′ (Ἡλία Ἱεροσολύμων).
* Χῶρος εἰς ἅπαξ εἶδεν ἥλιον 110 (δ′ (Γεωργίου Σικελιώτου).

Ω

Ὠδὴν ἐπινίκιον ᾄσωμεν πάντες 11 (α′) (Ἀν δρέου Κρήτης).
Ὠδὴν ἐπινίκιον προσάξωμεν λαοὶ 134 (πλ. α′ (Ἀνδρέου Κρήτης).
* Ὡς ἐν θαλάσσῃ τρίβον νῦν τελοῦντες 15 (πλ. α′) (Βασιλείου μοναχοῦ).
Ὡς ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραὴλ 159 (πλ β′) (Δαμασκηνοῦ).
* Ὡς ἐώρα ὁ Ἰσραὴλ τὸν Φαραὼ 128 (δ′ (Ἀνδρέου Κρήτης).
* Ὡς ἤπειρον τὴν ἄβυσσον καὶ τετριμμένη 57 (β′).
* Ὡς πάλαι τὸν Ἰσραὴλ ἐλυτρώσω 154 (πλ. α′) (Γεωργίου Ἀνατολικοῦ).
* Ὡς πάχος γῆς διερράγη τὸ ὕδωρ 258 (πλ. δ′) (Γεωργίου Ἀνατολικοῦ).
Ὥρθησαν αἱ πηγαὶ τῆς ἀβύσσου 100 (δ′ (Κοσμᾶ).

http://www.verypdf.com
Created by Image2PDF trial version, to remove this mark, please registerthis software.

ΟΙ ΤΟΥ ΕΙΡΜΟΛΟΓΙΟΥ ΠΟΙΗΤΑΙ

Ἀγαλλιανὸς μοναχὸς 195 (277) [1]

Ἀναστάσιος ὁ Κυέστωρ 81 (115), 126 (174), 165 (232), 182 (258), 218 (313),

Ἀνατολικὸς 91 (128), 208 (296).

Ἀνδρέας Κρήτης 11 (15), 12 (16), 13 (17), 14 (18), 14 (19), 30 (42), 31 (43), 32 (44), 42 (57), 45 (60), 50 (67), 62 (86), 66 (93), 71 (102), 73 (104), 74 (106), 75 (107), 76 (108), 77 (109), 80 (114), 83 (118), 84 (119), 85 (120), 86 (121), 86 (122), 90 (127), 98 (131), 104 (147), 105 (148), 106 (149), 106 (150), 107 (151), 108 (152), 117 (161), 122 (169), 123 (170), 124 (171), 130 (180), 134 (188), 136 (191), 137 (192), 138 (193), 139 (194, 195), 147 (207), 169 (238), 170 (239, 240), 171 (241), 172 (243), 173 (244, 245), 174 (246), 204 (290), 205 291, 292), 206 (293), 207 (294), 227 (326), 228 (327), 229 (329), 230 (330,331), 231 (332), 232 (333), 235 (338), 236 (339), 237 (340).

Ἀνδρέας Τυφλὸς ἢ Πηρὸς 42 (56), 60 (84), 61 (85), 120 (166), 149 (209), 178 (253), 233 (334).

Βασίλειος μοναχὸς μονῆς τῶν Ἀκοιμήτων 156 (219).

Βασίλειος Παγουριώτης 175 (248).

Βυζάντιος 55 (75), 179 (254), 188 (266), 258 (369 Βυζαντιαία τῶν Ἀμαντίου).

Γερμανὸς πατριάρχης Κ)πόλεως 16 (21), 43 (58), 44 (59), 78 (110), 78 (111), 79 (112), 95 (134), 103 (146), 129 (179), 130 (181), 135 (189), 136 (190), 167 (235), 168 (236, 137), 202 (287), 203 (288, 289), 225 (323), 226 (324), 229 (328).

Γεώργιος Ἀνατολικὸς 28 (38), 29 (40), 30 (41), 58 (80), 60 (83), 91 (129), 141 (197), 142 (198), 152 (214), 153 (217), 154 (218), 156 (220), 157 (222), 176 (249), 185 (262), 196 (279), 215 (308, 309), 216 (310), 247 (354), 250 (358), 252 (360, 361), 253 (362), 254 (363).

Γεώργιος Νικομηδείας 113 (156).

Γεώργιος Σικελιώτης 18 (25), 19 (26), 20 (27), 89 (126), 110 (154), 115 (158), 118 (162), 126 (175), 149 (210), 150 (211, 212), 192 (274), 193 (275), 248 (355, 356), 249 (357), 2.

Δαμιανὸς μοναχὸς 56 (76), 57 (77), 74 (105), 87 (124), 146 (205), 177 (251), 178 (252), 255 (346, 365), 256 (366).

Ἐλισσαῖος μοναχὸς 195 (278), 212 (303).

Ἠλίας πατριάρχης Ἱεροσολύμων 15 (20), 21 (30), 22 (31), 28 (32), 27 (37), 28 (39), 54 (75), 88 (125), 128 (177), 142 (199), 238 (341), 239 (342), 240 (343), 241 (344), 242 (345, 346),

Ἠλίας μοναχὸς Σικελιώτης 26 (36), 58 (79), 148 (208).

Θεόγνωστος ἡγούμενος 158 (223).

Θεοδόσιος μοναχὸς 189 (268), 257 (368).

Θεόδωρος Ἀναγαλικὸς 177 (250).

Θεόδωρος ὁ Στουδίτης 46 (62), 92 (130), 110 (153), 145 (202, 203).

Θεοφάνης ὁ πρωτόθρονος 194 (276).

Ἰωάννης ὁ Ἀρκλᾶς 7 (9), 37 (50), 99 (140).

Ἰωάννης Δαμασκηνὸς 1 (1), 2 (2), 2 (3), 4 (5), 4 (6), 16 (22), 17 (23), 21 (29), 34 (46), 35 (47), 35 (48), 38 (52), 41 (55), 65 (91), 66 (92), 67 (95), 68 (96), 68 (97), 69 (98), 69 (99), 80 (113), 94 (133), 95 (135), 96 (136), 97 (137), 97 (138), 98 (139), 99 (141), 103 (145), 131 (182), 132 (183), 132 (184), 133 (185, 186), 134 (187), 159 (224), 160 (225, 226), 161 (227, 228), 166 (233), 167 (234), 171 (242), 183 (260), 198 (280), 199 (281, 282), 200 (283, 284), 201 (285), 219 (314), 220 (315, 316), 221 (317), 222 (318, 319), 223 (320), 224 (321), 227 (325).

Καστανὴ μοναχὴ 164 (231).

Κοσμᾶς μοναχὸς 3 (4), 6 (8), 8 (11), 9 (12), 10 (13), 10 (14), 36 (49), 37 (51), 39 (53), 70 (100), 70 (101), 100 (142), 101 (143), 102 (144), 162 (229), 163 (230), 164 (231), 201 (286), 224 (322).

Κυπριανὸς μοναχὸς 24 (33), 25 (34), 40 (54), 47 (63), 48 (64), 49 (65), 50 (66), 62 (87), 72 (103), 111 (155), 113 (157), 127 (176), 129 (178), 151 (213), 156 (221), 185 (263), 186 (265), 187 (264), 210 (300, 301), 211 (302), 214 (306), 251 (359).

Νικηφόρος διάκονος τῆς Μεγάλης ἐκκλησίας 18 (24).

Σέργιος Ἁγιοπολίτης 46 (61), 121 (167), 189 (269).

Σιναΐτης 32 (45), 53 (71), 54 (72), 55 (74), 59 (81), 64 (90), 93 (132), 119 (164), 120 (165), 140 (196), 146 (204), 152 (215), 153 (216), 187 (265), 188 (267), 190 (270), 191 (271, 272), 192 (273), 208 (297), 209 (298, 299), 243 (347), 244 (348, 349), 245 (350, 351), 246 (352, 353).

Στέφανος Σαββαΐτης 63 (88), 87 (123), 98 (139), 119 (163), 143 (200), 175 (247), 207 (295), 233 (335), 234 (336), 235 (337).

Φώτιος 183 (259).

(1) Ὁ πρῶτος ἀριθμὸς δηλοῖ τὴν σελίδα, ὁ δὲ ἐν παρενθέσει τὸν αὔξοντα ἀριθμὸν τῶν Εἱρμῶν.